


UNIVERSITY OF TORONTO
VELUT ARBOR ÆVO

Gul. Ramsay. 1827

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΦΙΛΙΠΠΙΚΟΙ

ΚΑΙ

ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΙ.

CUM

NOTIS VARIORUM,

WOLFII, DOUNÆI, MOUNTENEII,
STOCKII, AUGERI,

ALIORUMQUE

CONGESTIS.


TEXTUI APPOSITA EST LECTIO REISKIANA.

Londini:

TYPIS J. F. DOVE,

SUMPTIBUS RICARDI PRIESTLEY.

MDCCCXXIV.


LIBRARY
JUN 23 1972
UNIVERSITY OF TORONTO

INDEX ORATIONUM

QUÆ IN HOC TOMO CONTINENTUR.

ΦΙΛΙΠΠΙΚΟΙ.

ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΙ.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΦΙΛΙΠΠΙΚΟΥ Α.

ΚΑΚΩ͂Σ ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ Ἀθηναῖοι φερόμενοι συνεληλύθασιν εἰς ἐκκλησίαν ἀθυμοῦντες. ὁ τοίνυν ῥήτωρ τήν τε ἀθυμίαν πειρᾶται παύειν, λέγων οὐδὲν εἶναι θαυμαστόν, εἰ ῥᾳθυμοῦντες κεκράτηνται, καὶ εἰσηγεῖται πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖεν. κελεύει δὴ δύο δυνάμεις παρασκευάσασθαι, μίαν μὲν μείζω πολιτικήν, ἥ τις οἴκοι μένουσα πρὸς τὰς τῶν ἐπικαίρων χρείας ἕτοιμος ὑπάρξει, ἑτέραν δὲ [1] ἐλάττω, ξένων ὄντων τῶν στρατευομένων, παραμεμιγμένων δέ. [2] καὶ κελεύει τὴν δύναμιν μὴ Ἀθήνησι μένειν, μηδὲ ἐκ τῆς πόλεως ποιεῖσθαι τὰς βοηθείας, ἀλλὰ περὶ τὴν Μακεδονίαν ἀναστρέφεσθαι πολεμοῦσαν ἀδιαλείπτως, ἵνα μὴ τοὺς ἐτησίας πνέοντας ἐπιτηρήσας ὁ Φίλιππος ἢ καὶ τὸν χειμῶνα, ἡνίκα Ἀθήνηθεν εἰς Μακεδονίαν πλεῖν οὐ δυνατόν, ἐπιχειρῇ τοῖς πράγμασι καὶ παρὰ τὴν ἀπουσίαν τὴν τῶν Ἀθηναίων ἁπάντων κρατῇ, ἀλλ᾽ ἐγγὺς ἡ πρὸς αὐτὸν ἀντιταξομένη δύναμις ὑπάρχῃ.

[1] ἐλάττονα

[2] καὶ ταύτην κελεύει

Πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖεν] Κατὰ συγκοπήν, ἀντὶ τοῦ προσενεχθείησαν. Dixit autem de re, καλῶς προσφέρεσθαι τῷ πολέμῳ, sicut alias de persona dicitur, φιλανθρώπως τοῖς ἀνθρώποις προσφέρεσθαι, *humaniter tractare homines, uti humanitate erga eos.* WOLF.

Κελεύει δὲ δυνάμεις] Manutii editio habet, κελεύει δὴ δύω δυνάμεις. Quod quidem et in prima (tertia) Olynthiaca suadet. Sed illic jubet et Olynthum defendi, et Macedoniam vastari: hic et emissarias copias Athenis ali, et alias comparari, quæ Philippum continenter oppugnent. IDEM.

Πρὸς τὰς τῶν ἐπικαίρων χρείας] Πρὸς τὰ καθ᾽ ἕκαστον καιρὸν ἀναγκαῖα πράγματα. IDEM.

Παραμεμιγμένων δὲ] Scilicet τοῖς πολίταις τῶν ξένων, vel παραμεμιγμένων τῶν πολιτῶν τοῖς ξένοις: quod perinde est. IDEM.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΛΟΓΟΣ Α.

Ol. 107, 1.

α. ΕἸ *μὲν περὶ καινοῦ τινὸς πράγματος προὐτίθετο, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί*

Tit. Orat. *Δημοσθένους κατὰ Φιλίππου λόγος πρῶτος*] Quod Ulpianus adscriptum esse dicit, *ὅλος συμβουλευτικὸς*, videtur grammatici aut Rhetoris alicujus esse additamentum. Wolf.

Κατὰ Φιλίππου] *Τοῦ μακεδόνων βασιλέως, ἐξ οὗ καὶ ὀλυμπιάδος, ἀλέξανδρος ὁ μέγας ἐγεννήθη.* Harum orationum tanta fuit celebritas, ut et M. T. Cicero, quas in M. Antonium habuit, infelici et exemplo et æmulatione, Philippicas, quam Antonianas inscribere maluerit. Nam et Philippi atque Alexandri successor Antipater ad necem compulit Demosthenem: et Cicero crudelius etiam interfectus est. Nostra vero ætate Joanni Dobenego Cochlæo, minus male cessit imitatio: qui Philippicas non in eum, qui proscribere posset, scripsit: sed in eum, qui ne stylo quidem, nedum gladio illum ulciscendum esse duxerit. Idem.

Λόγος πρῶτος] Utrum omnium Demosthenicarum prima? An vero ex iis tantum, quæ Philippicæ inscribuntur? sed hæc ab Ulpiano petantur. Nam certas chronologias omnium orationum proferri non posse existimo, etiam 16. Diodori libro adhibito, propter varios et multiplices Græcorum tumultus, et minuta bella, scriptione fortasse parum digna *ἐν παγκοσμίῳ ἱστορίᾳ*. Veteres autem, Ephorum, Theopompum, et alios amisimus. Philippus Macedoniæ regnum suscepisse traditur Olympiade 105. quæ (Functio autore) in annum Mundi incidit 3605. Anno autem Mundi 3965. cum natus tradatur Christus, regnare cœpit Philippus annis ante Christi incarnationem 357. annis abhinc (id est, ab hoc anno 1548. quo hæc scribo) 1905. occisus 24. regni anno, ætatis 49. Bella vero ab eo tempore quæ et quoto quæque anno gesserit, requirantur ex eodem Functio, (cui quidem singularis et ingenii et diligentiæ laus a plerisque viris doctis tribuitur) aut aliis Chronologiis, quæ præter Eusebium complures exstant, ratione temporum e Biblicis oraculis maxime petita: quibus neque Ægyptii, neque Chaldæi, etsi nescio quot seculorum myriadas (quas quis infinitas esse dubitet, Mundi æternitate concessa?) jactantes, quicquam antiquius demonstrare ullo scripto fide digno possunt. Idem.

Εἰ μὲν περὶ καινοῦ τινος πράγματος] Vide exordium orationis Æschineæ contra Ctesiphontem, ubi citatur Solonis lex de disciplina oratorum: in quam peccare videbatur Demosthenes, nondum grandis natu: et præconium: *τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων.* Hac igitur de causa præfatur, se, quamvis nunc primus sententiam dicat, non primum tamen dicere, quod res nova non agatur: simulque et odium propulsat, et attentionem captat, cum significet, se aliquid melius cæteris, quorum consilia rempublicam nihil juverint, in medium esse allaturum. Idem.

Ἐπισχὼν ἂν] Silicet *ἐμαυτὸν, καί περ ἐπιθυμῶν τὰ συμφέροντα τῇ πόλει λέγειν.* Idem.

Ἕως οἱ πλεῖστοι τῶν εἰωθότων] Lege Solonis cautum erat, ut inter oratores, se-

μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον, εἰ δὲ μή, τότ' ἂν καὶ αὐτὸς ἐπειρώμην ἃ γιγνώσκω λέγειν· ἐπειδὴ δὲ περὶ ὧν πολλάκις εἰρήκασιν οὗτοι πρότερον, συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς εἰκότως ἂν συγγνώμης τυγχάνειν. εἰ γὰρ ἐκ τοῦ παρεληλυθότος χρόνου τὰ δέοντα οὗτοι συνεβούλευσαν, οὐδὲν ἂν ὑμᾶς νῦν ἔδει βουλεύεσθαι.

β'. Πρῶτον μὲν οὖν οὐκ ἀθυμητέον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς παροῦσι πράγμασιν, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ. ὃ γάρ ἐστι χείριστον αὐτῶν ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν ἐστὶ τοῦτο; ὅτι οὐδέν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν δεόντων ποιούντων ὑμῶν κακῶς τὰ πράγματα ἔχει, ἐπεί τοί γε εἰ πάνθ' ἃ προσῆκε πραττόντων οὕτως εἶχεν, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι. Ἔπειτα ἐνθυμητέον καὶ παρ' ἄλλων ἀκούουσι καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνησκομένοις, ἡλίκην ποτ' ἐχόντων δύναμιν Λακεδαιμονίων, ἐξ οὗ χρόνος οὐ πολύς, ὡς καλῶς καὶ προσηκόντως οὐδὲν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως, ἀλλ' ὑπεμείνατε ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων τὸν πρὸς ἐκείνους πόλεμον. τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεάσησθε ὅτι οὐδὲν οὔτε φυλαττομένοις ὑμῖν ἐστὶ φοβερὸν οὔτ', ἂν ὀλι-

niores sententiam priores dicerent. Lex autem illa abrogata fuisse dicitur 57 annis antequam habita fuerit hæc oratio. Decori tamen ratione mos adhuc viguit. Propterea Demosthenes excusationem hanc callidam profert. *Ex edit.* STOCK.

β'. Ἐκ τοῦ παρεληλυθότος] Ἐν τῷ παρελθόντι χρόνῳ. Eandem formulam paulo post repetet. WOLF.

Πάνθ' ἃ προσῆκε] Obsopæus προσήκει. IDEM.

Οὕτως εἶχεν] Ὥσπερ ἔχει, φαύλως δηλονότι. IDEM.

Ἡλίκην ποτ' ἐχόντων δύναμιν Λακεδαιμονίων] Bellum quod et hic et in aliis locis Demosthenes magnifice prædicat, initum est Olympiades centesimæ anno quarto, hoc est viginti quatuor annis circiter, ante hanc orationem. Historia hæc est. Lacedæmonii, victa apud Cnidum eorum classe, et pace exinde facta, superbire tamen et civitates Græciæ injuriis afficere haud cessant. Cadmæam occupabant Thebanorum arcem, horum multis patria privatis. Exules autem revertuntur, et auxiliantibus sibi Atheniensibus, Lacedæmonios ejiciunt. Exinde Thebani exercitum ingentem conflant. Athenienses, ut inimicos veteres et imperii æmulos frangerent, primas sibi belli partes sumunt. Legatos mittunt ad civitates Lacedæmoni subjectas, qui hortentur ut communis libertatis asserendæ occasionem amplectantur. Deficiunt itaque Chii, Byzantini, Mytelenii, aliique. Sub hoc tempus Sphodrias, Lacedæmoniorum jussu, Piræum noctu tentat: unde novam belli occasionem sumunt Athenienses: quod iis prospere cessit.——Consulat Lector eruditus *Xenoph.* lib. 5. et *Diodor.* lib. 15. *Ex edit.* STOCK.

Ἐξ οὗ χρόνος οὐ πολὺς] Ἐστὶν, ἢ, διελήλυθε, *non ita olim:* οὐ πρὸ πολλοῦ χρόνου. WOLF.

Προσηκόντως] Ut qui et principes Græcorum ab antiquissimis temporibus fuerint, et urbem suam tanquam asylum patere calamitosis semper voluerint. IDEM.

γωρῆτε, τοιοῦτον οἷον ἂν ὑμεῖς βούλησθε, παραδείγμασι χρώμενοι τῇ τότε ῥώμῃ τῶν Λακεδαιμονίων, ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν, καὶ τῇ νῦν ὕβρει τούτου, δι' ἣν ταραττόμεθα ἐκ τοῦ μηδὲν φροντίζειν ὧν ἐχρῆν.

γʹ. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό τε πλῆθος τῆς νῦν ὑπαρχούσης αὐτῷ δυνάμεως καὶ τὸ τὰ [1] χωρία πάντα ἀπολωλέναι τῇ πόλει, ὀρθῶς μὲν οἴεται, λογισάσθω μέντοι τοῦθ', ὅτι εἴχομέν ποτε ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Πύδναν καὶ Ποτίδαιαν καὶ Μεθώνην καὶ πάντα τὸν τόπον τοῦτον οἰκεῖον κύκλῳ, καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε, καὶ μᾶλλον ἡμῖν ἐβούλετ' ἔχειν οἰκείως ἢ ἐκείνῳ. εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν [2] ἐστὶν Ἀθηναίοις ἔχουσι [3] τοσαῦτα ἐπιτειχίσματα τῆς [4] αὑτοῦ χώρας ἔρημον ὄντα συμμάχων, οὐδὲν ἂν ὧν νυνὶ πεποίηκεν ἔπραξεν, οὐδὲ τοσαύτην ἐκτήσατ' ἂν δύναμιν. ἀλλ' οἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ χωρία ἆθλα τοῦ πολέμου κείμενα ἐν

[1] *χωρία ταῦτα πάντα* [2] *ἀθηναίοις ἐστὶν* [3] *τοιαῦτα* [4] *αὐτοῦ*

Τοιοῦτον] Pro τοιοῦτο, ad quod subaudiendum ἐστὶ quod præcessit. Mox post τῇ addidi juxta Reiskii mentem τε, quod mihi visum fuit excidisse, et esse necessarium si non ad sensum, at saltem ad conficiendam phrasim Demosthenicam. AUGER.

Τούτου] *Istius*, i. e. Philippi. Οὗτος græco sermone sicut *iste* latino, vulgo dicitur de eo quem petimus, contra quem loquimur. IDEM.

Τούτου] Vide quanto cum contemptu de Philippo loquitur: alibi passim eum ἄνθρωπον, regem vix semel quidem appellat. Infra §. έ. dicit, γένοιτο γὰρ, &c. Μακεδὼν ἀνήρ; in Orat. de Coron. τῷ μὲν ἐν Πέλλῃ τραφέντι. In Philippica autem tertia contumeliosius adhuc eum tractat: verba hæc sunt. Φιλίππου, &c. οὐ μόνον οὐχ Ἕλληνος ὄντος, οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν, ἀλλ' οὐδὲ Βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν, ἀλλ' ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον πρίασθαι. MOUNTENEY.

γʹ. Σκοπῶν τό τε πλῆθος] Philippus eo tempore 20000 pedites, equites 3000 habuit; ingentem sane exercitum, si Græcorum exercitibus eum conferas. Notum est Athenienses ad Marathonem 10000 milites, plures nunquam in pugnam eduxisse. *Ex edit.* STOCK.

Ἔρημον ὄντα συμμάχων] Refertur ad τὸ πολεμεῖν, ὡς χαλεπόν ἐστι, τινὰ ὄντα συμμάχων ἔρημον, πολεμεῖν ἀθηναίοις, id est, ὅπως ἂν πολεμοίη: vel, ἀντὶ τοῦ ἐρήμου ὄντος συμμάχων: vel φίλιππος ἔρημος ὤν. Latine per dativum commodius efferretur, ὡς χαλεπόν ἐστιν αὐτῷ, ἐρήμῳ συμμάχων ὄντι πολεμεῖν ἀθηναίοις. WOLF.

Ἆθλα τοῦ πολέμου κείμενα ἐν μέσῳ] Metaphora a palæstra sumpta, ut recte monet Scholiastes. Eadem alii passim utuntur. Catilina apud *Sallust.* p. 80. Ed. *Wasse. En illa, illa, quam sæpe optastis, libertas, præterea divitiæ, decus, gloria in oculis sita sunt. Fortuna ea omnia victoribus præmia posuit.* Cyrus similiter in Orat. ad milites: τὰ τῶν ἡττωμένων ἀγαθὰ πάντα τοῖς νικῶσιν ἀεὶ ἆΘΛΑ ΠΡΟΚΕΙΤΑΙ. *Xenoph.* Cyr. Pæd. lib. 2. p. 51. Ed. *Leuncl.* MOUNT.

μέσῳ, φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν τὰ τῶν ἀμελούντων. καὶ γάρ τοι ταύτῃ χρησάμενος τῇ γνώμῃ πάντα κατέστραπται καὶ ἔχει, τὰ μὲν ὡς ἂν ἑλών τις ἔχοι πολέμου νόμῳ, τὰ δὲ σύμμαχα καὶ φίλα ποιησάμενος· καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁρῶσι παρεσκευασμένους καὶ πράττειν ἐθέλοντας ἃ χρή.

δ'. Ἂν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμεῖς ἐπὶ τῆς τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν, ἐπειδή περ οὐ πρότερον, καὶ ἕκαστος ὑμῶν, οὗ δεῖ καὶ δύναιτ' ἂν χρήσιμον τῇ πόλει παρασχεῖν αὑτόν, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν ἕτοιμος πράττειν ὑπάρξῃ, ὁ μὲν χρήματ' ἔχων εἰσφέρειν, ὁ δ' ἐν ἡλικίᾳ στρατεύεσθαι, — συνελόντι δ'[1] ἁπλῶς εἰπεῖν ἢν ὑμῶν αὐτῶν ἐθελήσητε γενέσθαι καὶ παύσησθε αὐτὸς μὲν οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ αὐτοῦ πράξειν, καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε, ἂν θεὸς ἐθέλῃ, καὶ τὰ κατερραθυμημένα πάλιν ἀναλήψεσθε κἀκεῖνον τιμωρήσεσθε. Μὴ γὰρ ὡς θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα πεπηγέναι πράγματα ἀθάνατα, ἀλλὰ καὶ μισεῖ τις ἐκεῖνον καὶ δέδιεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φθονεῖ καὶ τῶν πάνυ νῦν δοκούντων οἰκείως ἔχειν αὐτῷ· καὶ ἅπανθ' ὅσα περ καὶ ἐν ἄλλοις τισὶν ἀνθρώποις ἔνι, ταῦτα κἀν τοῖς μετ' ἐκείνου χρὴ νομίζειν ἐνεῖναι. κατέπτηχε μέντοι ταῦτα πάντα νῦν, οὐκ ἔχοντ' ἀποστροφὴν διὰ τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥαθυμίαν, ἣν ἀποθέσθαι φημὶ δεῖν ἤδη. ὁρᾶτε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα, οἷ προελήλυθεν ἀσελγείας[2] ἄνθρωπος, ὃς οὐδ' αἵρεσιν ὑμῖν δίδωσι

[1] [ἁπλῶς] [2] ἄνθρωπος

δ'. Οὗ δεῖ] Ἐν ᾧ καιρῷ καὶ τόπῳ καθ' ὅ. Wolf.

Ἑτοίμως πράττειν ὑπάρξῃ] Lego ἕτοιμος. Sic enim et Veneta editio habet, et hoc postulant verba infinita πράττειν, εἰσφέρειν, στρατεύεσθαι: etsi Obsopœus etiam post, ἅπαντας ὑπάρχειν ἑτοίμως, pro ἑτοίμους, in suo codice exstare, annotavit. Sed ου et ω sæpe permutantur. Idem.

Συνελόντι δ' ἁπλῶς εἰπεῖν] Ἵνα δὲ συνελὼν τὸν λόγον, ἁπλῶς εἴπω. Peculiaris formula est, in significatione brevis et ponderosæ orationis. Idem.

Τὰ κατερραθυμημένα] Διὰ ῥαθυμίας προειμένα ὑφ' ὑμῶν, καὶ ἀπολωλότα. Idem.

Πάλιν ἀναλήψεσθε] Nota geminationem particularum πάλιν et ἀνὰ, ut si dicas *rursus recipere*. Idem.

Ἀποστροφὴν] Inquit Harpocratio, ἀντὶ τοῦ καταφυγὴν, Δημοσθένης Φιλιππικοῖς. Auger.

Ἀσελγείας] Varios habet sensus vox

τοῦ πράττειν ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ καὶ λόγους ὑπερηφάνους, ὥς φασι, λέγει, καὶ οὐχ οἷός τ' ἐστὶν ἔχων ἃ κατέστραπται μένειν ἐπὶ τούτων, ἀλλ' [1] ἀεί τι προσπεριβάλλεται καὶ κύκλῳ πανταχῇ μέλλοντας ἡμᾶς καὶ καθημένους περιστοιχίζεται.

έ. Πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πότε ἃ χρὴ πράξετε; ἐπειδὰν τί γένηται; ἐπειδὰν νὴ [2] Δί' ἀνάγκη τις ᾖ; νῦν δὲ τί χρὴ τὰ γιγνόμενα ἡγεῖσθαι; ἐγὼ μὲν γὰρ οἴομαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην εἶναι. ἢ βούλεσθε, εἰπέ μοι, περιϊόντες [3] αὐτῶν πυνθάνεσθαι κατὰ τὴν ἀγοράν· λέγεταί τι καινόν; γένοιτο γὰρ ἄν τι καινότερον ἢ Μακεδὼν ἀνὴρ Ἀθηναίους

[1] αἰεί [2] Δία [3] αὐτοῦ

ἀσελγὴς, a quo ἀσέλγεια. Neque enim *incontinentem* solum et *lascivum*, sed etiam *petulantem, superbum, injurium* significat. *Jul. Poll.* lib. 8. 75. Ἐπὶ δὲ τοῦ ὑβρίσαντος, ὑβριστὴς, ὑπερήφανος, ὑπερόπτης, ἀσελγής. Quin et *magnum* sæpe apud veteres significat. Sic ἄνεμος ἀσελγὴς, *Ventus magnus.* Vid. Suid. v. ἀσέλγεια. *Etymol.* v. ἀσελγής. *Hesych.* v. Κριός. Et *Scholiast.* ad Mid. Demosth. sub init. Mount.

Καὶ οὐχ οἷός τ' ἐστὶν ἔχων ἃ κατέστραπται, &c.] *Neque verò potest iis urbibus acquiescere, quas jam ditioni suæ subegit, sed latius, latiusque in dies suarum expeditionum ambitum circumscribens, cunctantes vos, ignaveque sedentes tanquam indagine cingit.* Translatio est ἀπὸ τῆς κυνηγετικῆς. Siquidem *indágo* propriè est, quod Græcis στοιχισμὸς dicitur, id est, *ai* λεγόμεναι κατὰ στοῖχον κείμεναι. *Ex edit.* Wolf.

Ἔχων ἃ κατέστραπται, μένειν ἐπὶ τούτων] Τὸ ἔχων videtur Atticismo abundare, ut ληρεῖς ἔχων. Sed et interpretari sic licet: ἔχων ταῦτα ἃ κατέστραπται καὶ μένειν ἐπὶ τούτων, id est, ἀρκεῖσθαι τούτοις, στέργειν ταῦτα. Wolf.

Περιστοιχίζεται] *Indagine cingit:* juxta Harpocrationem est metaphora ducta a venatoribus. Juxta eundem in quibusdam codd. legebatur περιστοιχίζεται, in aliis περισχοινίζεται. Auger.

έ. Τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην] Τὰ αἰσχρῶς πεπραγμένα: ἣν αἰσχύνην δεῖ ἀποτρίψασθαι τῷ προσέχειν τοῖς πράγμασι τὸν νοῦν. Wolf.

Ἀλλήλων] Vulg. αὐτῶν. Conjeceram primo legendum αὑτῶν cum spiritu aspero: αὑτῶν πυνθάνεσθαι, *ex vobismetipsis percontari,* quasi legeretur, ὑμῶν αὐτῶν. Sed non dubitavi accipere ἀλλήλων ex Longino, qui hunc ipsum locum citat, sect. 18. cum nonnullis aliis non maximi momenti varietatibus. Celerum nemo nescit dici vulgo πυνθάνεσθαί τινος, *ex aliquo sciscitari.* Auger.

Λέγεταί τι καινόν;] Sexcentis in locis hanc civibus suis levitatem exprobrat Demosthenes; similem quoque querelam apud Isocratem invenies. Divus Lucas *Actorum* capite 17. com. 21. Ἀθηναῖοι δὲ πάντες, καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέγειν τὶ καὶ ἀκούειν καινότερον. *Athenienses autem omnes, et qui illic versabantur hospites, ad nihil aliud vacabant, nisi ad audiendum aut dicendum aliquid novi.* Insigne profecto hujusce novorum rumorum aucupii apud Cæsarem exemplum est, qui hæc habet de veteribus Gallis lib. 4. de Bell. Gall. cap. 5. *Galli,* inquit, *novis plerumque rebus student. Est Gallicæ consuetudinis, ut et viatores etiam invitos consistere cogant, et quod quisque eorum de quaque re audierit aut cognoverit, quærant; et mercatores in oppidis vulgus circumsistat, quibus ex regionibus veniant, quasque res ibi cognoverint, pronunciare cogant.* Idem etiam Romanis vitium scriptores ipsorum objiciunt: inter cæteros *Juvenalis* Satyra 6. 407. et seqq. Vide *Casauboni* Comment. ad Theophrast. cap. περὶ λογοποιΐας. Mount.

Γένοιτο γὰρ ἄν τι] Frequentissimus est apud optimos scriptores, isque valde elegans, particulæ γὰρ in interrogatione pleonasmus. Insigne exemplum est Actorum cap. 19. ver. 35. Ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς; sic etiam Matth.

καταπολεμῶν καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; τέθνηκε Φίλιππος; οὐ μὰ Δί', ἀλλ' ἀσθενεῖ; τί δ' ὑμῖν διαφέρει; καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε, ἄν περ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν· οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται, ὅσον παρὰ τὴν ἡμετέραν ἀμέλειαν. καί τοι καὶ [1] τοῦτο. εἴ τι πάθοι καὶ τὰ τῆς τύχης ἡμῖν [2] ὑπάρξαι, ἥ περ ἀεὶ βέλτιον, ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελούμεθα, καὶ τοῦτ' ἐξεργάσαιτο, ἴσθ' ὅτι πλησίον μὲν ὄντες, ἅπασιν ἂν τοῖς πράγμασι τεταραγμένοις ἐπιστάντες, ὅπως βούλεσθε διοικήσαισθε· ὡς δὲ νῦν ἔχετε, οὐδὲ διδόντων ὑμῖν τῶν καιρῶν Ἀμφίπολιν δέξασθαι δύναισθ' ἄν, ἀπηρτημένοι καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις.

[1] τούτων

[2] ὑπάρξῃ, (ἡ γὰρ αἰεὶ βέλτιον, ἢ ἡμεῖς ἡμῶν αὐτῶν, ἐπιμελουμένη, καὶ τοῦτ' ἂν ἐξεργάσαιτο)

xxvii. 23. et Marc. xv. 14. *τί γὰρ κακὸν ἐποίησεν*; ubi satis erat *τί κακόν*. Præcipue notanda est hæc particula cum indignationem adjunctam habet. *Aristoph.* in Plut. *τὸ γὰρ ἀντιλέγειν τολμᾷν ὑμᾶς*, &c. *Itane vero, audeatis etiam negare?* Latini, Græcos imitantes, dixerunt *Quisnam* in interrogatione, et *Quidnam*; ubi *παρέλκει* particula *nam*. Veteres autem Latini hanc præfigebant: quos sequens Maro dixit,

Nam quis te, juvenum confidentissime, nostras
Jussit adire domos?

Vid. *Hen. Steph.* Dissert. de Stylo N. T. Idem.

Τέθνηκε Φίλιππος] Gliscebant hi rumores, eo quod in obsidione Methones vulneratus erat Philippus, anno precedente. [Vide infra, Olynth. ii. 3.] Totum hunc locum maxime miratur *Longinus*; quem vide, §. 18. Edit. Pearse. *Ex edit.* Stock.

Ἂν οὗτός τι πάθῃ] *Si quid ei acciderit: i. e.* si moriatur ille: notus *εὐφημισμὸς*, cujus exempla passim observanda sunt. Sic *Cicero* in Catilin. iv. *Deinde, si quid obtigerit, æquo animo paratoque moriar.* Mount.

Καί τοι καὶ τοῦτο] S. ὃ θρυλλοῦσιν οἱ πολλοὶ, ὅτι τέθνηκε φίλιππος, εἰ συμπέσοι. Videtur enim aut *ἐλλειπτικὸν*, aut redundans. Wolf.

Ὑπάρξαι] Plerique libri manuscripti et impressi legunt *ὑπάρξει*: cod. R. dat *ὑπάρξῃ*, quod admisit Reiskius. Καίτοι καὶ τοῦτο accipio quasi sensum aliquem efficiens, *et tamen sic se res habet.* Ἥπερ αἰεὶ βέλτιον, sub. ἐπιμελεῖται ἡμῶν. Ad verbum interpretor *καὶ γὰρ ἐξεργάσαιτο, et utinam rem absolveret.* i. e. utinam vitam Philippo eriperet! Vulgata, i. e. Volfius, Ald. et Fel. legunt *καὶ γὰρ ἐξεργάσαιτο*, nescio unde acceptum quum libri omnes habeant *καὶ τοῦτο ἐξεργάσαιτο*. Retinui *γὰρ* quia *τοῦτο* proxime præcessit. Auger.

Ἐξεργάσαιτο] Si pro *γὰρ* legas *τοῦτο*, (ut habet Obsopœus) conjungere licebit: *καὶ εἰ τὰ τῆς τύχης (εἰ ἡ τύχη) ὑπάρξαι ἡμῖν, καὶ ἐξεργάσαιτο τοῦτο*, S. *οὗπερ ἤρξατο*. *Si fortuna nobis faverit, et huic etiam beneficio quasi summam manum addiderit*, id est, si Philippus ex morbo decesserit. Licet et *δυνητικῶς* exponere: *fieri enim potest, ut Fortuna, quod cœpit, perficiat*: et *εὐκτικῶς*, *utinam vero absolvat id, quod instituit*, id est, perimat eum, quem prostravit. Wolf.

Καὶ τοῦτο ἐξεργάσαιτο] *Atque hoc absolvat, quod incœpit*: sc. Philippum ad exitum vitæ perducendo. Alii legunt, *καὶ γὰρ ἐξεργάσαιτο*, et exponit possit, inquit Wolfius, *εὐκτικῶς, et utinam absolvat*: quanquam si adesset particula *ἂν*, *καὶ γὰρ ἐξεργάσαιτ' ἂν*, hanc tutius sententiam complecti possemus; notante *Lucchesinio.* Stock.

Οὐδὲ διδόντων ὑμῖν τῶν καιρῶν Ἀμφίπολιν] Nihil ardentius cupiebant Athenienses, quam hanc urbem recipere. Itaque cum hoc dicit orator, summam esse eorum socordiam significat. Simul talis eventus, tanquam possibilis, callide facta mentione, captat attentionem et spem erigit. *Ex edit.* Stock.

ϛʹ. Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπεισμένων παύομαι λέγων· τὸν δὲ τρόπον τῆς παρασκευῆς, ἥν ἀπαλλάξαι ἂν τῶν τοιούτων πραγμάτων ὑμᾶς ἡγοῦμαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους οὕς τινας χρημάτων, καὶ τἄλλα ὡς ἄν μοι βέλτιστα καὶ τάχιστα [1] δοκεῖ παρασκευασθῆναι, καὶ δὴ πειράσομαι λέγειν, δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον. ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, καὶ μὴ πρότερον προλαμβάνετε· μηδ᾽ ἂν ἐξ ἀρχῆς δοκῶ τινὶ καινὴν παρασκευὴν λέγειν, ἀναβάλλεσθαί με τὰ πράγματα ἡγείσθω. οὐ γὰρ οἱ ταχὺ καὶ τήμερον εἰπόντες μάλιστα εἰς δέον λέγουσιν—οὐ γὰρ ἂν τά γε ἤδη γεγενημένα τῇ νυνὶ βοηθείᾳ κωλῦσαι δυνηθείημεν—, ἀλλ᾽ ὃς ἂν δείξῃ τίς πορισθεῖσα παρασκευὴ καὶ πόση καὶ πόθεν διαμεῖναι δυνήσεται, [2] ἕως ἂν ἢ διαλυσώμεθα πεισθέντες τὸν πόλεμον ἢ περιγενώμεθα τῶν ἐχθρῶν· οὕτω γὰρ οὐκέτι τοῦ λοιποῦ πάσχοιμεν ἂν κακῶς. οἴομαι τοίνυν ἐγὼ ταῦτα λέγειν ἔχειν, μὴ κωλύων εἴ τις ἄλλος ἐπαγγέλλεταί τι. ἡ μὲν οὖν ὑπόσχεσις οὕτω μεγάλη, τὸ δὲ πρᾶγμα ἤδη τὸν ἔλεγχον δώσει· κριταὶ δ᾽ ὑμεῖς ἔσεσθε.

ζʹ. Πρῶτον μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τριήρεις πεντήκοντα παρασκευάσασθαί φημι δεῖν· εἶτ᾽ αὐτοὺς οὕτω τὰς γνώμας ἔχειν, ὡς, ἐάν τι δέῃ, πλευστέον εἰς ταύτας αὐτοῖς ἐμβᾶσι. πρὸς δὲ τούτοις τοῖς ἡμίσεσι τῶν ἱππέων ἱππαγωγοὺς τριήρεις καὶ πλοῖα ἱκανὰ εὐτρεπίσαι κελεύω. ταῦτα μὲν οἴομαι δεῖν ὑπάρχειν ἐπὶ τὰς ἐξαίφνης ταύτας

[1] δοκῇ [2] τέως

ϛʹ. Καὶ μὴ πρότερον προλαμβάνετε] S. τὴν κρίσιν, μὴ κρίνετε πρὶν ἀκοῦσαι καὶ μαθεῖν τὴν ἐμὴν γνώμην. WOLF.

Ἀναβάλλεσθαί με τὰ πράγματα] Quomodo? cum parvæ copiæ citius comparari possint, quam magnæ? An quia his bellum duci potius quam confici potest? IDEM.

Ταχὺ et τήμερον] Accipe tanquam substantivos, qui jugiter vobis hæc verba occinunt, *cito*, *hodie*. AUGER.

Οὐ γὰρ ἂν τά γε ἤδη γεγενημένα, &c.] Mirum quantum hallucinatus est *Wolfius*, qui hunc locum ita transtulit: *cum, quo quidem in loco res nunc sunt, auxiliis, quæ nunc mittimus, pericula propulsare non possimus.* Sensus hic est: quæ jam nobis damna evenerunt, auxiliis nunc missis defendere non possumus; etenim infectum reddere quod factum est non ipse potest qui potest omnia, juxta illud *Horatianum* Od. iii. 29.

———non tamen irritum,
Quodcunque retro est, efficiet, neque
Diffinget, infectumque reddet,
Quod fugiens semel hora vexit.

MOUNT.

Τὸ δὲ πρᾶγμα] *Rem* appellat explicationem consilii sui. WOLF.

ἀπὸ τῆς οἰκείας χώρας αὐτοῦ στρατείας εἰς Πύλας καὶ Χεῤῥόνησον καὶ Ὄλυνθον καὶ ὅποι βούλεται· δεῖ γὰρ ἐκείνῳ τοῦτο ἐν τῇ γνώμῃ παραστῆναι, ὡς ὑμεῖς ἐκ τῆς ἀμελείας ταύτης τῆς ἄγαν, ὥς περ εἰς Εὔβοιαν καὶ πρότερόν ποτέ φασιν εἰς Ἁλίαρτον καὶ τὰ τελευταῖα πρώην εἰς Πύλας, ἴσως ἂν ὁρμήσαιτε. οὔ τοι παντελῶς οὐδ' εἰ μὴ ποιήσαιτ' ἂν τοῦτο, ὥς ἔγωγέ φημι δεῖν, εὐκαταφρόνητόν ἐστιν, ἵν' ἢ διὰ τὸν φόβον, εἰδὼς εὐτρεπεῖς ὑμᾶς — εἴσεται γὰρ ἀκριβῶς· εἰσὶ γάρ, εἰσὶν οἱ πάντ' ἐξαγγέλλοντες ἐκείνῳ παρ' ἡμῶν αὐτῶν πλείους τοῦ δέοντος — ἡσυχίαν ἔχῃ, ἢ παριδὼν ταῦτα ἀφύλακτος ληφθῇ, μηδενὸς ὄντος ἐμποδὼν πλεῖν ἐπὶ τὴν ἐκείνου χώραν ὑμῖν, ἂν ἐνδῷ [1] καιρόν.

η'. Ταῦτα μέν ἐστιν, ἃ πᾶσι δεδόχθαι φημὶ δεῖν καὶ [2] παρεσκευάσθαι προσήκειν οἴομαι. πρὸς δὲ τούτοις δύναμίν τινα, ὦ ἄνδρες Ἀθηναῖοι, φημὶ προχειρίσασθαι δεῖν ὑμᾶς, ἣ συνεχῶς

[1] καιρός

[2] παρασκευάσασθαι

ζ'. Χεῤῥόνησον] Anno præcedente Cersobleptes, cum per se hanc regionem contra Philippum defendere minus valuisset, Atheniensibus eam dediderat. Cardia, ejus civitas primaria, eorum imperium recusavit, et a Philippo auxilium petiit, qui specie hujus civitatis tuendæ arma in Chersonesum intulit. *Ex edit.* Stock.

Καὶ Ὄλυνθον] Philippus jam quædam hostilia in Olynthum admiserat, nondum vero hanc urbem obsidione cinxerat, neque aliquid eo spectans aggressus erat. Nam si hoc factum esset, Demosthenes non adeo leviter attingeret rem, cui postea sæpissime et vehementissime instat. *Ibid.*

Ἐκ τῆς ἀμελείας ταύτης] Μετὰ τὴν ἀμέλειαν, ac potius, ἀφέμενοι τῆς ἀμελείας ταύτης, *omissa, repudiata ista socordia.* Wolf.

Εἰς Εὔβοιαν] Opem tulerant Athenienses, septem annis antea, Eubœensibus contra Thebanos: cum quinque diebus exercitum in Eubœam induxerint, et triginta vix elapsis, coegerint Thebanos pacem petere, et ab insula decedere. *Ex edit.* Stock.

Καὶ πρότερόν ποτέ φασιν, εἰς Ἁλίαρτον] Lacedæmonii hanc Bœotiæ urbem oppugnabant. Athenienses, Thebanis opem petentibus, eam obsidione liberarunt, occiso Lysandro duce Lacedæmonio. Facta est hæc expeditio annis 43 ante hanc orationem habitam, (πρότερόν ποτέ φασιν, inquit Demosthenes) atque eo insignior fuit, quod tum Athenienses nuperrime excusserant jugum triginta Tyrannorum. *Ibid.*

Οὔ τοι παντελῶς] Sententia est: tametsi hoc non feceritis, (id est, si non strenue excurreritis, sicut olim) id quod ego tamen omnino censeo faciendum, non tamen in ea re parum momenti erit. Ποιήσαιτε] Ὑμεῖς: non ad Philippum pertinet. Nam ε per apostrophum abjectum est, non ο: ποιήσαιτε lege, non ποιήσαιτο. Wolf.

Εὐκαταφρόνητόν ἐστιν] Subaudi ὃ ποιήσετε, vel resume τοῦτο quod est post ἂν, et quod aliqui velint post παντελῶς collocari. Auger.

Εἰδὼς εὐτρεπεῖς ὑμᾶς] Non dubito, quin legendum sit, εἰδὼς εὐτρεπεῖς ὄντας ὑμᾶς, addito participio, quod sæpe perperam prætermittitur. Wolf.

Εἰσὶν οἱ πάντ' ἐξαγγέλλοντες ἐκείνῳ] Hic Aristodemum et Neoptolemum obscure perstringit. Æschines nondum se Philippo dederat. *Ex edit.* Stock.

Μηδενὸς ὄντος ἐμποδὼν] *Cum nihil,* vel *nemo impediat.* Wolf.

η'. Δεδόχθαι καὶ παρεσκευάσθαι] Enallage ἐμφατικὴ ad tollendam cunctationem. Alii παρασκευάσασθαι: quod non displicet. Nam τὸ δεδόχθαι jam præsto esse potest: τὸ παρεσκευάσθαι non item. Sic mox pro πρὸς δὲ τούτοις, alii πρὸ δὲ τούτων, *ante hæc. Ibid.*

Δεδόχθαι] Præteritum pro præsenti, ut in græco sermone sæpius usurpatur. Auger.

πολεμήσει καὶ κακῶς ἐκεῖνον ποιήσει. μή μοι μυρίους μηδὲ δισμυρίους ξένους μηδὲ τὰς ἐπιστολιμαίους ταύτας δυνάμεις, ἀλλ' ἣ τῆς πόλεως [1] ἔσται, κἂν ὑμεῖς ἕνα κἂν πλείους, κἂν τὸν δεῖνα κἂν ὁντινοῦν χειροτονήσητε στρατηγόν, τούτῳ πείσεται καὶ ἀκολουθήσει. καὶ τροφὴν ταύτῃ πορίσαι κελεύω. Ἔσται δ' αὕτη τίς ἡ δύναμις καὶ πόση, καὶ πόθεν τὴν τροφὴν ἕξει, καὶ πῶς ταῦτ' ἐθελήσετε ποιεῖν; Ἐγὼ φράσω, καθ' ἕκαστον τούτων διεξιὼν χωρίς. ξένους μὲν λέγω—καὶ ὅπως μὴ [2] ποιήσετε τοῦθ' ὃ πολλάκις ὑμᾶς ἔβλαψεν· ἅπαντ' ἐλάτ-

[1] ἔστω [2] ποιήσητε

Μή μοι μυρίους] Explica supplendo, juxta Volfium, *μή μοι μυρίους . . . δυνάμεις λεγέτω τις, ἀλλὰ ταύτην δύναμιν ἐθέλω ἣ τῆς* &c. Ceterum per *τὰς ἐπιστολιμαίους δυνάμεις*, intellige copias quas mox affore spes erat litteris a civitate scriptis, et quæ tamen non aderant. Idem.

Μηδὲ τὰς ἐπιστολιμαίους ταύτας δυνάμεις] *Conductitios exercitus* verti. ἀπόστολος veteribus *classem* significat: unde ἀποστολιμαῖος, *classicus, classiarius, emissarius*. ἐπιστολὴ, *literæ, mandatum*. ἐπιστολεὺς, γραμματοφόρος, *tabellarius*, vel ὁ ἐπὶ τοῦ στόλου διάδοχος τοῦ ναυάρχου, *classi præfectus:* ἐπιστολιμαῖος, *epistolaris*, τὸ δι' ἐπιστολῆς γιγνόμενον ἢ διαπραττόμενον. ἐπιστολιμαῖοι δυνάμεις, *copiæ*, (ut opinor) *quæ*, cum est opus, *foris contrahendæ, et missis literis aut legatis accersendæ sunt.* Apud Eusebium lib. 7. ecclesiasticæ historiæ legitur: ἐπιστολιμαίων δέομαι γραμμάτων. Sic ἐπιστολιμαῖος χαρακτὴρ, ἐπιστολιμαῖα συνθήματα, ἐπιστολιμαῖοι κατηγορίαι. ἐπιστολιμαίους δυνάμεις.] Scilicet λεγέτω τις, ἀλλὰ ταύτην δύναμιν ἐθέλω, ἣ τῆς πόλεώς ἐστι, τουτέστι, πολιτικήν. Wolf.

Ἐπιστολιμαίους ταύτας δυνάμεις] Hujusce locutionis (quæ mire torsit interpretes) hanc explicationem proposuit Olivetus. "Atheniensibus usitatum erat literas undique mittere ad copias accersendas. Rescriptum itaque erat ex alio atque alio loco hunc et illum militum numerum comparatum fore. Cum vero ad rem ventum esset, nequaquam tantæ repertæ sunt copiæ, quantæ in literis hinc petentibus, illinc promittentibus, nominantur. En! ergo quid significat ἐπιστολιμαίους δυνάμεις: magnificos hos apparatus qui in literis solummodo utrinque scriptis existunt." *Ex edit.* Stock.

Ἀλλ' ἡ τῆς πόλεως ἔστω] Malim ἀλλ' ἣ τῆς πόλεως ἔσται, καὶ κἄν. videtur enim necessario, quamvis κακοφώνως, addenda conjunctio. Wolf.

Τούτῳ πείσεται] Scilicet ἡ πολιτικὴ δύναμις. Unde apparet, mercenarios milites non cuivis duci parere solitos. Idem.

Καὶ τροφὴν ταύτῃ πορίσαι κελεύω] Τὴν τροφὴν etsi in universum de sustentatione exercitus intelligere licet, tamen pro *annona*, seu *commeatu*, quod σιτηρέσιον postea dicet, intelligo: ut et cibaria, vel certam pro iis pecuniam ad sustentationem corporis, et aliam pecuniam pro laboribus et periculis dederint militibus, quæ conjuncta τὸν ἐντελῆ μισθὸν *integrum stipendium*, confecerint. Suidas σιτηρέσιον, τὸ διδόμενόν τισιν εἰς τροφήν. Hesychius ἐφόδιον. Budæus militarem annonam et stipendium et tesseram frumentariam interpretatur. Apud Cæsarem est frequens, militibus metiri frumentum, τὸ σιτομετρεῖν, ἢ σιτοδοτεῖν: cujus locum adscribere libet: *ingresso civile bellum, centuriones cujusque legionis singulos equites e viatico suo obtulerunt: et universi milites gratuitam et sine frumento stipendioque operam, cum tenuiorum tutelam locupletiores in se contulissent. Neque in tam diuturno spatio quisquam omnino descivit: plerique capti, concessam sibi sub conditione vitam, si adversus eum militare vellent, recusarunt.* Idem.

Ἐθελήσετε] *Poteritis:* in eodem sensu apud Aristoph. In Homero etiam frequentissime: Il. φ'. ver. 366. Οὐδ' ἔθελε προρέειν, pro οὐκ ἠδύνατο. Sic Il. ν'. ver. 106. Μίμνειν οὐκ ἐθέλεσκον——ad quem locum hæc Eustathius: Τὸ δὲ οὐκ ἐθέλεσκον, ἀντὶ τοῦ οὐκ ἐδύναντο. Συνηθὲς δὲ Ὁμήρῳ καὶ οὕτω λαμβάνειν τὴν τοιαύτην λέξιν. Confer Suidam v. ἐθελήσει. Mount.

Ξένους μὲν λέγω, &c. λέγω δὴ τοὺς πάντας] Repetitio verbi ejusdem, propter hyperbaton, et interjectam sive parenthesin, sive prolixam ἐπεμβολήν. Sed, ἀντὶ ξένων, substituit στρατιώτας, eodem sensu. Wolf.

τω νομίζοντες εἶναι τοῦ δέοντος, καὶ τὰ μέγιστ' ἐν τοῖς ψηφίσμασιν αἱρούμενοι, ἐπὶ τῷ πράττειν οὐδὲ τὰ μικρὰ ποιεῖτε· ἀλλὰ τὰ μικρὰ ποιήσαντες καὶ πορίσαντες, τούτοις προστίθετε, ἂν ἐλάττω φαίνηται. λέγω δὴ τοὺς πάντας στρατιώτας δισχιλίους. τούτων δὲ Ἀθηναίους φημὶ δεῖν εἶναι πεντακοσίους, ἐξ ἧς ἄν τινος ὑμῖν ἡλικίας καλῶς ἔχειν δοκῇ, χρόνον τακτὸν στρατευομένους, μὴ μακρὸν τοῦτον, ἀλλ' ὅσον ἂν δοκῇ καλῶς ἔχειν, ἐκ διαδοχῆς ἀλλήλοις· τοὺς δ' ἄλλους ξένους εἶναι κελεύω. καὶ μετὰ τούτων ἱππέας διακοσίους· καὶ [1] τούτων πεντήκοντα Ἀθηναίους τοὐλάχιστον, ὥς περ τοὺς

[1] τούτων εἶναι πεντήκοντα

Τούτων δὲ, Ἀθηναίους φημὶ δεῖν εἶναι πεντακοσίους] Atheniensibus olim nulli milites erant nisi cives, quibus omnibus militandum erat per vices. Temporibus oratoris nostri, dux, qui prævalida factione creabatur, exercitum ex colluvie mercenariorum et peregrinorum conflabat. *Ex edit.* Stock.

Ἐξ ἧς ἄν τινος] Cives, qui ætatem quadraginta annorum excesserant, immunes erant a militia. Demosthenes iis judicandum relinquit, annon emeritorum privilegia suspendere ex re esset, ut eo exercitatiores habeant milites. *Ibid.*

Ἐξ ἧς ἄν τινος ἡλικίας] Ut hæc verba intelligantur, pauca sunt de ratione militum Athenis conscribendorum explicanda: præsertim, cum ea res vix satis mihi videtur fuisse, vel a *Petito,* vel ab aliis quos vidi recentioribus, intellecta. Ætas militaris ab decimo octavo anno pertingebat usque ad sexagesimum: quod et clare testatur Harpocratio, voce Ἐπώνυμοι, temere a Petito solicitatus; et ex iis quæ sequuntur, ulterius patebit. Omnes, quorum ætas intra hos limites stetit, albis inscripti erant, quæ servabant 42 Magistratus, Eponymi nuncupati; ita ut unusquisque Eponymus eorum civium nomina albo suo inscripta teneret, qui per idem annorum spatium militaverant; unus nempe eorum qui unicum stipendium fecerant, alter eorum qui bina, et sic deinceps. (Quot igitur annos, quotamque ætatis partem, militandum fuerit, vel horum magistratuum numerus indicat; cum inter omnes constet tempus, a quo stipendia merere cœperint.) Instituti autem istius hic usus fuit. Populus, quandocunque expeditionem decerneret, ætatem simul eorum definire solebat, quibus erat in hostes egrediendum: ἐξ ἧς ἄν τινος αὐτῷ ἡλικίας καλῶς ἔχειν δοκῇ: deinde qui fuerint, qui hoc decreto essent obstricti, inspectis Eponymorum catalogis statim patebat. Atque hoc est, quod innui Aristoteles, *de Rep. Athen.* ab Harpocratione citatus in voce στρατεία ἐν τοῖς Ἐπωνύμοις· Χρῶνται δὲ τοῖς Ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας· καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι, προσγράφουσι, ἀπό τινος ἄρχοντος ἐπωνύμου μέχρι τίνος δεῖ στρατεύεσθαι: *Utuntur autem Eponymis etiam ad militiam; et cum juventutem emittunt, adscribunt, a quo Archonte Eponymo usque ad quem stipendia merere oporteat:* hoc est, a quo *catalogo* usque ad quem.—Quanquam autem sexagenariis solis militiæ erat vacatio, (unde ἀστράτευτοι, et ὑπὲρ τὸν κατάλογον, vocantur a Polluce, *Onom.* ii. 11.) in more tamen positum fuit, (non lege sancitum, quod falso credit Ulpianus) ut etiam quadragenariis eadem immunitas concederetur, nisi in difficilibus reipublicæ temporibus: unde ait infra Demosthenes, Olynth. B (Γ). γ'. 45 *annos natis indictum fuisse, ut naves conscendant,* ob flagrantem in Philippum indignationem. Narrat Plutarchus Phocionem, jussum a populo, alienissimo (ut ipsi visum est) reip. tempore, bellum suscipere, per præconem edixisse, ut omnes ab adolescentia ad sexagesimum usque annum statim a concione sese in castra subsequerentur. Adversus hoc edictum nulla se lege defendere potuerunt seniores: maluit itaque populus a bello ipso desistere quam obmurmurantes et graves annis ad arma retrahere. Stock.

Τοὺς δ' ἄλλους ξένους εἶναι] In militia Atheniensi, omnes extra Atticam nati pro peregrinis habebantur. Peregrini itidem a Μισθωτοῖς distinguebantur: illo nomine ii milites vocabantur, quos a sociis mutuata est respublica; hoc vero, ii quos mercede conduxit. *Ex edit.* Stock.

πεζούς, τὸν αὐτὸν τρόπον στρατευομένους. καὶ ἱππαγωγοὺς τούτοις. Εἶεν. τί πρὸς τούτοις ἔτι; ταχείας τριήρεις δέκα· δεῖ γάρ, ἔχοντος ἐκείνου ναυτικόν, καὶ ταχειῶν τριήρων ἡμῖν, ὅπως ἀσφαλῶς ἡ δύναμις πλέῃ.

θ΄. Πόθεν δὴ τούτοις ἡ τροφὴ γενήσεται; Ἐγὼ καὶ τοῦτο φράσω καὶ δείξω, ἐπειδάν, διότι τηλικαύτην ἀποχρῆν οἴομαι τὴν δύναμιν καὶ πολίτας τοὺς στρατευομένους εἶναι κελεύω, διδάξω. Τοσαύτην μέν, ὦ ἄνδρες Ἀθηναῖοι, διὰ ταῦτα, ὅτι οὐκ ἔνι νῦν ἡμῖν πορίσασθαι δύναμιν τὴν ἐκείνῳ παραταξομένην, ἀλλὰ λῃστεύειν ἀνάγκη καὶ τούτῳ τῷ τρόπῳ τοῦ πολέμου χρῆσθαι τὴν πρώτην· οὐ τοίνυν οὐθ᾽ ὑπέρογκον αὐτήν— οὐ γάρ ἐστι μισθὸς οὐδὲ τροφή—[1] οὔτε παντελῶς ταπεινὴν εἶναι δεῖ. Πολίτας δὲ παρεῖναι καὶ συμπλεῖν διὰ ταῦτα κελεύω, ὅτι καὶ πρότερόν ποτ᾽ ἀκούω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν, οὗ Πολύστρατος ἡγεῖτο καὶ Ἰφικράτης καὶ Χαβρίας καὶ ἄλλοι τινές, καὶ [2] αὐτοὺς ὑμᾶς συστρατεύεσθαι· καὶ οἶδα ἀκούων ὅτι Λακεδαιμονίους παραταττόμενοι μεθ᾽ ὑμῶν ἐνίκων οὗτοι οἱ ξένοι καὶ ὑμεῖς μετ᾽ ἐκείνων. ἐξ οὗ δ᾽ αὐτὰ καθ᾽ αὑτὰ τὰ ξενικὰ ὑμῖν στρατεύεται, τοὺς φίλους νικᾷ καὶ τοὺς συμμάχους, οἱ δ᾽ ἐχθροὶ μείζους τοῦ δέοντος γεγόνασι. καὶ παρακύψαντα ἐπὶ τὸν τῆς πόλεως

[1] οὐδὲ [2] ὑμᾶς αὐτοὺς

Ταχείας τριήρεις] Wolfius vertit *celeres triremes:* Tourellius intelligit præsidiarias; quem sensum ex verbis sequentibus confirmat, ὅπως ἀσφαλῶς ἡ δύναμις πλέῃ, et ex Thucydidis l. 6. ubi τριήρεις ταχεῖαι et ὁπλιταγωγοὶ sibi mutuo opponuntur. *Ibid.*

Ἔχοντος ἐκείνου ναυτικὸν] Ex fœdere cum Thessalis inito, eorum classibus et portubus potitus est Philippus. *Ibid.*

θ΄. Τηλικαύτην, τοσαύτην] Accipe sensu diminutivo, *tantillam.* Auger.

Λῃστεύειν] Quid sit τὸ λῃστεύειν optime illustrat locus Livii in libro xv. Verba sic se habent: *in fines Romanos excucurrerunt,*[Veientes] *populabundi magis, quam justi more belli. Itaque non castris positis, non expectato hostium exercitu, raptam ex agris prædam portantes Veios redierè.* Mount.

Οὐ γάρ ἐστι μισθὸς οὐδὲ τροφὴ] Πότερον ἐκ παραλλήλου, ἢ κατὰ διαστολήν; Si denæ drachmæ fuerunt σιτηρέσιον, id est, si pecunia pro cibariis data est, nihil aliud dicit, nisi deesse pecuniam, qua stipendia militibus solvantur. Wolf.

Ξενικὸν τρέφειν ἐν Κορίνθῳ] Exstat Lysiæ ἐπιτάφιος τοῖς κορινθίων βοηθοῖς. et Diodorus, lib. 14. meminit societatis ad Corinthum initæ a Bœotiis, Atheniensibus, Corinthiis, Argivis, contra Spartanos: et lib. 15. refert, Timotheum, Chabriam, Callistratum, (non Polystratum) duces esse creatos contra Lacedæmonios. Idem.

Ἐν Κορίνθῳ] Idem hoc bellum est, de quo initio orationis: vide Not. ad §. β΄. Corinthus erat locus, Græcis contra Spartam fœderatis ad conveniendum edictus. *Ex edit.* Stock.

Καὶ παρακύψαντα ἐπὶ] *Et cum ad bellum nostræ urbis obiter respexerint,* statim nos deserunt: id est tam diu non inserviunt, quam nobis esset opus. Cum neminem habent alium, qui stipendia numeret, exorto nobis bello, ad nos accurrunt, ad breve saltem tempus, dum locupletiorem et liberaliorem dominum invenerint: sicut Lucanus egregie cecinit: *nulla fides*

πόλεμον, πρὸς Ἀρτάβαζον καὶ [1] πανταχοῖ μᾶλλον οἴχεται πλέοντα, ὁ δὲ στρατηγὸς ἀκολουθεῖ, εἰκότως· οὐ γάρ ἐστιν ἄρχειν μὴ διδόντα μισθόν. τί οὖν κελεύω; τὰς προφάσεις ἀφελεῖν καὶ τοῦ στρατηγοῦ καὶ τῶν στρατιωτῶν, μισθὸν πορίσαντας καὶ στρατιώτας οἰκείους ὥς περ ἐπόπτας τῶν στρατηγουμένων παρακαταστήσαντας, ἐπεὶ νῦν γε γέλως ἔσθ᾽ ὡς χρώμεθα τοῖς πράγμασιν. εἰ γάρ ἔροιτό τις ὑμᾶς, εἰρήνην ἄγετε, ὦ ἄνδρες Ἀθηναῖοι; μὰ Δί᾽ οὐχ ἡμεῖς γε, εἴποιτ᾽ ἄν, ἀλλὰ Φιλίππῳ πολεμοῦμεν. οὐκ ἐχειροτονεῖτε δὲ ἐξ ὑμῶν αὐτῶν δέκα ταξιάρχους καὶ στρατηγοὺς καὶ φυλάρχους, καὶ ἱππάρχους δύο; τί οὖν οὗτοι ποιοῦσι; πλὴν ἑνὸς ἀνδρός, ὃν ἂν ἐκπέμψητε ἐπὶ τὸν πόλεμον, οἱ λοιποὶ τὰς πομπὰς πέμπουσιν ὑμῖν μετὰ τῶν ἱεροποιῶν· ὥς περ γὰρ οἱ πλάττοντες τοὺς πηλίνους, εἰς τὴν ἀγορὰν χειροτονεῖτε τοὺς ταξιάρχους καὶ τοὺς φυλάρχους, οὐκ ἐπὶ τὸν πόλεμον. οὐ γὰρ ἐχρῆν, ὦ ἄνδρες Ἀθηναῖοι, ταξιάρχους παρ᾽ [2] ὑμῶν, ἱππάρχους παρ᾽ ὑμῶν ἄρχοντας οἰκείους εἶναι,

[1] πανταχοῦ

[2] ἡμῶν bis.

pietasque viris, qui castra sequuntur, Venalesque manus: ibi fas, ubi maxima merces. Unde Isocrates eos κοινοὺς ἁπάντων ἀνθρώπων ἐχθροὺς nominat. Quanquam etiam κοινοὶ ἁπάντων φίλοι sunt, vel solius pecuniæ potius amici. Idem 2. ad Philippum epistola: συνειδότες, inquit, ὅτι τὰ τῶν ξενιτευομένων στρατεύματα πλείους ἠδίκηκε τῶν πιστευόντων αὐτοῖς, ἢ σέσωκε. Sed versus illos Lucani vir fortissimus et dux, cum alibi, tum re contra Turcas anno 1532. in Pannonia bene gesta, clarus, facete eludit, eos non ad milites, qui antecedant, sed ad lixas et calones pertinere. Hos enim castra sequi. WOLF.

Πρὸς Ἀρτάβαζον] Chares Dux Atheniensis, qui paulo antea exercitum tenuit apud Hellespontum, iis omnibus posthabitis quæ a republica in mandatis habuit, opem tulit Artabazo Satrapæ Asiatico rebelli, cum jam regio exercitu obsessus esset. Chares mercedem beneficio parem accepit. Id vero factum ejus pro capitali crimine habebatur; quippe quod non solum reipublicæ negotia omisisset, verum etiam regem Persarum infensum reddidisset. Demosthenes nihilominus culpam hic a Charete transfert in milites immorigeros, seu potius in populum qui stipendia ministrare neglexerat. *Ex edit.* STOCK.

Γέλως ἔσθ᾽ ὡς χρώμεθα] Ἀντὶ τοῦ γελοῖόν ἐστιν, ἤ, γελοίως χρώμεθα. WOLF.

Δέκα ταξιάρχους] Τάξις Suidæ continet viros 128. quorum dux quondam ταξίαρχος, nunc ἑκατόνταρχος. Ista ratione milites conscriptos oportuit 1280. IDEM.

Δέκα ταξιάρχους] Unaquæque tribus unum deligebat imperatorem, qui antiquitus (quando omnes ad bellum ierant) singulis diebus imperabant per vices: et ne sententiis paribus inter se discreparent, populus aliquando Polemarchum creabat, qui (cum res ita esset) rem in alteram partem inclinaret. Taxiarchus peditibus propriæ tribus, Phylarchus equitibus imperavit. Equitatus totus in alas duas dividebatur, quibus singulis præfuit suus Hipparchus, sive magister equitum. *Ex edit.* STOCK.

Καὶ ἱππάρχους δύω] Utrum τὸ δύω *duos*, an *binos*, ut et ad στρατηγοὺς et ad φυλάρχους referatur? ἱππαρχία equitum 512. fuit: φυλάρχων quod munus in exercitu fuerit, mihi non liquet. Romani non tribunos plebis modo, sed militum etiam et tribunos ærarios, et consulari potestate habuerunt. Significat autem, hos nomen inane habere, sine re. WOLF.

Μετὰ τῶν ἱεροποιῶν] Ἱεροποιοὺς Hesychius interpretatur ἐπιμηνίους. ἐπιμηνίαν δὲ

ἵν' ἦν ὡς ἀληθῶς τῆς πόλεως ἡ δύναμις, ἀλλ' εἰς μὲν Λῆμνον τὸν παρ' ὑμῶν ἵππαρχον δεῖ πλεῖν, τῶν δ' ὑπὲρ τῶν τῆς πόλεως κτημάτων ἀγωνιζομένων Μενέλαον ἱππαρχεῖν; καὶ οὐ τὸν ἄνδρα μεμφόμενος ταῦτα λέγω, ἀλλ' ὑφ' ὑμῶν ἔδει κεχειροτονημένον εἶναι τοῦτον ὅς τις ἂν ᾖ.

ι. Ἴσως δὲ ταῦτα μὲν ὀρθῶς ἡγεῖσθε λέγεσθαι, τὸ δὲ τῶν χρημάτων, πόσα καὶ πόθεν ἔσται, μάλιστα ποθεῖτε ἀκοῦσαι. τοῦτο δὴ καὶ περανῶ. Χρήματα τοίνυν, ἔστι μὲν ἡ τροφή, σιτηρέσιον [τοῖς στρατευομένοις] μόνον τῇ δυνάμει ταύτῃ, τάλαντα ἐνενήκοντα καὶ μικρόν τι πρός, δέκα μὲν ναυσὶ ταχείαις τετταράκοντα τάλαντα, εἴκοσιν εἰς τὴν ναῦν μναῖ τοῦ μηνὸς ἑκάστου, στρατιώταις δὲ δισχιλίοις τοσαῦθ' ἕτερα, ἵνα [1] δέκα τοῦ μηνὸς ὁ στρατιώτης δραχμὰς σιτηρέσιον λαμβάνῃ· τοῖς δ' ἱππεῦσι διακοσίοις οὖσιν, ἐὰν τριάκοντα δραχμὰς ἕκαστος λαμβάνῃ τοῦ μηνός, δώδεκα τάλαντα. εἰ δέ τις οἴεται μικρὰν ἀφορμὴν σιτηρέσιον τοῖς στρατευομένοις ὑπάρχειν, οὐκ ὀρθῶς ἔγνωκεν· ἐγὼ γὰρ οἶδα σαφῶς ὅτι, τοῦτ' ἂν γένηται, [2] προσποριεῖται τὰ λοιπὰ αὐτὸ τὸ στράτευμα ἀπὸ τοῦ πολέμου, οὐδένα τῶν Ἑλλήνων

[1] δέκα ἕκαστος τοῦ

[2] προσποριεῖ

ἢ ἐπιμήνιον, θυσίαν καθ' ἕκαστον μῆνα τῇ νουμηνίᾳ ἐπιτελουμένην. Idem.

Εἰς μὲν Λῆμνον] In bello nempe sociali, quando ii ab Athenis defecerant, in eam insulam cum classe 100 navium impetum fecerunt. *Ex edit.* Stock.

Μενέλαον] Hunc Philippi fratrem fuisse ait Tourellius ex alio conjugio natum. Melius autem Olivetus judicare videtur, hunc esse alium Menelaum, nobis alias ignotum. Quamvis enim Philippus et Menelaus non inter se amicitia conjunctissimi essent, tamen verisimile non est, Athenienses hostis sui fratri Atticæ curam et Thermopylarum custodiam committere voluisse. *Ibid.*

Ἀλλ' ὑφ' ὑμῶν ἔδει κεχειροτονημένον] Populum solum penes erat hæc munera conferre. Hoc tamen imperatorum arbitrio nonnunquam permisere. *Ibid.*

Ὑφ' ὑμῶν] Emendavi ex Reiskii mente ἀφ' ὑμῶν, ita et emendandum censuit Abbas d'Olivet. Auger.

ι. Χρήματα τοίνυν] Constructio et collocatio verborum insolentior. Sed accipio sic: *περὶ χρημάτων τοίνυν, de pecunia, quod ad pecuniam attinet. ἡ μὲν τροφὴ τῇ δυνάμει* ταύτῃ (quod sequitur, κατ' ἐπεξήγησιν accedit, σιτηρέσιον μόνον τοῖς στρατευομένοις) ἐστὶν τάλαντα ἐνενήκοντα, id est, ἡ τροφὴ τῆς δυνάμεως ἀπαιτεῖ τάλαντα τοσαῦτα. 100. drachmæ minam, minæ 60. talentum, talentum 600. aureos facit. Hinc suo quisque arbitratu rationes Demosthenicas supputet: et illud notet, equiti triplum σιτηρέσιον esse datum, drachmas tricenas, pediti denas: quorum carnes esse vilissimas vulgaris jocus affirmat: et ipsi milites suam luxuriam et licentiam excusantes, aiunt, eadem se conditione esse, qua porcos, qui saginati jugulentur. Wolf.

Χρήματα τοίνυν] De valore communis Attici talenti discrepant authores. Juxta Tourellium valet nostra moneta 187 lib. 10 sol. Prideaux id exæquat 188 lib. sol. 6. Arbuthnotus lib. 193. sol. 15. Ex Demosthenis computo patet in unum annum duraturum esse quem ille postulat, commeatum. *Ex edit.* Stock.

Τοῦτ' ἂν γένηται] Legitur in Wolfio εἰ τοῦτο γένηται: prætuli, ut magis græcum, τοῦτ' ἂν γένηται, quod dant plures libri impressi et manuscripti. Pro προσποριεῖ

ἀδικοῦν οὐδὲ τῶν συμμάχων, ὥστ' ἔχειν μισθὸν ἐντελῆ. [1] ἐγὼ συμπλέων ἐθελοντὴς πάσχειν ὁτιοῦν ἕτοιμος, ἐὰν μὴ ταῦθ' οὕτως ἔχῃ. Πόθεν οὖν ὁ πόρος τῶν χρημάτων, ἃ παρ' ὑμῶν κελεύω [2] γενέσθαι; τοῦτ' ἤδη λέξω.

ΠΟΡΟΥ ΑΠΟΔΕΙΞΙΣ.

ιά. Ἃ μὲν ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, δεδυνήμεθα εὑρεῖν, ταῦτά ἐστιν. ἐπειδὰν δ' ἐπιχειροτονῆτε τὰς γνώμας, ἃ ἂν ὑμῖν ἀρέσκῃ χειροτονήσατε, ἵνα μὴ [3] μόνον τοῖς ψηφίσμασι

[1] κἀγὼ δὲ [2] γενήσεται [3] μόνον [ἐν]

in vulgata, dedi προσποριεῖται, *sibi comparabit, sibi subministrabit.* Auger.

Ὥστ' ἔχειν μισθὸν ἐντελῆ] Militum Classiariorum ἐντελὴς μισθὸς, sive *integrum et solidum stipendium* erat drachma Attica in diem. Vid. *Kust.* ad Equites Aristoph. l. 1364. et *Kuhn.* ad *Jul. Poll.* lib. 1. 121. Quantum aliorum fuerit equidem ignoro; sed palam est Demosthenem magnam ejus partem a bello iis comparandam relinquere. Mount.

Ἃ παρ' ὑμῶν κελεύω, γενήσεται] Fortasse legendum, ἅπερ ὑπάρχειν κελεύω. vel ἃ παρ' ὑμῶν ὑπάρχειν κελεύω. Videtur enim significare, tributum esse conferendum, et sequitur postea, αὐτοὶ τῶν χρημάτων πορισταὶ καὶ ταμίαι γιγνόμενοι: etsi τὸ πορισταὶ ad latrocinia et prædas agendas fortasse pertinet. Wolf.

Πόρου Ἀπόδειξις] Hic Γραμματεὺς, sive scriba quidam, Demosthenis de pecunia comparanda sententiam publice perlegit. Quæ sequuntur, aliam orationem facit Dionysius Hal. sextam nempe Philippicam, quæ Archonte Themistocle habita fuit. Nisi forte cum Mountneio credendum sit, Philippicam illam sextam vitio temporis periisse, eodem autem modo initium habuisse cum hac primæ Philippicæ parte. Præcipue, cum solenne fuit oratoribus easdem prope periodos diversis in locis repetere. Stock.

ιά. Ἃ μὲν ἡμεῖς] Talentis 92. fore opus dixit: quæ (uti probabile est) populus conquiri jussit a quæstoribus. Qui ratione inita exposuerunt, unde ea pecunia petenda esset. Catalogus autem de scripto, ut apparet, recitatus, hic prætermissus est, ut et leges et decreta et testimonia, et alia scripta complura: quæ nobis nec inutilia, nec injucunda lectu essent, si exstarent. Wolf.

Ἐπειδὰν ἐπιχειροτονῆτε τὰς γνώμας] Cum *sententias suffragiis vestris comprobaveritis,* facta discessione: verbi causa: diversas sententias dixerint Demosthenes, Demades, Phocion. Qui igitur plures e populo assensores habuerit, τούτου ἡ γνώμη ἐπιχειροτονεῖται. Idem.

Ἐπειδὰν δ' ἐπιχειροτονῆτε, &c.] Verbum hoc majorem habet vim quam χειροτονεῖν, idemque significare videtur ac si dictum esset ἐπικυροῦτε, *cum ex diversis sententiis aliquam suffragiis vestris comprobaveritis.* Ideoque sequi debere Mountneius opinatus est, non præcedere: et totam hanc sententiam ita refingendam vult, ἐπειδὰν δ' ἐχειροτονήσατε τὰς γνώμας, ἃ ἂν ὑμῖν ἀρέσκῃ ἐπιχειρῆτε. Si conjecturis indulgere fas esset, alium in hac periodo vocabulum immutarem; et pro ἀρέσκῃ legerem ἀρκέσῃ, *quæ vobis sufficiant.* Levis hæc mutatio sensum præstat optimum et argumento maxime congruum. *Ex edit.* Stock.

Χειροτονήσατε] Cum ita perperam in plerisque libris impressis ederetur, sensum hujus commatis Interpretes haud assecuti sunt. Legendum omnino cum Edit. Paris. χειροτονήσαντες, et subaudiendum ὁρᾶτε, σκοπεῖτε, aut verbum aliquod simile. Frequens admodum apud scriptores Græcos est hæc Ellipsis: (vide L. Bos. *Ellips. Græc.* verbis βλέπειν et σκοπεῖν) quanquam plura ejus occurrant exempla ante τὸ ὅπως, quam ἵνα. Unum tamen, quod satis sit, protulit doctiss. *Hoogeveen*, in præstanti illa, qua nuper Græcitatis ditavit studiosos, *Doctrina particularum linguæ Græcæ*, c. 23. §. 2. Καὶ νῦν ἵνα ἄγητε τὰς ἡμέρας τῆς σκηνοπηγίας, inquiunt Judæi, fratribus suis scribentes, II. Macchab. initio: ubi reticeri potius duxerim τὸ ὁρᾶτε, (et mecum sentiunt Interpretes Angli) quam quod supplet vir eruditus, ταῦτα γεγράφαμεν: *et nunc* curate, id agite, *ut celebretis festum tabernaculorum.* Stock.

καὶ ταῖς ἐπιστολαῖς πολεμῆτε Φιλίππῳ, ἀλλὰ καὶ τοῖς ἔργοις. Δοκεῖτε δέ μοι πολὺ βέλτιον ἂν περὶ τοῦ πολέμου καὶ ὅλης τῆς παρασκευῆς βουλεύσασθαι, εἰ τὸν τόπον, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς χώρας, πρὸς ἣν [1] πολεμεῖτε, ἐνθυμηθείητε, καὶ λογίσαισθε ὅτι τοῖς πνεύμασι καὶ ταῖς ὥραις τοῦ ἔτους τὰ πολλὰ προλαμβάνων διαπράττεται Φίλιππος, καὶ φυλάξας τοὺς ἐτησίας ἢ τὸν χειμῶνα ἐπιχειρεῖ, ἡνίκ' ἂν ἡμεῖς μὴ [2] δυναίμεθα ἐκεῖσε ἀφικέσθαι. δεῖ τοίνυν ἡμᾶς ταῦτ' ἐνθυμουμένους μὴ βοηθείαις πολεμεῖν—ὑστεριοῦμεν γὰρ ἁπάντων—ἀλλὰ παρασκευῇ συνεχεῖ καὶ δυνάμει. ὑπάρχει δ' ὑμῖν χειμαδίῳ μὲν χρῆσθαι τῇ δυνάμει Λήμνῳ καὶ Θάσῳ καὶ Σκιάθῳ καὶ [3] ταῖς ἐν τούτῳ τῷ τόπῳ νήσοις, ἐν αἷς καὶ λιμένες καὶ σῖτος καὶ ἃ χρὴ [4] στρατεύματι πάνθ' ὑπάρχει· τὴν δ' ὥραν τοῦ ἔτους, ὅτε καὶ πρὸς τῇ γῇ γε-

[1] πολεμήσετε [2] δυνώμεθα [3] ταῖς ἄλλαις ταῖς ἐν [4] στρατεύμασι

Ἐτησίας] Ventos scilicet, qui singulis annis sub ortum caniculæ flabant; (quo tempore Græcis propter ingentem calorem in æstiva se recipere mos erat) quique a septentrione flantes obstabant in Macedoniam invasuris. *Ex edit.* Stock.

Μὴ βοηθείαις πολεμεῖν] Βοήθεια, *tumultuarius miles, ad propulsandos hostes subito coactus.* συνεχὴς παρασκευὴ καὶ δύναμις, *constans et perpetuus exercitus*, qui semper in procinctu stat, quovis in loco paratus ad vim et inferendam et repellendam. γοητείαις πολεμεῖν, *præstigiis belligerare*, etsi scomma non infacetum est, minus tamen placet. Wolf.

Ὑπάρχει δ' ὑμῖν χρῆσθαι Λήμνῳ χειμαδίῳ, τῇ δυνάμει] *Licet vobis uti Lemno, &c. hybernis exercitui*, id est, ut exercitus ibi hybernet. Notetur triplex dativus, ά. χρῆσθαι τόπῳ τινί. β'. χειμαδίῳ, εἰς τὸ παραχειμάσαι. γ'. τῇ δυνάμει, ὅπως ἂν ἡ δύναμις παραχειμάσῃ ἐκεῖ. Idem.

Καὶ ἃ χρὴ στρατεύμασι] Scilicet ὑπάρχειν. τὴν δ' ὥραν τοῦ ἔτους] Eo vero anni tempore, quo et ad terram accedere facile est, et nullæ procellæ metuendæ sunt: tum ad ipsam regionem, tum ad oras mercatuum, noster exercitus facile accedet: ῥᾳδίως ἔσται s. ἡ δύναμις τὴν ὥραν pro, μετὰ τὴν ὥραν πρὸς τῇ γῇ γενέσθαι *appellere ad littus.* πρὸς αὐτῇ τῇ χώρᾳ Macedonia (nam de hac infestanda agitur) videtur intelligenda. ἐμπορίων στόματα videntur οἱ λιμένες *portus* dici, αἱ εἰσβολαὶ καὶ εἴσοδοι. Si legas ῥᾳδίως εἴσεσθε, *facile vos Athenienses scietis.* aut, εἴσεται, scilicet ὁ στρατηγὸς ὑμῶν. ῥᾳδίως ἔσται suspectum est, nisi addatur γνῶναι. Malim quidem ῥᾴδιον ἔσται. Sed et id ante positum est, et quocunque te convertas, nulla via bona est. Locus videtur corruptus, et vatem potius, quam interpretem postulare. Principio sic verteram: *eo autem anni tempore, cum et appellere ad terram facile est, et a ventis nihil periculi, ad ipsam regionem et mercatuum aditus facile milites accedent.* Hegendorphinus, ac potius Melanchthon Hegendorphini nomine, sic interpretatur, neglectis verbis: *anni tempestates et secundos ventos, et omnia, quibus opus erit, providebit imperator.* Alius quidam anonymus: *et facile erit observare anni tempus, in quo non difficile terram attingere, et videre ventorum constantiam circa eandem regionem et circa ostia civitatum oberrare.* Paulus Manutius, vir doctus et disertus, quem honoris causa nomino, ut meretur, hunc locum, si non vere, perspicue certe et eleganter transtulit, hoc modo: *de anni vero tempore, cum scilicet ad terram liceat accedere: aut quibus ventis ipsam regionem et emporiorum ostia petere sit tutum: non difficilis erit animadversio. Pertinent hæc ad eum, quem vos exercitui præfeceritis: qui et de re et de tempore consilium ex occasione capiet. Ego, quæ vos agere oporteat, exposui. Afferant alii, me volente et cupiente, meliora, et certiora. Ego meam dubitationem, ac potius ignorationem, ingenue confiteor.* Idem.

νέσθαι ῥᾴδιον καὶ τὸ τῶν πνευμάτων ἀσφαλές, πρὸς αὐτῇ τῇ χώρᾳ καὶ πρὸς τοῖς τῶν ἐμπορίων στόμασι ῥᾳδίως ἔσται.

ιβ΄. Ἃ μὲν οὖν χρήσεται καὶ πότε τῇ δυνάμει, παρὰ τὸν καιρὸν ὁ τούτων κύριος καταστὰς ὑφ᾽ ὑμῶν βουλεύσεται· ἃ δ᾽ ὑπάρξαι δεῖ παρ᾽ ὑμῶν, ταῦτ᾽ ἐστὶν ἃ ἐγὼ γέγραφα. [1] ἂν ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, πορίσητε, τὰ χρήματα πρῶτον ἃ λέγω, εἶτα καὶ [2] τἆλλα παρασκευάσαντες, τοὺς στρατιώτας, τὰς τριήρεις, τοὺς ἱππέας, ἐντελῆ πᾶσαν τὴν δύναμιν νόμῳ κατακλείσητε ἐπὶ τῷ πολέμῳ μένειν, τῶν μὲν χρημάτων αὐτοὶ ταμίαι καὶ πορισταὶ [3] γιγνόμενοι, τῶν δὲ πράξεων παρὰ τοῦ στρατηγοῦ τὸν λόγον ζητοῦντες, παύσεσθ᾽ ἀεὶ περὶ τῶν αὐτῶν βουλευόμενοι καὶ πλέον οὐδὲν ποιοῦντες, καὶ ἔτι πρὸς τούτοις πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μέγιστον τῶν ἐκείνου πόρων ἀφαιρήσεσθε. ἔστι δ᾽ οὗτος τίς; ἀπὸ τῶν ὑμετέρων ὑμῖν πολεμεῖ συμμάχων, ἄγων καὶ φέρων τοὺς πλέοντας τὴν θάλατταν. ἔπειτα τί πρὸς τούτῳ; τοῦ πάσχειν αὐτοὶ κακῶς ἔξω γενήσεσθε, οὐχ ὥς περ τὸν παρελθόντα χρόνον εἰς Λῆμνον καὶ Ἴμβρον ἐμβαλὼν αἰχμαλώτους πολίτας ὑμετέρους ᾤχετ᾽ ἄγων, καὶ πρὸς τῷ Γεραιστῷ τὰ πλοῖα συλλαβὼν ἀμύθητα χρήματ᾽ ἐξέλεξε, τὰ τελευταῖα δ᾽ εἰς Μαραθῶνα ἀπέβη καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ᾽ ἔχων τριήρη,

[1] κἂν [2] τἆλλα πάντα παρασκευάσαντες [3] γενόμενοι

Καὶ τὸ τῶν πνευμάτων ἀσφαλὲς] Explica supplendo, καὶ ὅτε τῶν πνευμάτων ἀσφαλές ἐστι, quæ ultima vox etiam subaudienda est ad ῥᾴδιον quod præcessit. AUGER.

Ῥᾳδίως ἔσται] Scil. γνῶναι. Supra voces illas πρὸς αὐτῇ τῇ χώρᾳ cum τῷ ῥᾳδίως ἔσται conjungit Lucchesinius; ut sensus sit, *qua anni tempestate nihil erit a ventis timendum, hoc utique, cum in ipsa regione et in ostiis maritimarum urbium commorabimini, nullo negotio discernetis.* STOCK.

ιβ΄. Ὁ τούτων κύριος καταστὰς ὑφ᾽ ὑμῶν] Sic Basiliensis. Manutianus, ὁ κύριος καταστὰς ὑμῶν: quod magis placet, cum significet, imperatorem Atheniensium Atheniensem esse oportere. Mox pro ἂν ταῦτα, lego, ἂν δὲ ταῦτα. WOLF.

Καὶ τἆλλα πάντα παρασκευάσαντες, τοὺς στρατιώτας, τὰς τριήρεις, τοὺς ἱππέας, ἐντελῆ. πᾶσαν τὴν δύναμιν] Conjungo παρασκευάσαντες τἆλλα πάντα ἐντελῆ: Manutius ἐντελῆ πᾶσαν τὴν δύναμιν interpretari maluit: *copias plane universas lege lata discedere a bello prohibueritis.* IDEM.

Ἐντελῆ πᾶσαν τὴν δύναμιν] *Integras omnes copias*, i. e. omnes omnino copias. AUGER.

Ἄγων καὶ φέρων] Ἄγειν καὶ φέρειν τοὺς πολεμίους, ἢ τὴν χώραν, est *hostiliter grassari*, abducere jumenta et homines, diripere opes, vel *agere et rapere.* WOLF.

Ἔξω γενήσεσθε] Ἀπαλλαγήσεσθε τοῦ πάσχειν κακῶς. IDEM.

Οὐχ ὥσπερ] Supple ad interpretationem, οὐκ οἰχήσεται ἄγων, οὐδ᾽ ἐκλέξει, ὥσπερ τὸν παρελθόντα χρόνον ᾤχετ᾽ ἄγων, καὶ ἐξέλεξε. Γεραιστῷ: plures libri legunt Γεραστῷ. AUGER.

Καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ᾽ ἔχων τριήρη] Intelligo τὸ θεωρικὸν πλοῖον, de quo

ὑμεῖς δ' οὔτε ταῦτα ἠδύνασθε κωλύειν οὔτ' εἰς τοὺς χρόνους, οὓς ἂν [1]προθῆσθε, βοηθεῖν.

ιγ'. Καί τοι τί δή ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε τὴν μὲν τῶν Παναθηναίων ἑορτὴν καὶ τὴν τῶν Διονυσίων ἀεὶ τοῦ καθήκοντος χρόνου γίγνεσθαι, ἄν τε δεινοὶ λάχωσιν ἄν τε ἰδιῶται οἱ τούτων ἑκατέρων [2]ἐπιμελούμενοι, εἰς ἃ τοσαῦτ' ἀναλίσκετε χρήματα, ὅσα οὐδ' εἰς ἕνα τῶν ἀποστόλων, καὶ τοσοῦτον ὄχλον καὶ [3][τοσαύτην] παρασκευήν, ὅσην, οὐκ οἶδ' εἴ [4]τι τῶν ἁπάντων ἔχει· τοὺς δ' ἀποστόλους πάντας ὑμῖν ὑστερίζειν τῶν καιρῶν, τὸν εἰς Μεθώνην, τὸν εἰς Παγασάς, τὸν εἰς Ποτίδαιαν; ὅτι ἐκεῖνα μὲν ἅπαντα νόμῳ τέτακται, καὶ [5]πρόοιδεν ἕκαστος ὑμῶν ἐκ πολλοῦ τίς χορηγὸς ἢ γυμνασίαρχος τῆς φυλῆς, πότε καὶ παρὰ τοῦ καὶ τί λαβόντα τί δεῖ ποιεῖν, οὐδὲν ἀνεξέταστον οὐδ' ἀόριστον ἐν τούτοις ἠμέληται, ἐν δὲ τοῖς περὶ τοῦ πολέμου καὶ [6]τῇ τούτου παρασκευῇ ἄτακτα, [7]ἀδιόρθωτα, ἀόριστα ἅπαντα. τοιγαροῦν ἅμα ἀκηκόαμέν τι καὶ τριηράρχους καθίσταμεν καὶ τούτοις ἀντιδόσεις ποιούμεθα καὶ περὶ χρημάτων πόρου σκοποῦμεν· καὶ μετὰ ταῦτα ἐμβαίνειν

[1] προέλησθε [2] ἐπιμελησόμενοι [3] Absunt unci. [4] τις
[5] προεῖδεν [6] τῆς τούτου παρασκευῆς [7] ἀόριστα, ἀδιόρθωτα

est apud Platonem: quo sacrificia Delum ab Atheniensibus pervehebantur. Wolf.

Εἰς τοὺς χρόνους] Κατὰ, ἢ ἐν τοῖς χρόνοις, κατὰ κα.ὸν τὸ ὑφ' ὑμῶν προωρισμένον. Idem.

ιγ'. Παν. θηναίων ἑορτὴν, καὶ τὴν τῶν Διονυσίων] Consulat lector Potteri Archæol. Stock.

Ἄν τε δεινοὶ λάχωσιν, ἄν τε ἰδιῶται] Οἱ μὲν δεινοὶ ἐνταῦθα οἱ ἔμπειροι τῆς διαθέσεως τῶν ἑορτῶν· οἱ δὲ ἰδιῶται, οἱ ἄπειροι τῶν τοιούτων. Exemplo sit in oratione κατὰ Νεαίρας, Stephanus δεινὸς, Theogenes rex sacrificulus, ἰδιώτης: qui (ut alibi scripsi) opponitur τῷ τε πολιτευομένῳ, καὶ τῷ πεπαιδευμένῳ, καὶ τῷ τεχνίτῃ ἢ δεινῷ καὶ ἐμπείρως ἔχοντι ἢ εὐμοιρίαν φύσεως ἠὐτυχηκότι. Wolf.

Προεῖδεν] Malim πρόοιδεν, *præscit, ante novit*, sicut σύνοιδα, ἔξοιδα, præterito medio, προεῖδον, *providi, prospexi*, unde προϊδεῖν, sed a πρόοιδα προειδέναι, οι in ει mutato. Idem.

Χορηγὸς] Ædilis, qui Bacchanalibus gregi saltatorum sumptus suppeditat. Sed hujus munus e Midiana rectius cognoscetur. γυμνασίαρχος est qui oleum in palæstra se exercentibus præbet. Tribus autem fuisse decem Athenis illo tempore, docet oratio funebris. Idem.

Χορηγὸς] Civis qui chorum tribus suæ curabat, victum, vestem, et ornamenta ministrabat. *Ex edit.* Stock.

Γυμνασίαρχος] Qui pugilibus præerat, atque ei ludo necessaria præbebat. *Ibid.*

Τριηράρχους—ἀντιδόσεις] Τριηράρχοι, cives locupletiores, qui tenebantur non solum triremi præesse, sed et eam propriis sumptibus instruere et armare. Interdum unus, interdum duo vel plures conjunctim, hoc munus obierunt. Quod cum onerosum esset, licebat ei qui trierarchus constituebatur alium locupletiorem monstrare, qui id obiret; dummodo ille, permutatis cum hoc facultatibus, navem instruere velit. Hæc est ἀντίδοσις, *permutatio opum*, de qua loquitur Demosthenes; quæque multum certe turbarum et moræ afferret reipublicæ. Si de hisce plura velit lector, consulat Potteri Archæol. et Sigon. de Rep. Ath. *Ibid.*

τοὺς μετοίκους ἔδοξε καὶ τοὺς χωρὶς οἰκοῦντας, εἶτ' αὐτοὺς πάλιν ἀντεμβιβάζειν. εἶτ' ἐν ὅσῳ ταῦτα μέλλεται, προαπόλωλεν ἐφ' ἃ ἂν ἐκπλέωμεν· τὸν γὰρ τοῦ πράττειν χρόνον εἰς τὸ παρασκευάζεσθαι ἀναλίσκομεν, οἱ δὲ τῶν πραγμάτων καιροὶ οὐ μένουσι τὴν ἡμετέραν βραδυτῆτα καὶ ῥαθυμίαν, ἃς [1] δὲ τὸν μεταξὺ χρόνον δυνάμεις οἰόμεθ' ἡμῖν ὑπάρχειν, οὐδὲν οἷαί τε οὖσαι ποιεῖν ἐπ' αὐτῶν τῶν καιρῶν ἐξελέγχονται. ὁ δ' εἰς τοῦθ' ὕβρεως ἐλήλυθεν, ὥστ' ἐπιστέλλειν Εὐβοεῦσιν ἤδη τοιαύτας ἐπιστολάς.

ΕΠΙΣΤΟΛΑΙ.

ιδ'. [2] Τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀνεγνωσμένων ἀληθῆ μέν ἐστι τὰ πολλά, ὡς οὐκ ἔδει, οὐ μὴν ἀλλ' ἴσως οὐχ ἡδέα ἀκούειν. ἀλλ' εἰ μέν, ὅσα ἄν τις ὑπερβῇ τῷ λόγῳ, ἵνα μὴ λυπήσῃ, καὶ τὰ πράγματα ὑπερβήσεται, δεῖ πρὸς ἡδονὴν δημηγορεῖν· εἰ δ' ἡ τῶν λόγων χάρις, ἂν ᾖ μὴ προσήκουσα, ἔργῳ ζημία γίγνεται, αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, φενακίζειν ἑαυτούς, καὶ ἅπαντ' ἀναβαλλομένους, ὅσα ἂν ᾖ δυσχερῆ, πάντων ὑστερίζειν τῶν ἔργων, καὶ μηδὲ τοῦτο δύνασθαι μαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων, καὶ τὸν αὐτὸν τρόπον, ὥσπερ τῶν στρατευμάτων ἀξιώσειεν ἄν τις τὸν στρατηγὸν ἡγεῖσθαι, οὕτω καὶ τῶν πραγμάτων τοὺς εὖ [3] βουλευομέ-

[1] δ' εἰς τὸν [2] Τούτων οὖν, ὦ [3] βουλευομένους ἡγεῖσθαι χρὴ, ἵν'

Μετοίκους] Inquilinos, quibus permissum erat sub quibusdam legibus, Athenis commorari. *Ibid.*

Τοὺς χωρὶς οἰκοῦντας] S. τῶν πρώην δεσποτῶν ἀπελευθέρους, libertinos, qui relicta patroni familiâ suum ipsi negotium gerunt. Wolf.

Τοὺς χωρὶς οἰκοῦντας] Liberti *qui seorsim habitabant*, a dominorum familiis dimissi, eodem cum *inquilinis* jure censebantur, idemque tributum annuum, τὸ μετοίκιον, ærario pendebant. (Petit. II. 6. et Harpoc. in μετοίκιον.) Unde ad eadem quoque cum his munia præstanda adiguntur. Stock.

Τοὺς χωρὶς οἰκοῦντας] De horum verborum sensu multa viri docti disputant; ego intelligo de peregrinis extra urbem et agrum atticum habitantibus. Vide ad hæc ipsa verba Harpocrationem. Auger.

Ἐπιστολαὶ] Hæ literæ non ad nos pervenerunt. Videtur tamen Philippus in iis de opibus Atheniensium contemptim disseruisse, et Eubœenses monuisse, ne nimium iis fiderent. *Ex edit.* Stock.

ιδ'. Οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων] *Livius* lib. 9. cap. 18. *At, Hercule, reges, non liberi solum impedimentis omnibus, sed domini rerum temporumque*, trahunt consiliis cuncta, non sequuntur. Mount.

Ἔμπροσθεν εἶναι τῶν πραγμάτων] Ἡγεῖσθαι, βουλεύεσθαι πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται, ut ait Phocylides. Wolf.

Τὸν αὐτὸν τρόπον ὥσπερ] M. ὥνπερ. Idem.

νους, ἵν' ἃ ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττηται καὶ μὴ τὰ [1] συμβάντα ἀναγκάζωνται διώκειν. ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πλείστην δύναμιν ἁπάντων ἔχοντες, τριήρεις, ὁπλίτας, ἱππέας, χρημάτων πρόσοδον, τούτων μὲν μέχρι τῆς τήμερον ἡμέρας οὐδενὶ πώποτε ἐν δέοντι κέχρησθε, οὐδενὸς δ' ἀπολείπεσθε. ὥς περ δὲ οἱ βάρβαροι πυκτεύουσιν, οὕτω πολεμεῖτε Φιλίππῳ. καὶ γὰρ ἐκείνων ὁ πληγεὶς ἀεὶ τῆς πληγῆς ἔχεται, κἂν ἑτέρωσε πατάξῃ τις, ἐκεῖσέ εἰσιν αἱ χεῖρες· προβάλλεσθαι δ' ἢ βλέπειν ἐναντίον οὔτ' οἶδεν οὔτ' ἐθέλει. καὶ ὑμεῖς, ἐὰν ἐν Χερρονήσῳ πύθησθε Φίλιππον, ἐκεῖσε βοηθεῖν ψηφίζεσθε· ἐὰν ἐν Πύλαις, ἐκεῖσε· ἐὰν ἀλλοθί που, συμπαραθεῖτε [2] ἄνω κάτω. καὶ στρατηγεῖσθε μὲν ὑπ' ἐκείνου, βεβούλευσθε δ' οὐδὲν αὐτοὶ συμφέρον περὶ τοῦ πολέμου, οὐδὲ πρὸ τῶν πραγμάτων προορᾶτε οὐδέν, πρὶν ἂν ἢ γεγενημένον ἢ γιγνόμενόν τι πύθησθε. ταῦτα δ' ἴσως πρότερον μὲν [3] ἐνῆν· νῦν δὲ ἐπ' αὐτὴν ἥκει τὴν ἀκμήν, ὥστ' οὐκέτ' ἐγχωρεῖ.

ιέ. Δοκεῖ δέ μοι θεῶν τις, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς γιγνομένοις ὑπὲρ τῆς πόλεως αἰσχυνόμενος τὴν φιλοπραγμοσύνην ταύτην ἐμβαλεῖν Φιλίππῳ. εἰ γὰρ ἔχων ἃ κατέστραπται καὶ προείληφεν ἡσυχίαν ἔχειν ἤθελε καὶ μηδὲν ἔπραττεν ἔτι, ἀποχρῆν ἐνίοις ὑμῶν ἄν μοι δοκεῖ, ἐξ ὧν αἰσχύνην καὶ

[1] συμβαίνοντα [2] ἄνω καὶ κάτω [3] ἐνῆν ποιεῖν

Πλείστην δύναμιν] Instruere poterant 300 triremes, quæ cum hostium classe vel duplo majore, pugnam conserere valerent. Fuere iis quoque vicies mille pedites, et bis mille octingenti equites. Reditus autem annui eorum fuere 1200 talenta. *Ex edit.* Stock.

Χρημάτων πρόσοδον] Atheniensium annui reditus fuere talenta 1200, et quod excurreret. *Æschines* Orat. περὶ παραπρεσβ. Φόρος δ' ἡμῖν κατ' ἐνιαυτὸν προσῄει πλέον ἢ χίλια καὶ διακόσια τάλαντα. *Tributum vero nobis annuum accedit plusquam mille et ducenta talenta.* Atticæ autem totius census erat talentorum 6000: ut indicat *Demosthenes* περὶ συμμοριῶν. Vid. *Meurs.* loco modo citato. Mount.

Οὐδενὸς δ' ἀπολείπεσθε] Assectamini omnes, id est, in tergo hæretis hosti, sequimini, quo vos adversarii ducunt. Wolf.

Οὐδενὸς δὲ ἀπολείπεσθε] *A nemine disceditis,* ita omnibus currendo adhæretis, ut neminem prævertere possitis. Idem est quod infra συμπαραθεῖτε. Stock.

Ὥσπερ δὲ οἱ βάρβαροι πυκτεύουσιν] Non multum ab hac similitudine abhorret, quod est apud Aristotelem ά. τῶν μετὰ τὰ φυσικά· οἷον (φησὶν) ἐν ταῖς μάχαις οἱ ἀγύμναστοι ποιοῦσι. καὶ γὰρ ἐκεῖνοι περιφερόμενοι τύπτουσι πολλάκις καλὰς πληγάς· ἀλλ' οὔτ' ἐκεῖνοι ἀπ' ἐπιστήμης· οὔτε οὗτοι (οἱ πάλαι φιλοσοφήσαντες) ἐοίκασιν εἰδόσι λέγειν, ἃ λέγουσι. Wolf.

Οὐδὲ περὶ τῶν χρημάτων προορᾶτε οὐδὲν] Cum pecuniæ sint nervi bellorum, non incommoda est hæc lectio. Malo tamen cum Obsopœo, πραγμάτων, quod omnia complectitur: et quid si legas, οὐδὲ πρὸ τῶν πραγμάτων. Idem.

Ἐπ' αὐτὴν ἥκει τὴν ἀκμὴν] In ipsum rerum discrimen ventum est, ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς τὰ πράγματα. Idem.

ιέ. Ἀποχρῆν] Sub. ταῦτα. Ἀποχρῆν pro ἀποχρῆναι. Auger.

ἀνανδρίαν καὶ πάντα τὰ αἴσχιστα ὠφληκότες ἂν ἦμεν δημοσίᾳ· νῦν δ' ἐπιχειρῶν ἀεί τινι καὶ τοῦ πλείονος ὀρεγόμενος ἴσως ἂν ἐκκαλέσαιθ' ὑμᾶς, εἴ περ μὴ παντάπασιν ἑαυτῶν ἀπεγνώκατε. Θαυμάζω δ' ἔγωγε εἰ μηδεὶς ὑμῶν μήτ' ἐνθυμεῖται [1] μήτ' ὀργίζεται ὁρῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν μὲν ἀρχὴν τοῦ πολέμου γεγενημένην [2] ὑπὲρ τοῦ τιμωρήσασθαι Φίλιππον, τὴν δὲ τελευτὴν οὖσαν ἤδη ὑπὲρ τοῦ μὴ [3] παθεῖν κακῶς ὑπὸ Φιλίππου. ἀλλὰ μὴν ὅτι γε οὐ στήσεται, δῆλον, εἰ μή τις αὐτὸν κωλύσει. εἶτα τοῦτ' ἀναμενοῦμεν, καὶ [4] τριήρεις κενὰς καὶ τὰς παρὰ τοῦ δεῖνος ἐλπίδας ἐὰν ἀποστείλητε, πάντ' ἔχειν οἴεσθε καλῶς; οὐκ ἐμβησόμεθα; οὐκ ἔξιμεν αὐτοὶ μέρει γέ τινι στρατιωτῶν οἰκείων νῦν, εἰ καὶ μὴ πρότερον; οὐκ ἐπὶ [5] τὴν ἐκείνου πλευσούμεθα; Ποῖ δὴ προσορμιούμεθα; ἤρετό τις. Εὑρήσει τὰ σαθρά, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἐκείνου πραγμάτων αὐτὸς ὁ πόλεμος, ἂν ἐπιχειρῶμεν· ἂν μέντοι καθώμεθα οἴκοι, λοιδορουμένων ἀκούοντες καὶ αἰτιωμένων ἀλλήλους τῶν λεγόντων, οὐδέποτ' οὐδὲν ἡμῖν οὐ μὴ γένηται τῶν δεόντων. ὅποι μὲν γὰρ ἄν, οἶμαι, μέρος τι τῆς πόλεως συναποσταλῇ, κἂν μὴ πᾶσα παρῇ, καὶ τὸ τῶν θεῶν εὐμενὲς καὶ τὸ τῆς τύχης ἡμῖν συναγωνίζεται· ὅποι δ' ἂν στρατηγὸν καὶ ψήφισμα κενὸν καὶ τὰς ἀπὸ τοῦ βήματος ἐλπίδας ἐκπέμψητε, οὐδὲν [6] ὑμῖν τῶν δεόντων γίγνεται, ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶσιν, οἱ δὲ σύμμαχοι τεθνᾶσι τῷ [7] δέει τοὺς τοιούτους ἀποστόλους. οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἕνα

[1] μήτε λογίζεται [2] περὶ [3] παθεῖν αὐτοὺς κακῶς ὑπὸ τοῦ
[4] τριήρεις πολιτικῆς δυνάμεως κενὰς [5] τῶν ἐκείνου πραγμάτων, ὦ ἄνδρες ἀθηναῖοι,
[6] ἡμῖν [7] δέει, διὰ τοὺς

Ἤρετό τις] Accipe quasi legeretur ἔροιτό τις, quod ultimum proponit Lambinus. IDEM.

Ἤρετό τις] Doctiss. *Zach. Pearce* in Emendat. ad *Longin.* "Hæc verba aut ex Glossemate nata sunt, utpote ex margine, ubi ad voces ποῖ δὴ προσορμιούμεθα explicandas posita erant, in textum recepta: aut ea lectio, quæ inter varias Demosthenis lectiones a *Morellio* collectas extat, admittenda est, sc. ἔροιτό τις." Ego quidem mutare nolui, quippe quod hasce voces omnino delendas esse censeam. MOUNT.

Εὑρήσει τὰ σαθρὰ] *Tacitus* ad hunc Demosthenis locum videtur respexisse, cum dicit in l. 2. Hist. *Aperiet et recludet contecta et tumescentia victricium partium vulnera bellum ipsum.* IDEM.

Καταγελῶσι τοὺς ἀποστόλους] Hæc conjungo, etsi forte legendum, τῶν τοιούτων ἀποστόλων. et postea οἱ σύμμαχοι τεθνᾶσι τῷ δέει. Durum enim fuerit, τεθνᾶσι τοὺς τοιούτους ἀποστόλους, ἀντὶ τοῦ διὰ τοὺς, ἢ ἕνεκα τῶν τοιούτων ἀποστόλων, οὐδαμῶς θαρροῦντες τούτοις. WOLF.

Τεθνᾶσι τῷ δέει] *Moriuntur timore*, i. e. timent non secus ac mortem: et hæc construuntur cum accusativo. AUGER.

ἄνδρα ἂν δυνηθῆναί ποτε ταῦθ' ὑμῖν πρᾶξαι ἅπανθ' ὅσα βούλεσθε· ὑποσχέσθαι μέντοι καὶ φῆσαι καὶ τὸν δεῖνα αἰτιάσασθαι καὶ τὸν δεῖνα ἔστι. τὰ δὲ πράγματα ἐκ τούτων ἀπόλωλεν· ὅταν γὰρ ἡττῆται μὲν ὁ στρατηγὸς ἀθλίων ἀπομίσθων ξένων, οἱ δ' ὑπὲρ ὧν ἂν ἐκεῖνος ἐκεῖ πράξῃ πρὸς ὑμᾶς ψευδόμενοι ῥᾳδίως ἐνθάδ' ὦσιν, ὑμεῖς δ' ἐξ ὧν ἂν ἀκούσητε ὅ τι ἂν [1] τύχητε ψηφίζησθε, τί καὶ χρὴ προσδοκᾶν; Πῶς οὖν ταῦτα παύσεται; Ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς αὐτοὺς ἀποδείξητε στρατιώτας καὶ μάρτυρας τῶν στρατηγουμένων καὶ δικαστὰς οἴκαδ' ἐλθόντας τῶν εὐθυνῶν, ὥστε μὴ ἀκούειν μόνον ὑμᾶς τὰ ὑμέτερ' αὐτῶν ἀλλὰ καὶ παρόντας ὁρᾶν· νῦν δ' εἰς τοῦθ' ἥκει τὰ πράγματα αἰσχύνης, ὥστε τῶν στρατηγῶν ἕκαστος δὶς καὶ τρὶς κρίνεται παρ' ὑμῖν περὶ θανάτου, πρὸς δὲ τοὺς ἐχθροὺς οὐδεὶς οὐδὲ ἅπαξ αὐτῶν ἀγωνίσασθαι περὶ θανάτου τολμᾷ, ἀλλὰ τὸν τῶν ἀνδραποδιστῶν καὶ λωποδυτῶν θάνατον μᾶλλον αἱροῦνται τοῦ προσήκοντος· κακούργου μὲν γάρ ἐστι κριθέντ' ἀποθανεῖν, στρατηγοῦ δὲ μαχόμενον τοῖς πολεμίοις.

ις'. Ὑμῶν δ' οἱ μὲν περιιόντες μετὰ Λακεδαιμονίων φασὶ Φίλιππον πράττειν τὴν Θηβαίων κατάλυσιν καὶ τὰς πολιτείας διασπᾶν, οἱ δ' ὡς πρέσβεις πέπομφεν ὡς βασιλέα,

[1] τύχῃ ῥᾳδίως ψηφίσησθε

Ἡττῆται] Ἡγῆται dedit Mountneius ex fide MSS. Morell. et Felician. Nam vulgata lectio ἡττῆται minime iis videtur congruere, quæ mox de Imperatoribus dicuntur: πρὸς τοὺς ἐχθροὺς οὐδεὶς οὐδὲ ἅπαξ αὐτῶν ἀγωνίσασθαι περὶ θανάτου τολμᾷ. STOCK.

Ἀπομίσθων] Ἀπόμισθοι, inquit Harpocratio, παρὰ Δημοσθένει, ἐν Φιλιππικοῖς καὶ ἐν τῷ κατ' Ἀριστοκράτους, οἱ μισθὸν μὴ λαμβάνοντες. AUGER.

Ῥᾳδίως ἐνθένδε ὦσι] Lego cum Obsopœo, πρὸς ὑμᾶς ψευδόμενοι ῥᾳδίως ἐνθάδε ὦσι. WOLF.

ις'. Οἱ μὲν περιιόντες] Similis est locus περὶ τῶν λογοποιούντων in Philippica Isocratis, cum hoc conferendus.

Κατάλυσιν] Ubicunque pollerent Lacedæmonii, oligarchiam constituere affectarunt. *Ex edit.* STOCK.

Τὰς πολιτείας διασπᾶν] Ἢ ὀλιγαρχίας, ἢ τυραννίδας ἐγκαθιστάντα ταῖς πόλεσι. Nam fuit hæc Græcorum ratio: Reges, urbes gubernari a singulis: Oligarchici, ut Lacedæmonii, a paucis: Democratici, ut Athenienses, a multis, hoc est a plebe, voluerunt. Hoc illud est, quod ait Thucydides τῇ α'. τοὺς λακεδαιμονίους βούλεσθαι τοὺς συμμάχους ἐπιτηδείως σφίσιν αὐτοῖς πολιτεύεσθαι, τουτέστιν, ὀλιγαρχεῖσθαι. WOLF.

Ὡς πρέσβεις πέπομφεν ὡς βασιλέα] Nam cum Isocratis impulsu bellum Persicum animo agitaret, probabile est, et ejus ingenio dignum, per fœciales prius eum res repetere voluisse: hoc est, τὰς κατὰ τὴν ἀσίαν ἑλληνίδας πόλεις καὶ νήσους ἀξιοῦν ἐκεῖνον ἐλευθέρας ἀφεῖναι, καὶ τῆς εὐρώπης παντελῶς ἀποστῆναι, ἀρκούμενον τῇ τῶν ἐν τῇ ἀσίᾳ κατοικούντων βαρβάρων ἀρχῇ. IDEM.

Ὡς βασιλέα] Ita appellatur Rex Persarum. Videtur Philippus hac legatione causas quæsivisse belli contra Persam denunciandi, quod olim (impulsu Isocratis) animo agitarat. *Ex edit.* STOCK.

Βασιλέα] Alibi passim Demosthenes

οἱ δ᾽ ἐν Ἰλλυριοῖς πόλεις τειχίζειν, οἱ δὲ λόγους πλάττοντες ἕκαστος περιερχόμεθα. ἐγὼ δ᾽ οἴομαι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, νὴ τοὺς θεοὺς ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων καὶ πολλὰ τοιαῦτα ὀνειροπολεῖν ἐν τῇ γνώμῃ, τήν τ᾽ ἐρημίαν τῶν κωλυσόντων ὁρῶντα καὶ τοῖς πεπραγμένοις ἐπηρμένον, οὐ [1] μέντοι γε μὰ Δί᾽ οὕτω προαιρεῖσθαι πράττειν, ὥστε τοὺς ἀνοητοτάτους τῶν παρ᾽ ἡμῖν εἰδέναι τί μέλλει ποιεῖν ἐκεῖνος· ἀνοητότατοι γάρ εἰσιν οἱ λογοποιοῦντες. ἀλλ᾽ ἐὰν ἀφέντες ταῦτ᾽ [2] ἐκεῖνο εἰδῶμεν, ὅτι ἐχθρὸς [3] ἄνθρωπος καὶ τὰ ἡμέτερα ἡμᾶς ἀποστερεῖ καὶ χρόνον πολὺν ὕβρικε καὶ ἅπανθ᾽, ὅσα πώποτ᾽ ἠλπίσαμέν τινα πράξειν ὑπὲρ ὑμῶν, καθ᾽ ἡμῶν εὕρηται, καὶ τὰ λοιπὰ ἐν ἡμῖν αὐτοῖς ἐστί, κἂν μὴ νῦν ἐθέλωμεν ἐκεῖ πολεμεῖν αὐτῷ, ἐνθάδ᾽ ἴσως ἀναγκασθησόμεθα τοῦτο ποιεῖν, — ἂν ταῦτα εἰδῶμεν, καὶ τὰ δέοντα ἐσόμεθα ἐγνωκότες καὶ λόγων ματαίων ἀπηλλαγμένοι· οὐ γὰρ ἅττα ποτ᾽ ἔσται δεῖ σκοπεῖν, ἀλλ᾽ ὅτι φαῦλ᾽, [4] ἐὰν μὴ προσέχητε τοῖς πράγμασι τὸν νοῦν καὶ τὰ προσήκοντα ποιεῖν ἐθέλητ᾽, εὖ εἰδέναι.

[1] μέντοιγε οὐ μὰ [2] ἐκεῖνα [3] ἄνθρωπος [4] ἂν

Persarum Regem solo Βασιλέως seu *Regis* titulo, ut hic, designat. Atque ita alii sæpe Scriptores. *Aristoph.* in Acharn. ver. 647. Ὅτι καὶ Βασιλεὺς et quæ sequuntur. Idem in Equit. 476.——ἃ Μήδοις καὶ Βασιλεῖ ξυνόμνυτε. Usitatius autem Μέγας Βασιλεὺς appellabatur. Sic idem in Pluto ver. 170. Μέγας δὲ Βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ; ad quem locum hæc *Car. Giraldus*: "*Magnum Regem* absolute vocant regem Persarum. Cum enim Cyrus Assyriæ et Mediæ regna in Persas transtulisset, Asiam debellasset (unde argenti quingenta millia talentorum reportavit, præter craterem Semiramidis, cujus pondus erat quindecim talentorum) vocatus est *μέγας βασιλεύς*: a quo postea Persarum reges *μεγάλους βασιλέας* appellari se voluerunt." MOUNT.

Ἐν Ἰλλυριοῖς] Decem abhinc annos Philippus magnam hujus regionis partem subegerat. Haud veri absimile est eos istiusmodi rumores eo animo sparsisse, ut Philippo essent utiles, cum persuasum darent, scilicet, longe ab Athenis esse remotas ejus cogitationes atque consilia. *Ex edit.* STOCK.

Οἱ δὲ λόγους πλάττοντες ἕκαστος περιερχόμεθα] Etsi et hæc lectio excusari potest, malim tamen ἕκαστοι. Sic in oratione περὶ εἰρήνης, μὴ πάντες, περὶ τῶν ἰδίων ἕκαστος ὀργιζόμενος: servata numerorum congruentia. WOLF.

Ἐκεῖνον μεθύειν — καὶ π. τ. ὀνειροπολεῖν] *Horatius* ad hunc locum videtur respexisse, cum de Cleopatra dicit, Od. 1. 37.

——*quidlibet impotens*
Sperare, fortunaque dulci
Ebria. MOUNT.

Ἠλπίσαμέν τινα] Haud scio, an hæc de Philippo, an de aliquo duce aut satrapa Persico intelligenda sint. Ac multa sane, mea quidem opinione, apud Græcos et Latinos autores occurrunt, historica præsertim, in quibus præstet in ipsius scriptoris verbis acquiescere, quam sese frustra fatigando, incertas conjecturas persequi. WOLF.

Καθ᾽ ἡμῶν εὕρηται] Sub. πράξας. AUGER.

Ἅττα] Aliquando cum leni scribitur hæc vox, et tum significat τινά; cum aspirata vero, ut hic, ἅτινα. *Etymol. Mag.* ἄττα. Nonnunquam accipitur pro ὅσα: alicubi tamen redundat. Pherecrates in Chirone ἐπ᾽ ἀριθμοῦ eam usurpavit: Aristophanes vero ἐπὶ χρόνου. *Harpoc.* et *Etymol.* MOUNT.

ιζ'. Ἐγὼ μὲν οὖν οὔτ' ἄλλοτε πώποτε πρὸς χάριν εἱλόμην λέγειν, ὅ τι ἂν μὴ καὶ συνοίσειν ὑμῖν πεπεισμένος ὦ, νῦν τε ἃ γιγνώσκω πάνθ' ἁπλῶς, οὐδὲν ὑποστειλάμενος, πεπαῤῥησίασμαι· ἐβουλόμην δ' ἄν, ὥσπερ ὅτι ὑμῖν συμφέρει τὸ τὰ βέλτιστα ἀκούειν οἶδα, οὕτως εἰδέναι συνοῖσον καὶ τῷ τὰ βέλτιστα εἰπόντι· πολλῷ γὰρ ἂν ἥδιον εἶπον. νῦν δ' ἐπ' ἀδήλοις οὖσι τοῖς ἀπὸ τούτων ἐμαυτῷ γενησομένοις, ὅμως ἐπὶ τῷ συνοίσειν ὑμῖν, ἐὰν πράξητε, ταῦτα πεπεῖσθαι λέγειν αἱροῦμαι. νικῴη δ' ὅ τι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.

ιζ'. Νικῴη δ' ὅτι] Opportuna clausula, qua et Melanopum Callistrati adversarium in republica, cum ab illo corruptus largitionibus de sententia decederet, usum esse, Plutarchus tradit: ὁ μὲν ἀνὴρ ἐχθρὸς, τὸ δὲ τῆς πόλεως νικάτω συμφέρον. WOLF.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΟΛΥΝΘΙΑΚΟΥ Α (Β).

ΠΡΟΣΗΚΑΝΤΟ μὲν τὴν πρεσβείαν τῶν Ὀλυνθίων οἱ Ἀθηναῖοι, καὶ βοηθεῖν αὐτοῖς κεκρίκασι· μέλλουσι δὲ περὶ τὴν ἔξοδον καὶ δεδιόσιν, ὡς δυσπολεμήτου ὄντος τοῦ Φιλίππου, παρελθὼν ὁ Δημοσθένης πειρᾶται θαρσύνειν τὸν δῆμον, ἐπιδεικνὺς ὡς ἀσθενῆ τὰ τοῦ Μακεδόνος πράγματα. καὶ γὰρ τοῖς συμμάχοις ὕποπτον αὐτὸν εἶναί φησι, καὶ κατὰ τὴν [1] οἰκείαν δύναμιν οὐκ ἰσχυρόν· τοὺς γὰρ Μακεδόνας ἀσθενεῖς εἶναι καθ᾽ ἑαυτούς.

[1] ἰδίαν

ΟΛΥΝΘΙΑΚΟΣ Α (Β).

Ol. 107, 4.

α΄. ΕΠΙ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν [2] γιγνομένην τῇ πόλει, οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασι· τὸ γὰρ τοὺς πολεμήσοντας Φιλίππῳ γεγενῆσθαι καὶ χώραν ὅμορον καὶ δύναμίν τινα κεκτημένους, καὶ τὸ μέγιστον ἁπάντων, τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας, ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς πρῶτον μὲν ἀπίστους, εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν εἶναι, δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ. δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ᾽ ἤδη σκοπεῖν αὐτούς, ὅπως μὴ χείρους περὶ ἡμᾶς αὐτοὺς εἶναι [3] δόξομεν τῶν ὑπαρχόντων, ὡς ἔστι τῶν

[2] γενομένην [3] δόξωμεν

Τὸ τοὺς πολεμήσοντας] Alii πολεμήσαντας. Wolf.

Γεγενῆσθαι κεκτημένους] Τουτέστιν, ὅτι οἱ πολεμήσοντες κέκτηνται· ἢ ἀνάπαλιν μᾶλλον, ὅτι οἱ κεκτημένοι καὶ χώραν ὅμορον, καὶ δύναμίν τινα, πολεμήσουσι φιλίππῳ. Idem.

Ὥστε τὰς πρὸς ἐκεῖνον] Etiam ex hoc loco apparet, Olynthiorum levitatem nonnullis suspectam fuisse. Idem.

Δαιμονίᾳ τινὶ καὶ θείᾳ] *Semideorum, ac potius Deorum videtur esse beneficentiæ.* Dæmonum naturam inter humanam et divinam mediam esse, hac inferiorem, illa præstantiorem, veteres crediderunt. δαιμονία commode reddi non potest, nisi vertas, *admirabilis, insignis, singularis,* &c. Nam *angelicam* dici, Latinus sermo non sinit. Græci Aristotelem δαιμόνιον, Platonem, quem illi præferunt, θεῖον olim cognominarunt. Sed discrimen θεῶν καὶ δαιμόνων veteres sæpe confundunt: nec mirum: cum eorum dii dæmones fuerint. Idem.

Τῶν ὑπαρχόντων] Id est τῆς τύχης, τοῦ

αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ μόνον πόλεων καὶ τόπων ὧν ἦμέν ποτε κύριοι φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμμάχων τε καὶ καιρῶν.

β΄. Τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι. διὰ τί; ὅτι μοι δοκεῖ πάνθ', ὅσ' ἂν εἴποι τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν ἔχειν φιλοτιμίαν τινά, ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι. ὁ μὲν γὰρ ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται· ὑμεῖς δὲ ὅσῳ χεῖρον ἢ προσῆκε κέχρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. ταῦτα μὲν οὖν παραλείψω. καὶ γὰρ εἰ μετ' ἀληθείας τις, ὦ ἄνδρες Ἀθηναῖοι, σκοποῖτο, ἐνθένδ' ἂν αὐτὸν ἴδοι μέγαν γεγενημένον, οὐχὶ παρ' αὑτοῦ· ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. ἃ δὲ καὶ χωρὶς τούτων ἔνι,

καιροῦ, τῆς θείας εὐεργεσίας: utendum occasionibus, et fortunæ benignitate: divina liberalitas amplectenda est. Idem.

Φαίνεσθαι προϊεμένους] Φανερῶς προΐεσθαι. Idem.

Φαίνεσθαι προϊεμένους πόλεων] *Videri projicientes urbium*, more Latinorum, cum participia in nomina degenerant, ut apud Sallustium, *Catilina, sui profusus, alieni appetens*: τῶν μὲν ἰδίων προετικὸς ἢ προϊέμενος· τῶν δ' ἀλλοτρίων ὀρεκτικὸς ἢ ὀρεγόμενος. Nam alioqui προΐεμαι accusativo jungitur, ut ά. (γ΄). ὀλ. εἰ δὲ προησόμεθα ὦ ἀ. ἀ., καὶ τούτους τοὺς ἀνθρώπους, &c. Idem.

β΄. Ὑπὲρ τούτων] Fortassis, ὑπὲρ τούτου, vel, ὑπὲρ τῶν φιλίππῳ πεπραγμένων: ut non ad verba, sed ad sensum referatur constructio. Idem.

Ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι] Εὐφήμως, ἀντὶ τοῦ, ἀτιμίαν καὶ ἀδοξίαν ἡμῖν προξενῆσαι. Propositio præteritionis: non hortabor vos exemplo Philippi. Ratio, quod ea oratio illi honorifica, nobis ignominiosa est. Hanc rationem προσαποδόσει eleganti illustrat et ἀντιθέσει. Idem.

Ὑπὲρ τὴν ἀξίαν] *Supra dignitatem*, plus quam ab eo quisquam expectare aut postulare debuisset. Idem.

Αἰσχύνην ὠφλήκατε] Demosthenes eleganti hac metaphora, a debitoribus sumpta, qui Gr. ὄφλοντες dicuntur, sive iis qui judicio damnantur, maximopere uti amat. Sic supra in Philipp. §. ιέ. αἰσχύνην, καὶ ἀνανδρίαν, καὶ πάντα τὰ αἴσχιστα ὠφληκότες: infra Olynthiaca, 3. §. ί. ἄνοιαν ὀφλισκάνων: in Chersonetica, ὑστερίζοντας δὲ τῶν ἔργων αἰσχύνην προσοφλισκάνειν. In Orat. contra Leptinem, — οὐ μικρὰν ζημίαν ὀφλήσειν μέλλουσαν (τὴν πόλιν). Οὐ γάρ, εἰ μὴ χρήματα ἀπόλλυται, μόνον σκεπτέον, ἀλλ' εἰ καὶ δόξαν χρηστὴν, &c. Laus et gloria virtutis præmium, vitiorum et peccatorum ignominia et dedecus pœna, sive mulcta et quidem gravissima ingenuis hominibus: ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων ζημία τοῖς γε σώφροσι. Olynth. 3. §. ί. quare bene dicuntur αἰσχύνην ὀφλισκάνειν, *probrum debere* aut *luere*. Mount.

Ἐνθένδ' ἂν] *Hinc*, id est, ἐκ τοῦ βήματος, καὶ τῆς ἐκκλησίας: nostræ conciones ejus opes auxerunt: Mercenariis oratoribus, et oscitantibus ac ignavis auditoribus acceptam referre debet potentiam tantam, non suæ virtuti atque industriæ. Wolf.

Ὧν οὖν ἐκεῖνος] Ὧν ὀφείλει χάριν, ὧν λαβεῖν δίκην, pro, ὑπὲρ ὧν, δι' ἅ. Idem.

Τούτων τὸν καιρὸν] Ἀντὶ τοῦ, τοῦ λέγειν ταῦτα τὸν καιρὸν οὐχὶ ὁρῶ νῦν ὄντα. Idem.

Καὶ χωρὶς τούτων] Τῶν περὶ τῶν φιλιππιζόντων ῥητόρων, καὶ τῶν πεποιημένων τῷ φιλίππῳ ὑπὲρ τὴν ἀξίαν αὐτοῦ. Idem.

Ἔνι] Ἔνεστι λέγειν. Unde τὰ ἐνόντα, *ea*

καὶ βέλτιόν ἐστιν ἀκηκοέναι πάντας ὑμᾶς, καὶ μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη βουλομένοις ὀρθῶς δοκιμάζειν, ταῦτ' εἰπεῖν πειράσομαι.

γ΄. Τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι λοιδορίαν εἶναί τις ἂν φήσειε κενὴν δικαίως· τὸ δὲ πάνθ', ὅσα πώποτ' ἔπραξε, διεξιόντα ἐφ' ἅπασι τούτοις ἐλέγχειν καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι καὶ [1] δυεῖν ἕνεκα [2] συμφέρειν ἡγοῦμαι εἰρῆσθαι, τοῦ τ' ἐκεῖνον, ὅ περ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι, καὶ τοῦ τοὺς ὑπερεκπεπληγμένους ὡς ἄμαχόν τινα τὸν Φίλιππον ἰδεῖν ὅτι πάντα διεξελήλυθεν οἷς πρότερον παρακρουόμενος μέγας νῦν ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν τελευτὴν τὰ πράγματ' αὐτῷ. Ἐγὼ μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρ' ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν εἶναι [3] τὸν Φίλιππον καὶ θαυμαστόν, εἰ τὰ δίκαια πράττοντα ἑώρων αὐτὸν ηὐξημένον· νῦν δὲ θεωρῶν καὶ σκοπῶν εὑρίσκω τὴν μὲν ἡμετέραν

[1] δυοῖν [2] ἡγοῦμαι συμφέρειν [3] καὶ θαυμαστὸν τὸν Φίλιππον

quæ in re insunt, et ἐκ τῶν ἐνόντων, τουτέστι, κατὰ τὴν δύναμιν. IDEM.

Καὶ βέλτιόν ἐστιν] Διὰ τὸ ἀναθαῤῥῆσαι δήπου, καὶ τὸν φόβον ἐκβάλλειν ὑμᾶς. Attentionis et benevolentiæ captatio. Grata enim et jucunda erat Atheniensibus criminatio Philippi: nec minus extenuatio virium illius. Hæc enim duo se facturum proponit. IDEM.

Μεγάλα ὀνείδη] Ἐπιορκία καὶ ἀπιστία. IDEM.

γ΄. Τὸ δὲ πάνθ' ὅσα] Verba sic ordinanda sunt, mutato propter relativum pronomen participio in verbum: τὸ διεξιέναι πάντα, ὅσα φίλιππος ἔπραξε πώποτε, καὶ ἐλέγχειν αὐτὸν ἐφ' ἅπασι τούτοις· συμβαίνει καὶ δεῖσθαι λόγου βραχέος, καὶ ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, ἕνεκα δυοῖν. Hyperbolica propositio, referenda tantum ad ἐπίορκα καὶ ἄπιστα ἔργα, quorum tria tantum, sed magna recenset, deceptos Athenienses, Olynthios, Thessalos. IDEM.

Ὅτι διεξελήλυθε] Τὸ διεξιέναι καὶ διελθεῖν ἢ διεξελθεῖν, alias est τὸ λέγειν καὶ διηγεῖσθαι: hic vero τὸ διαπορευθῆναι, κατὰ μεταφορὰν, καὶ καταναλῶσαι πάσας τὰς πανουργίας καὶ δεινότητας. IDEM.

Ηὐξήθη νῦν μέγας] Οὕτως ηὐξήθη τῷ παρακρούεσθαι, ὥστε νῦν εἶναι μέγαν αὐτόν. Supra μέγαν γεγενημένον. IDEM.

Καὶ πρὸς αὐτὴν] Ὅτι τὰ πράγματα ἥκει αὐτῷ πρὸς τὴν τελευτὴν, id est, ὅτι ἡ ἐπιορκία καὶ ἡ ἀπιστία αὐτοῦ, οὐδένα ἂν ἔτι παρακρούσαιτο καὶ ἐξαπατήσειε. Sententia hujus loci est: Nulla fore posthac Philippi incrementa: nullos eum sibi socios adjuncturum: consumtos esse omnes ejus dolos. Hæc propositio est. IDEM.

Ἐγὼ γὰρ] Confirmatio, tractata ἐκ θέσεως καὶ ἀναιρέσεως. Argumenti summa est, Philippi imperium male partum non fore diuturnum: ducti a causis efficientibus, et illustrati contentione contrariorum et similitudine. IDEM.

Εὑρίσκω τὴν] Difficilior locus: proinde verba in primis simpliciter ordinabimus: εὑρίσκω, scilicet τὸν φίλιππον, προσαγόμενον (προσαγηοχέναι) τὴν ἡμετέραν εὐήθειαν (ἡμᾶς εὐήθεις ὄντας) τὸ κατ' ἀρχὰς (πρῶτον) ὅτε τινὲς ἀπήλαυνον ἐνθένδε (ἀπὸ τοῦ βήματος καὶ τῆς ἐκκλησίας) ὀλυνθίους βουλομένους ἡμῖν διαλεχθῆναι. Quomodo προσαγηοχέναι? τούτῳ, scilicet τῷ φάσκειν παραδώσειν ἀμφίπολιν καὶ κατασκευάσειν τὸ θρυλλούμενόν ποτε ἐκεῖνο ἀπόῤῥητον· τὴν δὲ ὀλυνθίων φιλίαν, scilicet εὑρίσκω προσαγόμενον &c. Video, Philippum nobis stultis os sublevisse primum, cum quidam Olynthios apud nos verba facturos, hinc repulerunt, hac fraude, quod jactabat, se nobis Amphipolim traditurum, et confecturum arcanum illud, quod aliquando jactabatur: invenio item, eum Olynthiorum amicitiam sibi conciliasse, &c. Nunc ad partes veniamus:

εὐήθειαν τὸ κατ' ἀρχάς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε βουλομένους ἡμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν [1] καὶ τὸ θρυλούμενόν ποτε ἀπόῤῥητον ἐκεῖνο κατασκευάσαι, τούτῳ [2] προσαγαγόμενον· τὴν δ' Ὀλυνθίων φιλίαν μετὰ ταῦτα τῷ Ποτίδαιαν, οὖσαν ὑμετέραν, ἐξελεῖν καὶ τοὺς μὲν πρότερον συμμάχους ἡμᾶς ἀδικῆσαι, παραδοῦναι δὲ ἐκείνοις· Θετταλοὺς δὲ νῦν τὰ τελευταῖα τῷ Μαγνησίαν παραδώσειν ὑποσχέσθαι καὶ τὸν Φωκικὸν πόλεμον πολεμήσειν [3] ὑπὲρ αὐτῶν ἀναδέξασθαι. ὅλως δὲ οὐδεὶς ἔστιν ὅντιν' οὐ πεφενάκικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων· τὴν γὰρ ἑκάστων ἄνοιαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν

[1] καὶ τῷ τὸ θρυλλούμενόν [2] προσαγόμενον [3] ὑπὲρ αὐτῶν πολεμήσειν

καὶ τὸ θρυλλούμενον] Hic vero locus obscurus est, et haud scio, an quisquam sit, qui eum a se plane intelligi affirmare ausit. Causa obscuritatis est, primum ignoratio historiæ, cujus fit mentio. Deinde ἀπόῤῥητον et θρυλλούμενον pugnare videntur. Postremo ambiguum est ἀπόῤῥητον, sitne ad θρυλλούμενον, an vero ad κατασκευάσειν ἐπιῤῥηματικῶς referendum. Ac quod ad historiam attinet, credamus sane Græco interpreti Ulpiano. Deinde θρυλλούμενον intelligi potest non id modo, quod omnium sermone celebratur, sed quo de inter eos verba fiunt, quorum negotium agitur, aliis ignotum. Ita unum et idem Atheniensibus et Philippo θρυλλούμενον: Pydnæis, Potidæatis et Amphipolitanis ἀπόῤῥητον esse potuit. Potuit etiam fieri, ut Philippus pollicitaretur, se collaturum quoddam in Athenienses beneficium, quod tamen, ob adjunctum periculum, vulgandum nondum esset: sicut Pericles in referendis rationibus ad populum dixit, se aliquod talenta εἰς δέον ἀνηλωκέναι, id est *utiliter et tempestive insumsisse*, quibus Lacedæmonios quosdam corruperat. Postremo κατασκευάζειν τι ἀπόῤῥητον pro ἐν ἀποῤῥήτῳ vel ἀποῤῥήτως, usitata et plana constructio est. Hæc si cui non satisfaciunt, is planiora et certiora quærat. Socrates scholasticus Ecclesiasticæ historiæ lib. 1. locutionem habet non dissimilem admodum: ἦν δὲ ὁ διωγμὸς θρυλλούμενος ἐν ταυτῷ καὶ ἀπόῤῥητος· ἐκρύπτετό τε τῷ λόγῳ, καὶ ἔργῳ ἦν φανερός. Idem.

Θρυλούμενόν ποτε ἀπόῤῥητον] Philippus Amphipolim liberam dimiserat. Athenienses itaque hujus urbis recipiendæ cupidi, legatos ad Philippum mittunt, opem in hac re petentes, et se Pydnam illi pro tali beneficio daturos promittentes. Sed ne Pydnæi, imperium Philippi aspernantes, aliquid interea molirentur, res in senatu clam acta erat, neque, ut solitum est, ad populum relata.—Hanc narrationem citant Ulpianus et Suidas ex Theopompo. *Ex edit.* Stock.

Τῷ θρυλλούμενόν] Alii legunt, τὸ θρυλλούμενόν π. ἀ. ἐ. κατασκευάσειν, et sic interpretandum erit, Philippumque *jactatum illud aliquando arcanum confecturum.* Stock.

Καὶ τοὺς μὲν πρότερον συμμάχους ἡμᾶς ἀδικῆσαι] Alterius membri summa est: Philippus Olynthios ad suam amicitiam pellexit. quomodo? Potidæam, nostram civitatem, vi captam, abstulit, (in quo fidem societatis violavit, et vanis pollicitationibus nos circumvenit) Olynthiis tradidit. nullus scrupulus reliquus est, modo intelligas: eo tempore, quo ista facta sunt, Philippum fuisse Atheniensium socium. In epistola certe quidem sua scribit: ἵν' ἐμμείνωμεν τοῖς ὅρκοις, καὶ ταῖς ὁμολογίαις, &c. Sed Chronologia fortasse repugnat. Post τὸ ἡμᾶς, asteriscus additus indicat, dubitatum esse de lectione. Quid si ἡμῶν? ut de Potidæatis intelligatur, sociis Atheniensium. Sed cum Ποτίδαιαν οὖσαν ἡμετέραν præcedat: fortasse parum convenit, eosdem et ὑπηκόους et συμμάχους dici. Sed hæc hactenus. Wolf.

Θετταλοὺς δὲ] Nam et hi non minus, quam Thebani, templi Delphici defensionem susceperant. Idem.

Τῷ Μαγνησίαν παραδώσειν] Hanc urbem occupaverat quando in Thessaliam contrà Tyrannos profectus esset. Thessali eam vindicarunt; pollicitationibus autem Philippi (se nempe urbem illico redditurum) decepti, quieverunt. *Ex edit.* Stock.

καὶ προσλαμβάνων οὕτως ηὐξήθη. ὥσπερ οὖν διὰ τούτων ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι πράξειν, οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων καὶ καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται.

δ'. Καιροῦ μὲν δή, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτο [1]πάρεστι Φιλίππῳ τὰ πράγματα· ἢ παρελθών τις ἐμοί, μᾶλλον δὲ ὑμῖν δειξάτω ἢ ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ λέγω, ἢ ὡς οἱ τὰ πρῶτα ἐξηπατημένοι τὰ λοιπὰ πιστεύσουσιν αὐτῷ, ἢ ὡς οἱ παρὰ τὴν αὑτῶν ἀξίαν δεδουλωμένοι Θετταλοὶ νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντο ἄσμενοι. Καὶ μὴν εἴ τις ὑμῶν ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖται, οἴεται δὲ βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα τῷ τὰ χωρία καὶ λιμένας καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ ὀρθῶς οἴεται. ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα συστῇ καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τοῦ πολέμου, καὶ συμπονεῖν καὶ φέρειν τὰς συμφορὰς καὶ μένειν ἐθέλουσιν οἱ ἄνθρωποι· ὅταν δ' ἐκ πλεονεξίας καὶ πονηρίας τις, ὥσπερ οὗτος,

[1] παρέστη

Διὰ τούτων] Nimirum subaudiri potest vel ἀνθρώπων, vel (quod malunt plures) τεχνῶν. *Eædem artes quæ celatæ extulerunt, jam patefactæ deprimant oportet Philippum.* Stock.

δ'. Καιροῦ μὲν δὴ πρὸς τοῦτο] Τὰ πράγματα πάρεστι φιλίππῳ πρὸς τοῦτο καιροῦ, id est, τοιοῦτος καιρὸς τῶν φιλίππου πραγμάτων ἐστί. Fortassis etiam παρέστη a παρίστημι, legi possit. *Res adstiterunt ad hoc temporis*, pro, huc deductæ sunt. Wolf.

Παρὰ τὴν αὑτῶν ἀξίαν] *Præter dignitatem suam*, indignis modis, contra quam exspectarant. ἀξίαν, id est, *dignitatem*, hic tribuit Thessalis, quos priore oratione ut perfidos criminatus est: ut ostendat, Thessalos, quanquam improbos, tamen Philippo esse meliores, et digniores, qui eidem imperent, quam serviant. Quantæ autem opes Thessalorum fuerint, in oratione de pace exposuit Isocrates: et in Philippica minime cum hoc loco Demosthenis consentit, cum sic scribit: οὐ θετταλοὺς μὲν τοὺς πρότερον ἐπάρξαντας μακεδονίας, οὕτως οἰκείως πρὸς αὐτὸν διακεῖσθαι πεποίηκεν· ὥσθ' ἑκάστους αὐτῶν μᾶλλον ἐκείνῳ πιστεύειν, ἢ τοῖς συμπολιτευομένοις; et epistola 2. ἐνθυμοῦ δὲ, ὅτι πολλοῖς καλῶς βεβουλεῦσθαι δοκεῖς, ὅτι δικαίως κέχρησαι θετταλοῖς, καὶ συμφερόντως ἐκείνοις· ἀνδράσιν οὐκ εὐμεταχειρίστοις, ἀλλὰ μεγαλοψύχοις καὶ στάσεως μεστοῖς. Quanquam τὸ δεδουλωμένοι referri potest vel ad Philiadæ Tyranni liberos, quos pulsos a Thessalis, Philippus restituit, vel ad quosdam Thessalos male tractatos. Nam in oratione de Haloneso scribitur: ὅτι φεραίων ἀφῄρηται τὴν πόλιν· καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν· ἵνα δὴ αὐτόνομοι ὦσιν. et Isocrates: τῶν πόλεων τῶν περὶ τὸν τόπον ἐκεῖνον, τὰς μὲν ταῖς εὐεργεσίαις πρὸς τὴν αὑτοῦ συμμαχίαν προσῆκται, τὰς δὲ σφόδρα λυπούσας, ἀναστάτους πεποίηκε; μάγνητας δὲ κατέστραπται; Idem.

Δεδουλωμένοι Θετταλοὶ] Philippus, ubi Thessaliæ tyrannos ejecisset, ipse in eorum locum succedere aggressus est. Neutiquam vero vi aperta: sed adeo callide comitatem et benignitatem simulavit, etiam erga victos, ut Thessali omnium rerum ei fidem haberent; quod ille in sua commoda dirigere probe norat. *Ex edit.* Stock.

Καὶ μὴν εἴ τις ὑμῶν] Postquam ostendit, socios, cæterosque Græcos male velle Philippo, refutat opinionem de vi et potentia: sumto argumento a natura et ingeniis hominum, maxime Græcorum. Locum hunc Cicer. 2. de officiis copiosius tractavit: quem his verbis concludit: "pessimum diuturnitatis custodem esse metum: benevolentiam vero fidelem vel ad perpetuitatem." Wolf.

Ἐκ πλεονεξίας] Διά. Plura sibi præter jus et æquum vendicando, et improbe agendo. Idem.

ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα ἅπαντα ἀνεχαίτισε καὶ διέλυσεν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι, ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ, τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὑτὰ καταῤῥεῖ. ὥς περ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει. τοῦτο δὲ οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγμένοις Φιλίππῳ.

έ. Φημὶ δὴ δεῖν ὑμᾶς ἅμα τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν, καὶ ὅπως τις λέγει κάλλιστα καὶ τάχιστα, οὕτως ἀρέσκει μοι· πρὸς δὲ Θετταλοὺς πρεσβείαν πέμπειν, ἣ τοὺς μὲν διδάξει ταῦτα, τοὺς δὲ παροξυνεῖ· καὶ γὰρ νῦν εἰσὶν ἐψηφισμένοι Παγασὰς ἀπαιτεῖν καὶ περὶ Μαγνησίας λόγους ποιεῖσθαι. σκοπεῖσθε μέντοι τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσι μόνον [1] οἱ παρ' ἡμῶν πρέσβεις, ἀλλὰ καὶ ἔργον τι [2] δεικνύναι ἕξουσιν ἐξεληλυθότων ἡμῶν ἀξίως τῆς πόλεως καὶ ὄντων ἐπὶ τοῖς πράγμασιν, ὡς ἅπας μὲν

[1] [οἱ παρ' ἡμῶν πρέσβεις]   [2] δεικνύειν

Ἀνεχαίτισε] Recte exponit scholiastes per ἀνέτρεψε. Metaphoræ autem vim et venustatem vocabulum ne ullum aliud quidem vel leviter attingere potest. Imaginem nobis exhibet equi generosi, jubis erectis se efferentis, et onus suum superbe dejicientis. Hujusce vocabuli vim maxime mirantur Plinius aliique. *Ex edit.* STOCK.

Ἅπαντα ἀνεχαίτισε καὶ διέλυσεν] Ἀντὶ τοῦ ἀνέστρεψεν καὶ ἀνέκοψε. Metaphorice dixit pro eo quod est, *omnia retro agit, et rerum processum interpellat et abrumpit.* Sic Lucian. ἀναχαιτίζειν τὴν ναῦν τοῦ δρόμου dixit. Vide Bud. in Comment. *Ex edit.* WOLF.

Καὶ ἐπιορκοῦντα] *Casaubonus,* ad Equit. Aristoph. ver. 298. v. ἐπιορκῶ, hæc observat. "ὅρκος, *jusjurandum:* ἐπιορκεῖν, proprie *jusjurandum aliud addere, iterum jurare.* Usus auctorum obtinuit, ut ponatur in malam partem de pejerante; quasi monerent nos viri sapientes non multum interesse inter pejerantem, et sæpe jurantem, ut recte disputat Hierocles in Carmina Pythagoræ. Lysias in Theomnestum ἐπιορκήσαντα exposuit ὀμόσαντα, *eum qui juravit.*" Harpoc. MOUNT.

Ἤνθησεν] Ἀνθεῖν εἴωθεν. WOLF.

Περὶ αὐτὰ καταῤῥεῖ] Malim aspirate αὑτὰ, pro ἑαυτὰ, *circa se ipsa diffluunt,* vel *defluunt.* haud scio, an legendum sit παρ' αὐτὰ, *per seipsa,* id est, ipsa sese destruunt, sua sponte dilabuntur, decidunt instar flosculorum, cum vel aruerunt, vel vento agitantur. Sic in Psalmis impiorum felicitas pulveri, quem ventus dissipat, et gramini tectis innato comparatur. IDEM.

Περὶ αὐτὰ καταῤῥεῖ] *Ultro delabuntur,* plerique vertunt. Rectius fortasse, *eodemque recidunt;* unde exstructa sunt, scilicet. Translata est metaphora (teste Schol.) a veteri aliquo pariete, qui diuturnitate temporis pereditur. STOCK.

έ. Οὕτως ἀρέσκει μοι] Scilicet μάλιστα. Sicut τὸ ὅπως superlativos habet, τάχιστα καὶ κάλλιστα. WOLF.

Ὡς ἅπας μὲν λόγος] Alludit ad ignavam Atheniensium eloquentiam. Sic Isocratis Archidamus ἀεὶ ἐνόμισε τοὺς περὶ τοὺς λόγους διατρίβοντας, ἀργοτέρους εἶναι τὰς πρά-

λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενόν, μάλιστα δὲ ὁ παρὰ τῆς ἡμετέρας πόλεως· ὅσῳ γὰρ ἑτοιμότατ' αὐτῷ δοκοῦμεν χρῆσθαι, τοσούτῳ μᾶλλον ἀπιστοῦσι πάντες αὐτῷ.

ϛʹ. Πολλὴν δὴ τὴν μετάστασιν καὶ μεγάλην δεικτέον τὴν μεταβολήν, εἰςφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας ἑτοίμως, εἴ πέρ τις ὑμῖν προσέξει τὸν νοῦν. Κἂν ταῦτα ἐθελήσητε ὡς προςήκει καὶ δεῖ περαίνειν, οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ ἀσθενῶς καὶ ἀπίστως ἔχοντα φανήσεται Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας ἀρχῆς καὶ δυνάμεως κακῶς ἔχοντα ἐξελεγχθήσεται. Ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχὴ ἐν μὲν προςθήκης μέρει ἐστί τις οὐ σμικρά, οἷον ὑπῆρξέ ποθ' ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους· πάλιν αὖ πρὸς Ποτίδαιαν Ὀλυνθίοις ἐφάνη τι τοῦτο συναμφότερον· νυνὶ δὲ Θετταλοῖς νοσοῦσι καὶ στασιάζουσι καὶ τεταραγμένοις ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησε. καὶ ὅποι τις ἄν, οἶμαι, προςθῇ κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ. αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστὶ μεστή. καὶ γὰρ οὗτος ἅπασι τούτοις οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις καὶ ταῖς στρατείαις, ἔτ' ἐπισφαλεστέραν αὐτήν, ἢ ὑπῆρχε φύσει, κατεσκεύακεν ἑαυτῷ. μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν καὶ τοὺς ἀρχομένους, ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ, καὶ τοῦτο ἐζήλωκε, καὶ προήρηται πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι, παθεῖν,

ξεις. ubi multum verborum, ibi plerunq; est parum rerum: nec ab re Turnus Drancen objurgat his verbis:

—*An tibi Mavors*
Ventosa in lingua pedibusque fugacibus istis
Semper erit?—

Huic Ciceronianum dictum opponatur: *ubi rerum adsint testimonia: nihil opus esse verbis.* Idem.

ϛʹ. Εἴ περ προσέξει] Ἀντὶ τοῦ, εἰ βουλόμεθα προσέχειν τινὰ ἡμῖν. Idem.

Ἐν μὲν προσθήκης μέρει] Προστιθεμένη ἑτέρᾳ δυνάμει. Idem.

Οἷον ὑπῆρξέ ποθ'] Τὸ, οἷον, adverbium. Alioqui dicendum οἷα. Idem.

Ἐπὶ Τιμοθέου] Historiæ fides sit penes autorem et Ulp. Idem.

Τοῦτο συναμφότερον] Scilicet ἥ τε μακεδονικὴ καὶ ἡ ὀλυνθιακὴ δύναμις. Idem.

Ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησε] Adversus Pitholaum et Lycophronem, qui cum, sorore Thebe adjutrice, affinem Alexandrum occidissent, tyrannicidæ habiti: non multo post ipsi eandem tyrannidem occuparunt. Idem.

Πάντ' ὠφελεῖ] Πότερον ἡ δύναμις ὠφελεῖ πάντα ἄνθρωπον, ἢ πράγματα πάντα; ἢ πάντα τὰ προστιθέμενα ὠφελεῖ; Idem.

Προήρηται πράττων] *Decrevit agendo et periclitando*, id est, rebus gerendis et periculis adeundis, *si quid acciderit, pati*, id est, mori non recusat. Supra τοῦτο ἐζήλωκε pro τὴν δόξαν ἐζήλωκε, *gloriam admiratur*, summum bonum in gloria collocat. Cic. 1. Offic. de fortitudine agens, "Est, inquit, in hoc genere molestum, quod in

τὴν τοῦ διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων βασιλεύς, δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος· τοῖς δὲ τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι, κοπτόμενοι δὲ ἀεὶ ταῖς στρατείαις ταύταις ταῖς [1] ἄνω κάτω λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν, οὔτ᾽ ἐπὶ τοῖς ἔργοις οὔτ᾽ ἐπὶ τοῖς αὐτῶν ἰδίοις ἐώμενοι διατρίβειν, οὐθ᾽ ὅσ᾽ ἂν πορίσωσιν οὕτως ὅπως ἂν δύνωνται, ταῦτ᾽ ἔχοντες διαθέσθαι, [2] κεκλῃμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον.

ζ΄. Οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις σκέψαιτο οὐ χαλεπῶς· οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι καὶ πεζέταιροι δόξαν μὲν ἔχουσιν ὡς εἰσὶ θαυμαστοὶ καὶ συγκεκροτημένοι τὰ τοῦ πολέμου, ὡς δ᾽ ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδενῶν εἰσὶ βελτίους. εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτὸν ἔφη, βουλόμενον πάντα αὑτοῦ δοκεῖν εἶναι τὰ ἔργα — πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ τὴν φιλοτιμίαν τἀνδρὸς ἀνυπέρβλητον

[1] ἄνω τε καὶ κάτω

[2] κεκλεισμένων

maximis animis splendidissimisque ingeniis, plerunque existunt honoris, imperii, potentiæ, gloriæ cupiditates." IDEM.

Μακεδόνων βασιλεὺς] Scilicet διεπράξατο. IDEM.

Οὕτως ὅπως] Τὸ οὕτως videtur a scholiaste additum. IDEM.

Ἔχοντες διαθέσθαι] Δυνάμενοι πωλῆσαι. IDEM.

ζ΄. Πεζέταιροι] Sic dicti, quasi *pedites socii:* sicut optimus et fortissimus imperator Maximilianus I. Augustus milites suos, conciliandæ benevolentiæ causa, modo filios, modo suos nudos, id est, male vestitos puerulos appellasse fertur. IDEM.

Πεζέταιροι] *Commilitones:* ita appellati sunt milites phalangis Macedonicæ, cujus auctor extitit Philippus. *Ex edit.* STOCK.

Πεζέταιροι] Vulgatissima lectio est πεζαίτεροι; sed illam prætuli quam inveni apud Volfium, quam ed. Par. dat ad marginem, et quam confirmat Harpocratio. Πεζέταιροι, i. e. πεζοὶ ἑταῖροι, ita dicebantur, inquit, ὅπως μετέχοντες τῆς βασιλικῆς ἑταιρίας, προθυμότατοι διατελῶσιν ὄντες, ut regiæ amicitiæ participes, ad capessenda munia promptissimi redderentur. AUGER.

Συγκεκροτημένοι τὰ τοῦ πολέμου] Δεινοὶ πολεμισταί. Hesychius συγκροτεῖν, συμπράττειν, συνάγειν. Suidas αὔξειν, συνιστᾷν, συνδεῖν, πρὸς ἁρμονίαν ἄγειν, συνέχειν, συμπράττειν. Varinus ἐπὶ τῶν χαλκέων κυρίως, καὶ ἀπὸ τούτου, ἐπὶ τῶν συμφωνούντων. συγκροτεῖν δύναμιν, *cogere copias.* συγκεκροτημένοι, ἐσκευωρημένοι, συνεσκευασμένοι. Videtur non tam fortitudinem et peritiam rei militaris, (etsi has quoque) quam concordiam et mutuas operas significare. WOLF.

Συγκεκροτημένοι τὰ τοῦ πολέμου] Phalangem intelligit, quæ confertis ordinibus in acie stabat instar valli, et (partibus se mutuo sustentantibus) difficillime perrumpi poterat. *Ex edit.* STOCK.

Οἵου τε ψεύδεσθαι] Id est, εἰωθότος, qui minime solet mentiri, qui minime talis est, ut mentiatur. WOLF.

Εἴ τις ἀνὴρ, τούτους] Observa mutationem numerorum. IDEM.

Οἷος ἔμπειρος] Τοιοῦτος οἷος, id est, εἴ τις ἔμπειρός ἐστι πολέμου. Elegantis pleonasmi speciem habet. Sic paulo post: τοιούτους οἵους μεθυσθέντας ὀρχεῖσθαι, id est, τοὺς ὀρχουμένους, ἐπειδὰν μεθυσθῶσι. IDEM.

εἶναι —· εἰ δέ τις σώφρων ἢ δίκαιος ἄλλως, τὴν καθ' ἡμέραν ἀκρασίαν τοῦ βίου καὶ μέθην καὶ κορδακισμοὺς οὐ δυνάμενος φέρειν, [1] παρεῶσθαι καὶ ἐν οὐδενὸς εἶναι μέρει τὸν τοιοῦτον. λοιποὺς δὴ περὶ αὐτὸν εἶναι [2] λῃστὰς καὶ κόλακας καὶ τοιούτους ἀνθρώπους, οἵους μεθυσθέντας ὀρχεῖσθαι τοιαῦτα, οἷα ἐγὼ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι. δῆλον δ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ· καὶ γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον ὡς πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέρους ὄντας, Καλλίαν ἐκεῖνον τὸν δημόσιον καὶ τοιούτους ἀνθρώπους, μίμους γελοίων καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων ὧν εἰς τοὺς συνόντας ποιοῦσιν ἕνεκα τοῦ γελασθῆναι, τούτους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει. Καί τοι ταῦτα, εἰ καὶ μικρά τις ἡγεῖται, μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, δείγματα τῆς ἐκείνου γνώμης καὶ κακοδαιμονίας ἐστὶ τοῖς εὖ φρονοῦσιν. ἀλλ', οἶμαι, νῦν μὲν ἐπισκοτεῖ τούτοις τὸ κατορθοῦν· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰ τοιαῦτα ὀνεί-

[1] παρεωρᾶσθαι

[2] δικελιστὰς malebat Reiskius, γελοιαστὰς Valckenærius ap. Sluiter. lectt. Andocid.

Κορδακισμοὺς] *Saltationes impudicæ*, nomen suum mutuatæ a satyro qui eas instituit. In nequitia et luxu Philippi describendis, verum excedere forsan videretur Demosthenes, ni eadem, vel etiam graviora, ab historicis traderentur. Videat lector eruditus *Athen.* lib. 6. *Ex edit.* Stock.

Κορδακισμοὺς] Δημοσθένης φιλιππικοῖς, inquit Harpocratio. Ὁ κόρδαξ κωμικῆς ὀρχήσεώς ἐστιν εἶδος, *cordax* est genus saltationis comicæ. Auger.

Ὀρχεῖσθαι τοιαῦτα] Post ὀρχεῖσθαι distinguit Bruciolus, *qui ebrii saltent:* ut τὸ τοιαῦτα, κατ' ἔλλειψιν τοῦ ποιεῖν, καὶ παράλειψιν accedat: *atque alia agant flagitiosa,* &c. Posset etiam conjungi, ὀρχεῖσθαι τοιαῦτα, *saltare ad eum modum:* ut de repræsentatione mimica intelligatur, quæ manuum potius fuit, quam pedum artificiosa agitatio, ut ex Luciano apparet. Ovidius item:

Si vox est, canta: si mollia brachia, salta:
Et quacunque potes arte placere, place.
Wolf.

Θαυματοποιῶν] *Thaumatopæi* seu *mirifici* dicti sunt homines projectæ audaciæ, qui summo vitæ periculo stupenda in vulgus patrarent, per rotas et ignes se trajicerent, tenuissimis et adversis funibus currerent, ingentia onera supra hominis vires portarent, in immensam altitudinem mergerentur et sine ulla respirandi vice maria perpeterentur: cum aliis id genus multis, quibus homines obstupescerent, et quodammodo consternarentur. Vide *Buleng.* de Theatro, lib. 1. cap. 36. et seqq. *Æl.* Var. Hist. lib. 8. c. 6. et *Athen.* passim. Nonnulli Proteum præstigiatorem fuisse autumant. Vid. *Eustath.* in Odyss. δ. p. 176. ad hos versus:

Πάντα δὲ γινόμενος πειρήσεται, ὅσσ' ἐπὶ γαῖαν
Ἑρπετὰ γίνονται, καὶ ὕδωρ, καὶ θεσπιαδὲς πῦρ.
Mount.

Τὸν δημόσιον] Δοῦλον. Vide Ulpianum. Suidas: δημοσίους ἔλεγον τοὺς τῆς πόλεως δούλους. Et Æschines: ἄνθρωπον δημόσιον, οἰκέτην τῆς πόλεως. Wolf.

Καλλίαν ἐκεῖνον τὸν δημόσιον] Servum publicum, ex eorum numero, quos Athenienses cum ducibus suis emittere solebant, ut iis in quibusdam rebus adessent, et munera quædam ad exercitum pertinentia obirent. Servos ad hæc munera deligebant, ut ab iis veritatem (si occasio esset) tormentis extorquere liceret: quod in cives haud concessum fuit. *Ex edit.* Stock.

Ἐπισκοτεῖ τούτοις] Σκότος ἐπάγει, ὁρᾶσθαι οὐκ ἐᾷ. Isocrates: ἡ ῥώμη ταῖς τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησε. Wolf.

Συγκρύψαι καὶ συσκιάσαι] Id est, *tegere, præumbrare, caligine offundere et invol-*

δή· εἰ δέ τι [1] πταίσει, τότ' ἀκριβῶς αὐτοῦ ταῦτα πάντ' ἐξετασθήσεται. δοκεῖ δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, δείξειν οὐκ εἰς μακράν, ἂν οἵ τε θεοὶ θέλωσι καὶ ὑμεῖς βούλησθε. ὥς περ γὰρ ἐν τοῖς σώμασιν ἡμῶν, τέως μὲν ἂν ἐῤῥωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν, ἐπὰν δὲ ἀῤῥώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα κἂν στρέμμα κἂν ἄλλο τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ, οὕτω καὶ τῶν πόλεων καὶ τῶν τυράννων, ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστίν, ἐπειδὰν δὲ ὅμορος πόλεμος συμπλακῇ, πάντα ἐποίησεν ἔκδηλα.

ή. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν ταύτῃ φοβερὸν προςπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ τὸ ὅλον ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· οὐ μὴν ἀλλ' ἔγωγε, εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ προςήκει ποιεῖν ὑμῶν αὐτῶν καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ἡμῖν ἐνούσας ἢ ἐκείνῳ. ἀλλ', οἶμαι, καθήμεθα οὐδὲν ποιοῦντες· οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντα οὐδὲ

[1] πταίσειε

vere. Tacitus: *fama, in quantum præumbrante Imperatoris vestigio datur, clarus,* δόξῃ δὲ λαμπρὸς, ὅσα γε ἐπισκιαζούσης τῆς κορυφῆς ἔξεστι τῆς τοῦ αὐτοκράτορος. Cic. de Off. *Tanta vis est honestatis, ut speciem utilitatis obscuret,* ὡς τὸ σχῆμα τοῦ χρησίμου συγκρύψαι. Bud. *Ex edit.* Wolf.

Αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰ τοιαῦτα ὀνείδη] Eadem fere repetit in Oratione ad Philippi epistolam. *Sallustius* Histor. lib. 1. p. 12. Ed. *Wasse*, ita hanc sententiam imitatus est: *Secundæ res mire sunt vitiis obtentui.* Mount.

Δοκεῖ δ' ἐμοὶ δείξειν] Τὰ ἑαυτοῦ, τουτέστι, πταίσειν. Wolf.

Τῶν καθέκαστα σαθρῶν] Τῶν ἐν ἑκάστοις μέλεσι σαθρῶν ὄντων. Hesychius: σαθρόν· ἀσθενὲς, κεκλασμένον. Suidas: ἀπὸ τοῦ σείεσθαι ῥᾳδίως, ἢ, ἀπὸ τοῦ σείεσθαι τὰ ἄρθρα. σαθρωθῆναι, σαλευθῆναι. σαθρὸν, παλαιὸν, φθαρέν. Idem.

Κἂν ἄλλο τι τῶν ὑπαρχόντων σαθρῶν ᾖ] Sic habent codices 4. Sed ego lego κἂν ἄλλο τι τῶν ὑπαρχόντων, τουτέστι, τῶν μελῶν τοῦ σώματος, ᾖ σαθρόν. Idem.

ή. Εἰ δέ τις ὑμῶν] Ademit Philippo fidem sociorum et Macedonum, ademit bellicosos milites, ademit sobrietatem et sanam mentem, sola fortuna relicta. Quæ cum et ipsa vel una terreat Athenienses: primum concessione utitur. Deinde suorum civium fortunam Philippicæ anteponit, et ignaviam, quæ illis obstet, repudiare eos jubet, vel hostis exemplo, non tam fortunati, quam laboriosi atque industrii. Nihil ergo illi obstitit ebrietas, aut non tanta tamque crebra fuit, quantam fecit Demosthenes. Idem.

Μεγάλη γὰρ] Hanc sententiam Cic. eleganter 2. Off. interpretatus est, "Magnam vim esse in fortuna in utramque partem, vel secundas ad res, vel adversas, quis ignorat? Nam et cum prospero ejus flatu utimur, ad optatos exitus pervehimur: et cum reflavit, affligimur." Plin. etiam lib. 2. cap. 7. "Fortunæ omnia expensa, omnia feruntur accepta: et in tota ratione mortalium, sola utramque paginam facit." Idem.

Καθήμεθα οὐδὲν ποιοῦντες. Οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντα—] *Sallustius* in oratione Catonis

τοῖς φίλοις ἐπιτάττειν ὑπὲρ αὐτοῦ τι ποιεῖν, μή τί γε δὴ τοῖς θεοῖς. οὐ δὴ θαυμαστόν ἐστιν εἰ στρατευόμενος καὶ πονῶν ἐκεῖνος αὐτός, καὶ παρὼν ἐφ' ἅπασι, καὶ μηδένα καιρὸν μηδ' ὥραν παραλείπων ἡμῶν μελλόντων καὶ ψηφιζομένων καὶ πυνθανομένων περιγίγνεται. οὐδὲ θαυμάζω τοῦτ' ἐγώ· τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει, τοῦ πάντα ποιοῦντος ἃ δεῖ περιῆμεν. ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις μέν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων ἀντήρατε, καὶ πολλὰ ἰδίᾳ πλεονεκτῆσαι πολλάκις ὑμῖν ἐξὸν οὐκ ἠθελήσατε, ἀλλ' ἵν' οἱ ἄλλοι τύχωσι τῶν δικαίων, τὰ ὑμέτερ' αὐτῶν ἀνηλίσκετε εἰσφέροντες καὶ προεκινδυνεύετε στρατευόμενοι, νυνὶ δ' ὀκνεῖτε ἐξιέναι καὶ μέλλετε εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων· καὶ τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις πάντας καὶ καθ' ἕνα αὐτῶν ἕκαστον ἐν μέρει, τὰ δ' ὑμέτερ' αὐτῶν ἀπολωλεκότες κάθησθε. ταῦτα θαυμάζω· καὶ ἔτι πρὸς τούτοις εἰ μηδὲ εἷς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δύναται λογίσασθαι πόσον πολεμεῖτε χρόνον Φιλίππῳ καὶ τί ποιούντων ὑμῶν ἅπας ὁ χρόνος διελήλυθεν οὗτος. ἴστε γὰρ δήπου τοῦθ', ὅτι μελλόντων [1] αὐτῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, σχεδὸν ταὐτὰ [2] ἅπερ νυνὶ ποιούντων ὁ χρόνος ἅπας διελήλυθεν. εἶθ' οὕτως ἀγνωμόνως ἔχετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε δι' ὧν ἐκ χρηστῶν φαῦλα τὰ πράγματα [3] τῆς πόλεως γέγονε, διὰ τούτων ἐλπίζετε τῶν αὐτῶν πράξεων ἐκ φαύλων αὐτὰ χρηστὰ γε-

[1] ὑμῶν [2] ἅπερ καὶ νυνὶ [3] γέγονε τῆς πόλεως, διὰ τῶν αὐτῶν τούτων ἐλπίζετε

p. 177. Ed. *J. Wasse.*—*inertia et mollitia animi, alius alium expectantes, cunctamini, videlicet diis immortalibus confisi, qui hanc Rempubl. in maxumis sæpe periculis servavere. Non votis, neque suppliciis muliebribus auxilia deorum parantur: vigilando, agendo, bene consulendo, prospere omnia cedunt: ubi socordiæ tete, atque ignaviæ tradideris, nequicquam deos implores, irati infestique sunt.* Terent. Adelph. iv. 5. 59. *Quid? credebas, dormienti hæc tibi confecturos Deos?* Eodem sensu, quo hic et alibi passim Demosthenes καθήμεθα dixit, Latini verbum *sedere* usurpant. *Virgil.* Æn. xii. 15. Sedeant *spectentque Latini? Terent.* Adelph. iv. 5. 38. *An* sedere *oportuit Domi Virginem tam grandem?* Cic. ad Tironem lib. 16. 2. 2. *His ventis istinc navigatur, qui si essent, nos Corcyræ non* sederemus. Mount.

Εἰ Λακεδαιμονίοις μέν] In eodem bello scilicet, de quo in principio Philippicæ primæ. *Ex edit.* Stock.

Ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων] Isocrates oratione de Pace, hac ipsa de re: οὐ πρότερον πολεμοῦντες ἐπαυσάμεθα, καὶ κινδυνεύοντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, πρὶν ἠθέλησαν λακεδαιμόνιοι ποιήσασθαι τὰς συνθήκας, τὰς περὶ τῆς αὐτονομίας. Wolf.

Καὶ τοὺς μὲν ἄλλους σεσώκατε] Hæc

νήσεσθαι; ἀλλʼ οὔτʼ εὔλογον οὔτʼ ἔχον ἐστὶ φύσιν τοῦτό γε· πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν ἢ κτήσασθαι πάντα πέφυκε· νυνὶ δὲ ὅ τι μὲν φυλάξομεν, οὐδέν ἐστιν ὑπὸ τοῦ πολέμου λοιπὸν τῶν πρότερον, κτήσασθαι δὲ δεῖ· αὐτῶν οὖν [1] ἡμῶν ἔργον τοῦτʼ ἤδη.

θʹ. Φημὶ δὴ δεῖν εἰςφέρειν χρήματα, αὐτοὺς ἐξιέναι προθύμως, μηδένʼ αἰτιᾶσθαι πρὶν ἂν τῶν πραγμάτων κρατήσητε, τηνικαῦτα δὲ ἀπʼ αὐτῶν τῶν ἔργων κρίναντας τοὺς μὲν ἀξίους ἐπαίνου τιμᾷν, τοὺς δʼ ἀδικοῦντας κολάζειν, τὰς προφάσεις δʼ ἀφελεῖν καὶ τὰ καθʼ ὑμᾶς ἐλλείμματα· οὐ γάρ ἐστι πικρῶς ἐξετάσαι τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρʼ [2] ὑμῶν αὐτῶν [3] πρῶτον ὑπάρξῃ τὰ δέοντα. τίνος γὰρ ἕνεκα, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε τοῦτον μὲν φεύγειν τὸν πόλεμον πάντας ὅσους ἂν ἐκπέμψητε στρατηγούς, ἰδίους δʼ εὑρίσκειν πολέμους, εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν; ὅτι ἐνταῦθα μέν ἐστι τὰ ἆθλα, ὑπὲρ ὧν ἐστὶν ὁ πόλεμος, ὑμέτερα· Ἀμφίπολις κἂν ληφθῇ, παραχρῆμα αὐτὴν ὑμεῖς κομιεῖσθε· οἱ δὲ κίνδυνοι τῶν ἐφεστηκότων ἴδιοι· μισθὸς δʼ οὐκ ἔστιν· ἐκεῖ δὲ κίνδυνοι μὲν ἐλάττους, τὰ δὲ λήμματα τῶν ἐφεστηκότων καὶ τῶν στρατιωτῶν, Λάμψακος, Σίγειον, τὰ πλοῖα ἃ συλῶσιν. ἐπὶ οὖν τὸ λυσιτελοῦν αὐτοῖς ἕκαστοι χωροῦσιν. ὑμεῖς δέ, ὅταν μὲν εἰς τὰ πράγματα ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς ἐφεστηκότας κρίνετε· ὅταν δὲ δόντες λόγον τὰς ἀνάγκας ἀκου-

[1] ὑμῶν [2] ἡμῶν [3] πρώτων

petantur ex Isocratis Panegyrico et Panathenaico. Idem.

Ῥᾷον ἔχοντας φυλάττειν, ἢ κτήσασθαι] *Sallust.* in oratione Cæsaris, sub finem: *Profecto virtus, atque sapientia major in illis fuit, qui ex parvis opibus tantum imperium fecere, quam in nobis, qui ea bene parta vix retinemus.* Mount.

θʹ. Τὰς προφάσεις δʼ ἀφελεῖν] Scilicet τῶν στρατηγῶν. Curandum ne quid de vestra cessatione queri possint duces: quorum et contumaciam et avaritiam ita perstringit, ut quodammodo excuset. Wolf.

Λάμψακος, Σίγειον] Artabazus Satrapa Persicus hisce duabus Asiæ minoris urbibus remuneratus erat officia Charetis in bello contra Regem. Vide supra, Not. ad Philip. A. θʹ. *Ex edit.* Stock.

Τὰ πλοῖα ἃ συλῶσιν] Chares, omissa Amphipoli, quam recipere in mandatis erat, transiit cum classe sua ad prædones quosdam, et piraticam exercuit in Ægeo mari. Delatus post reditum, se subduxit: tandem vero (prævalente ejus factione) reversus, exercitibus denuo præfectus erat. *Ibid.*

Δόντες λόγον] Λόγον διδόναι generaliter significat, *rationem reddere* et *causam dicere.* Aliquando est *dicendi* et *causam orandi locum dare.* In utroque sensu Demosthenes λόγον διδόναι dixit, et λόγους δοῦναι, et ἀποδοῦναι: in posteriori hic, et alibi passim. Significat etiam *dare vices loquendi et percunctandi, et vicissim respondere percunctanti.* Sic infra, πᾶσι τοῖς παριοῦσι λόγον διδόναι. Vide plura apud *Bud.* p. 151. et seqq. Mount.

Τὰς ἀνάγκας, ταύτας] Malo, τούτους, τοὺς στρατηγοὺς ἀφίετε. Wolf.

σητε ταύτας, ἀφίετε. περίεστι τοίνυν [1] ὑμῖν ἀλλήλοις ἐρίζειν καὶ διεστάναι, τοῖς μὲν ταῦτα πεπεισμένοις, τοῖς δὲ ταῦτα, τὰ κοινὰ δ' ἔχειν φαύλως. πρότερον μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, εἰσεφέρετε κατὰ συμμορίας, νυνὶ δὲ πολιτεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμὼν ἑκατέρων, καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ [2] βοησόμενοι, οἱ τριακόσιοι· οἱ δ' ἄλλοι προσνενέμησθε οἱ μὲν ὡς τούτους, οἱ δὲ ὡς ἐκείνους. Δεῖ δὴ ταῦτα ἐπανέντας καὶ ὑμῶν αὐτῶν ἔτι καὶ νῦν γενομένους κοινὸν καὶ τὸ λέγειν καὶ τὸ βουλεύεσθαι καὶ τὸ πράττειν ποιῆσαι. εἰ δὲ τοῖς μὲν ὥς περ ἐκ τυραννίδος ὑμῶν ἐπιτάττειν ἀποδώσετε, τοῖς δ' ἀναγκάζεσθαι τριηραρχεῖν, εἰςφέρειν, στρατεύεσθαι, τοῖς δὲ ψηφίζεσθαι κατὰ τούτων μόνον, ἄλλο δὲ μηδ' ὁτιοῦν συμπονεῖν, οὐχὶ γενήσεται τῶν δεόντων ὑμῖν οὐδὲν ἐν καιρῷ· τὸ γὰρ ἠδικημένον

[1] ἡμῖν.

[2] βοηθησόμενοι.

Πρότερον μὲν γὰρ,—εἰσεφέρετε κατὰ συμμορίας] Hoc institutum imitatus est Servius Tullius. *Censum enim instituit rem saluberrimam tanto futuro imperio: ex quo belli pacisque munia non viritim, ut ante, sed pro habitu pecuniarum fierent. Tum classes centuriasque et hunc ordinem ex censu descripsit, vel paci decorum vel bello.* Livius, lib. 1. Mount.

Κατὰ συμμορίας] Ex unaquaque tribu educebantur 120 cives locupletiores, qui munia publica obire, et ex suis facultatibus sumptus civitati suppeditare obstricti erant. Mille et ducenti, hoc modo delecti, in duas partes dividebantur; atque harum utraque iterum in denas classes, quæ συμμορίαι vocabantur. Hæ rursus in binas distinguebantur partes, pro ratione census: atque ita tandem ex decem prioribus classibus delecti sunt *trecenti*, τριακόσιοι, hoc est numerus civium locupletiorum, qui, quandocunque opus erat, pecunia rempublicam adjuvare tenebantur. Ex 1200 reliqui muneribus extraordinariis fungebantur per vices.——Verisimile est tamen, tempore Demosthenis, hasce classes varias causas excogitasse, quo se a tributo solvendo immunes facerent, atque, de toto onere munerum publicorum in se invicem rejiciendo certasse. *Ex edit.* Stock.

Ῥήτωρ ἡγεμὼν ἑκατέρων] Habebant enim singuli quadrantes, in quos universus symmoritarum numerus tributus est, suum ducem suumque oratorem. Reprehendit igitur eos Orator, quod cum olim se dividerent in symmorias, ut tributa tempestive conferrentur, nunc contra symmoriæ factionibus tantum inserviant in rep. administranda; et principatum teneant, non divites, non duces qui rem bene gesserant, sed oratores, quibus adstipulentur primi trecenti, laudantes ea quæ a suis oratoribus dicta fuerint. *Ulpian.* Stock.

Οἱ τριακόσιοι βοησόμενοι] *Trecenti, qui clamitent:* scilicet, ὑπὸ τῷ ῥήτορί εἰσι. De locupletissimis civibus hoc docet Ulpianus esse intelligendum: quorum alii aliis factionibus faveant. Hervagiana prior editio habet, οἱ βοηθησόμενοι, *adjuturi*, pro, οἱ βοηθήσοντες, ut puto: nisi passive accipiatur, *adjuvandi:* qui præsidia oratorum ambiunt, ut, restinctis bellis, conferre tribula et instruere triremes non cogantur. τὸ βοησόμενοι est durum, et ut puto, mendosum. Mallem οἱ βοηθοὶ ἐσόμενοι. Wolf.

Οἱ δὲ ἄλλοι προσνενέμησθε] Οἱ λοιποὶ πολῖται ἐν προσθήκης μέρει ἐστέ. οὐ ψηφίσοντες καθ' ἑαυτοὺς, ἀλλὰ τὰς τῶν ῥητόρων καὶ στρατηγῶν καὶ τριακοσίων ἐπιψηφίζοντες γνώμας. Idem.

Ἐκ τυραννίδος ὑμῶν] Suspecta lectio est. Quid si ἡμῖν ἐπιτάττειν. Sin τυραννίδος ὑμῶν recte scribitur, sensus est, quasi vos tyrannidem illis decrevissetis. Fortassis τὸ ὑμῶν redundat. Idem.

Ὑμῶν] Cohæret cum τοῖς, *aliis vestrum.* Auger.

ἀεὶ μέρος ἐλλείψει, εἶθ' ὑμῖν τούτους κολάζειν ἀντὶ τῶν ἐχθρῶν περιέσται.

ί. Λέγω δὴ κεφάλαιον, πάντας εἰςφέρειν ἀφ' [1] ὅσων ἕκαστος ἔχει, τὸ ἴσον· πάντας ἐξιέναι κατὰ μέρος, ἕως ἂν ἅπαντες στρατεύσησθε· πᾶσι τοῖς παριοῦσι λόγον διδόναι, καὶ τὰ βέλτιστα ὧν ἂν ἀκούσητε αἱρεῖσθαι, μὴ ἃ ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα εἴπῃ. κἂν ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον παραχρῆμα ἐπαινέσεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, πολλῷ βέλτιον τῶν ὅλων πραγμάτων ὑμῖν ἐχόντων.

[1] ὧν

Κολάζειν ἀντὶ τῶν ἐχθρῶν] Τοὺς μὲν ἐχθροὺς καὶ πολεμίους μὴ ἀμύνεσθαι, τοὺς δὲ πολίτας τιμωρεῖσθαι, τοὺς τὰ ἀδίκως προστεταγμένα μὴ ποιήσαντας. Vide Isocratem in Philippica, ubi de Argivis scribit. ὅτι τοὺς ἐνδόξους καὶ πλουσιωτάτους τῶν πολιτῶν ἀπολλύντες οὕτω χαίρουσιν, ὡς οὐδένες ἄλλοι τοὺς πολεμίους ἀποκτείναντες. WOLF.

ί. Κεφάλαιον] Κεφαλαιωδῶς, ὡς ἐν κεφαλαίῳ. IDEM.

Ἀφ' ὧν ἕκαστος ἔχει τὸ ἴσον] Ὁ μὲν πένης ἀπ' ὀλίγων, ὀλίγα· ὁ δὲ πλούσιος ἀπὸ τῶν πολλῶν, πολλά· οὕτω γὰρ ἂν ἴσα γίγνοιτο τὰ τῆς εἰσφορᾶς. IDEM.

Πάντας ἐξιέναι] Si scilicet necesse fuerit, bello tamdiu duraturo. Quod cum incertum esset, probabile est, eos primos militasse, quibus ea sors obtigisset: ut ne alii aliis deteriore conditione essent. IDEM.

Πᾶσι τοῖς παριοῦσι] Ἐπὶ τὸ βῆμα. IDEM.

Λόγον διδόναι] Τοῦ λέγειν ἐξουσίαν. IDEM.

Ἐπαινέσεσθε] In medio, pro ἐπαινέσετε in activo. AUGER.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΟΛΥΝΘΙΑΚΟΥ Β (Γ).

"ΕΠΕΜΨΑΝ βοήθειαν τοῖς Ὀλυνθίοις οἱ Ἀθηναῖοι, καί τι κατορθοῦν ἔδοξαν δι' αὐτῆς· καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο. ὁ δὲ δῆμος περιχαρής, οἵ τε ῥήτορες παρακαλοῦντες ἐπὶ τιμωρίαν Φιλίππου. δέδοικε τοίνυν [1] ὁ Δημοσθένης, μὴ θαρσήσαντες, ὡς τὰ πάντα νενικηκότες καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς Ὀλυνθίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι. διὰ τοῦτο παρελθὼν ἐπικόπτει τὴν ἀλαζονείαν αὐτῶν, καὶ πρὸς εὐλάβειαν σώφρονα τὴν γνώμην μεθίστησι, λέγων οὐ περὶ τῆς Φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας· οἶδε γὰρ ὅτι καὶ Ἀθηναῖοι καὶ ἄλλοι πού τινες τοῦ μὲν μὴ τὰ οἰκεῖα προέσθαι ποιοῦνται φροντίδα, περὶ δὲ τὸ τιμωρήσασθαι τοὺς ἐναντίους ἧττον σπουδάζουσιν.

Ἐν δὲ τούτῳ τῷ λόγῳ καὶ τῆς περὶ τῶν θεωρικῶν χρημάτων συμβουλῆς φανερώτερον ἅπτεται, καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους τοὺς ἐπιτιθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικά, [2] ἵν' ἀδεὲς ᾖ τὸ συμβουλεύειν τὰ βέλτιστα. παραινεῖ δὲ καὶ ὅλως πρὸς τὸν τῶν προγόνων ζῆλον ἀναστῆναι καὶ στρατεύεσθαι σώμασιν οἰκείοις, καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου [3] τε ὡς ἐκλελυμένου καὶ τῶν δημαγωγῶν ὡς οὐκ ὀρθῶς προϊσταμένων τῆς πόλεως.

[1] ὁ δὲ Δημοσθένης δεδοικὼς [2] ἵνα ἄδεια ᾖ τοῦ [3] τέως

ΟΛΥΝΘΙΑΚΟΣ Β (Γ).

Ol. 107, 4.

ά. ΟΥ'ΧΙ' ταὐτὰ παρίσταταί μοι γιγνώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω καὶ ὅταν πρὸς τοὺς λόγους οὓς ἀκούω· τοὺς μὲν γὰρ λόγους περὶ τοῦ τιμωρήσασθαι Φίλιππον ὁρῶ γιγνομένους, τὰ δὲ πράγματα εἰς τοῦτο προήκοντα, ὥστε ὅπως μὴ [1] πεισόμεθα αὐτοὶ πρότερον κακῶς σκέψασθαι δέον. οὐδὲν οὖν ἄλλο

[1] πεισώμεθα

Οὐχὶ ταὐτὰ παρίσταταί μοι γινώσκειν] Ἕτερα ὑπολαμβάνω καὶ φρονῶ, ὅταν τὰ πράγματα σκοπῶ, ἢ ὅταν ἀκούω τῶν λόγων: Oratorum verba cum rebus consentire mihi non videntur. Sic M. Cato in Catilinario, verba Demosthenis Sallustio pene interpretato: "Longe (inquit) mihi alia mens est, P. C., quum res atque pericula nostra considero, et quum sententias nonnullorum ipse mecum reputo." Exordium reprehensione aliorum, attentionem captat, et a periculo. WOLF.

Οὐδὲν οὖν ἄλλο] Sic ordinanda sunt verba: οἱ τὰ τοιαῦτα λέγοντες δοκοῦσί μοι οὐδὲν ἄλλο ἁμαρτάνειν, ἢ τὴν ὑπόθεσιν, οὐχὶ τὴν οὖσαν περὶ ἧς βουλεύεσθε, παριστάντες ὑμῖν,

μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες ἢ τὴν ὑπόθεσιν, περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν παριστάντες ὑμῖν ἁμαρτάνειν. ἐγὼ δ' ὅτι μέν ποτ' ἐξῆν τῇ πόλει καὶ τὰ αὑτῆς ἔχειν ἀσφαλῶς καὶ Φίλιππον τιμωρήσασθαι, καὶ μάλ' ἀκριβῶς οἶδα· ἐπ' ἐμοῦ γάρ, οὐχὶ πάλαι γέγονε ταῦτ' ἀμφότερα· νῦν μέντοι πέπεισμαι τοῦθ' ἱκανὸν προλαβεῖν [1] ἡμῖν εἶναι τὴν πρώτην, ὅπως τοὺς συμμάχους [2] σώσομεν. ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον ἐξέσται σκοπεῖν· πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποιεῖσθαι λόγον.

β'. Ὁ μὲν οὖν παρὼν καιρός, ὦ ἄνδρες Ἀθηναῖοι, εἴ περ ποτε, [3] [καὶ νῦν] πολλῆς φροντίδος καὶ βουλῆς δεῖται. ἐγὼ δὲ οὐχ ὅ τι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι, χαλεπώτατον ἡγοῦμαι, ἀλλ' ἐκεῖν' ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν. πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, οὐ τῷ μὴ συνιέναι. ἀξιῶ δὲ ὑμᾶς, ἂν μετὰ παῤῥησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο θεωροῦντας εἰ τἀληθῆ λέγω καὶ διὰ τοῦτο, ἵνα τὰ λοιπὰ βελτίω γένηται·

[1] εἶναι ἡμῖν [2] σώσωμεν [3] Absunt unci.

pro, ἢ ὅτι οὐ παριστᾶσι. *Qui igitur talia dictitant, non in alio delinquere mihi videntur, nisi quod a scopo totius vestræ deliberationis aberrant.* Vel, *nihil aliud facere, quam errare mihi videntur, cum a totius vestræ deliberationis scopo aberrent.* τὴν ὑπόθεσιν οὐχὶ τὴν οὖσαν, id est, οὐ τὴν ἀληθῆ, περὶ ἧς βουλεύεσθε: *proponunt vobis argumentum non verum illud, de quo deliberatis.* Erat autem ἡ οὖσα, ut Olynthii strenue juvarentur: quo clamosi oratores omisso, ad Philippum ulciscendum hortabantur. Sic in Chersonesitana: ἡ μὲν οὖν σπουδὴ περὶ τῶν ἐν χερσονήσῳ πραγμάτων ἐστὶ, καὶ τῆς στρατείας, ἣν ἐνδέκατον μῆνα τουτον ὁ φίλιππος ἐν θρᾴκῃ ποιεῖται. τῶν δὲ λόγων οἱ πλεῖστοι, περὶ ὧν Διοπείθης πράττει καὶ μέλλει ποιεῖν. Hic quoque oratores τὴν ὑπόθεσιν οὐχὶ τὴν οὖσαν, περὶ ἧς ἐβουλεύοντο, παρίστασαν. Quod prima (tertia) Olynthiaca suasit, et Olynthios defendendos, et Macedoniam vastandam bipertitis copiis, non videtur obtinuisse. Cum autem exercitus et minor esset, quam ut dividi posset, et sine Olynthiorum clade alio transferri nequiret, periculum ipsis Atheniensibus imminere affirmat, si turbulentis oratoribus obtemperetur. Sed hæc e Libanio et Ulpiano petantur. Idem.

Ἁμαρτάνειν] *Scopum non attingere, à scopo aberrare:* hoc enim propriè significat ἁμαρτάνω. Auger.

Νῦν μέντοι] Verba sic ordina: πέπεισμαι μέντοι προλαβεῖν τὴν πρώτην (scilicet ὁδὸν, τουτέστι τὸ πρῶτον, ὑπεῤῥηματικῶς) τοῦτο, ὅπως σώσωμεν τοὺς συμμάχους, εἶναι νῦν ἱκανὸν ἡμῖν. Wolf.

Προλαβεῖν] Κατεργάσασθαι πρὸ τοῦ τιμωρήσασθαι φίλιππον. Idem.

β'. Τὰ πλείω τῶν πραγμάτων ἐκπεφευγέναι ὑμᾶς] Ὑμᾶς μὴ καταλαβέσθαι τὰ πράγματα, ἀτυχῆσαι, μὴ κρατῆσαι, πόλλ' ἀπολωλεκέναι κατὰ τὸν πόλεμον. Metaphora sumpta est a venatoribus, aut iis, qui aliquid persequuntur. Idem.

ὁρᾶτε γὰρ ὡς ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ παρόντα πράγματα. Ἀναγκαῖον δὲ ὑπολαμβάνω μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι.

γʹ. Μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ' ἀπηγγέλθη Φίλιππος ὑμῖν ἐν Θρᾴκῃ, τρίτον ἢ τέταρτον ἔτος τουτί, Ἡραῖον τεῖχος πολιορκῶν, τότε τοίνυν μὴν μὲν ἦν Μαιμακτηριών, πολλῶν δὲ λόγων καὶ θορύβου [1] γενομένου παρ' ὑμῖν ἐψηφίσασθε τετταράκοντα τριήρεις καθέλκειν καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν αὐτοὺς ἐμβαίνειν καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν. καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου Ἑκατομβαιών, Μεταγειτνιών, Βοηδρομιών. τούτου τοῦ μηνὸς μόγις μετὰ τὰ μυστήρια δέκα ναῦς ἀπεστείλατε ἔχοντα Χαρίδημον κενὰς καὶ πέντε τάλαντα ἀργυρίου· ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθενῶν ἢ τεθνεώς —ἦλθε γὰρ ἀμφότερα—, οὐκέτι καιρὸν οὐδένα τοῦ βοηθεῖν νομίσαντες [2] ἀφεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν ἀπόσ-

[1] γιγνομένου [2] ἀφήκατε

γʹ. Ἡραῖον τεῖχος] Heræum castellum. Locus in Thracia a Samiis ædificatus, cuique hi nomen indiderunt a Junone ipsorum numine tutelari. *Ex edit.* Stock.

Μαιμακτηριὼν] Cum annis Athenienses uterentur lunaribus, et tertio quoque anno unum mensem intercalarent, definiri nullo modo potest, quinam eorum menses Julianis nostris ad amussim respondeant. Post tempora Metonis, annum inchoabant Attici novilunio, quod proxime sequebatur solstitium æstivum: unde primus eorum mensis Hecatombæon ad Julium nostrum propius accedebat, quam ad Junium. Mensium autem Atticorum seriem et valorem, annis non intercalatis, hunc esse statuit Jos. Scaliger, cui (utut in paucis refragetur Petavius) vulgo jam assentiunt eruditi:

Ἑκατομβαιὼν,	Julius.
Μεταγειτνιὼν,	Augustus.
Βοηδρομιὼν,	September.
Πυανεψιὼν,	October.
Μαιμακτηριὼν,	November.
Ποσειδεὼν,	December.
Γαμηλιὼν,	Januarius.
Ἀνθεστηριὼν,	Februarius.
Ἐλαφηβολιὼν,	Martius.
Μουνυχιὼν,	Aprilis.
Θαργηλιὼν,	Maius.
Σκιρροφοριὼν,	Junius.

Stock.

Ἐψηφίσασθε καθέλκειν] Scilicet δεῖν ἐκ τῶν νεωρίων εἰς τὴν θάλατταν. Wolf.

Μετὰ τὰ μυστήρια] Τὰ μεγάλα scilicet, Cereri Eleusiniæ sacra. Erant omnium apud Græcos festorum celeberrima, et a decimo quinto Boëdromionis mensis per novem dies durabant. Minora, Herculi sacra, mense Anthesterione agebantur. *Ex edit.* Stock.

Ἀπεστείλατε——Χαρίδημον] Hunc gente Oritam, quod utilem reipublicæ operam navasset, Athenienses civitate donarunt. Quin et decretum fecit Aristocrates ejusmodi: si quis Charidemum occiderit, comprehendi eum jus fasque sit, in omni ditione Atheniensibus conjuncta: quod si quis comprehensum asseruerit, sive civitas sive homo privatus, is fœderum expers esto. Hoc decretum accusavit Euthycles, eique subserviens Demosthenes orationem habuit κατὰ Ἀριστοκράτους. *Ibid.*

Δέκα ναῦς——κενὰς] *Vacuas, sci. militibus, et posteà mercenariis peregrinis complendas.* Animadvertat lector integri loci vim et ornatum: quæque vox aut moram instructionis aut mediocritatem notat. *Ibid.*

τολον. ἦν δ' οὗτος ὁ καιρὸς αὐτός· εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥς περ ἐψηφισάμεθα, προθύμως, οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιππος τότε σωθείς.

δ'. Τὰ μὲν δὴ τότε πραχθέντα οὐκ ἂν ἄλλως ἔχοι· νῦν δ' ἑτέρου πολέμου καιρὸς [1] ἥκει τις οὗτος, δι' ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. τί δὴ χρησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τούτῳ; εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει κατὰ τὸ δυνατόν, θεάσασθε ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες [2] πάντα ἔσεσθε ὑπὲρ Φιλίππου. ὑπῆρχον Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' οὕτω τὰ πράγματα· οὔτε Φίλιππος ἐθάῤῥει τούτους οὔθ' οὗτοι Φίλιππον. ἐπράξαμεν ἡμεῖς κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην· ἦν τοῦτο ὥς περ ἐμπόδισμά τι τῷ Φιλίππῳ καὶ δυσχερές, πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς, διηλλαγμένην πρὸς ἡμᾶς. ἐκπο-

[1] ἥκει. τίς οὗτος;

[2] ἔσεσθε πάντα

δ'. Τί δὴ χρησόμεθα τούτῳ] Id est, πῶς; τίνα τρόπον; Non dissimile veri est, aliquos respondisse βοηθήσομεν (nam concionatores Græcos olim interpellare licuit) id igitur responsum approbans, subjungit εἰ γὰρ &c. Wolf.

Παντὶ σθένει, κατὰ τὸ δυνατὸν] Τὸ, κατὰ τὸ δυνατὸν, si scholion non est, synonymia est, ἢ ἐκ παραλλήλου. Idem.

Ὑπῆρχον Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι] Philippi parte regnante, conjunctis Macedonum et Lacedæmoniorum viribus obsistere valuere. *Ex edit.* Stock.

Οὔτε Φίλιππος ἐθάῤῥει τούτους] Si divinationi venia daretur, suspicarer legendum: οὔτε Φίλιππος ἐθάῤῥει τούτοις οὔθ' οὗτοι Φιλίππῳ: id est, *et Philippus Olynthiis, et Olynthii Philippo diffidebant.* Nam si utrinque hostilibus animis fuerunt, mutuo metu ab inferendo bello deterriti, qui convenit, Philippum, quos solos invadere non ausus fuit, Atheniensium societate aut amicitia certe auctos, oppugnare fuisse ausum? Sed quia via tritissima tutissima, retineamus vulgo receptam lectionem. Est autem θαῤῥεῖν τινα, cum accusativo, *fidere, se alicui parem, aut etiam superiorem fore, non metuere.* Plato in Phædro: τὸ γὰρ τοιοῦτον σῶμα (loquitur autem de corporibus in otio et umbra educatis) ἐν πολέμῳ τε καὶ ἄλλαις χρείαις, ὅσαι μεγάλαι, οἱ μὲν ἐχθροὶ θαῤῥοῦσιν, οἱ δὲ φίλοι καὶ αὐτοὶ οἱ ἐρασταὶ φοβοῦνται: id est: *Ejusmodi corpus tum in bello, tum aliis negotiis arduis, ab inimicis contemnitur, amicos vero, atque ipsos amatores solicitos habet.* Idem θάνατον θαῤῥεῖν, *non reformidare mortem.* Sic θαῤῥεῖν τὴν μάχην, θαῤῥεῖν τόπους ὑπόπτους. θαῤῥεῖν τινι cum dativo, est *aliquo fretum esse, alicui confidere.* Ulpianus: οἱ φωκεῖς ἐθάῤῥησαν τῷ μακεδόνι. Et Chrysostomus: οὐδενὶ τούτων ἐθάῤῥησεν εἰς σωτηρίαν τῶν ἀνθρώπων. Wolf.

Ἐπράξαμεν ἡμεῖς] S. εἰρήνην πρὸς ὀλυνθίους. Considerandum, utrum τὸ πράττειν εἰρήνην, sit idem, quod ποιεῖν καὶ συνθέσθαι: an vero τὸ μηχανᾶσθαι significet, id est, callidis rationibus pacem esse conciliatam, cum bellum inter eos intercessisset, animis utrinque exulceratis? Idem.

Ἦν τοῦτο ὥσπερ ἐμπόδισμα] Τοῦτο, ἤγουν, τὸ μεγάλην πόλιν, διηλλαγμένην πρὸς ἡμᾶς, τοὺς φιλίππῳ πολεμοῦντας, ἐφορμεῖν τοῖς καιροῖς αὐτοῦ, ἦν ὥσπερ ἐμπόδισμά τι καὶ δυσχερὲς φιλίππῳ. Sed Philippus non multo post, τὸ ἐμπόδισμα ἐκποδὼν ἐποίησεν deleta Olyntho: cum quidem prius denuntiasset civibus, aut illis Olynthi, aut sibi in Macedonia non fore habitandum. Idem.

Ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς] Quasi in procinctu stare ad ejus occasiones impediendas: paratam esse ad ipsum invadendum, sicubi impegerit: captare opportunitatem adversus ipsum: in statione esse: Polybius: στόλος ἐφορμῶν ταῖς τοῦ φιλίππου ἐπιβολαῖς. Idem.

Ἐφορμεῖν] Ἀντὶ τοῦ ἐφεδρεύειν. Harpocrat. Auger.

Ἐκπολεμῶσαι] Sic prima (tertia) Olynthiaca, νυνὶ γὰρ ὃ πάντες ἐθρυλλεῖτε, ὡς ὀλυνθίους ἐκπολεμῶσαι δεῖ φιλίππῳ. Wolf.

λεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου· καὶ ὃ πάντες [1] ἐθρύλουν τέως, τοῦτο πέπρακται νυνὶ ὁπωσδήποτε. τί οὖν ὑπόλοιπον, ὦ ἄνδρες Ἀθηναῖοι, πλὴν βοηθεῖν ἐρρωμένως καὶ προθύμως; ἐγὼ μὲν οὐχ ὁρῶ· χωρὶς γὰρ τῆς περιστάσης ἂν ἡμᾶς αἰσχύνης, εἰ καθυφείμεθά τι τῶν πραγμάτων, οὐδὲ τὸν φόβον, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν ὁρῶ [2] τὸν μετὰ ταῦτα, ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀπειρηκότων δὲ χρήμασι Φωκέων, μηδενὸς δ' ἐμποδὼν ὄντος Φιλίππῳ τὰ παρόντα καταστρεψαμένῳ πρὸς ταῦτα ἐπικλῖναι τὰ πράγματα. ἀλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτο ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ δεινά, ἐξὸν ἀκούειν ἄλλοθι γιγνόμενα, καὶ βοηθοὺς ἑαυτῷ ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν· [3] ὅτι γὰρ εἰς τοῦτο περιστήσεται τὰ πράγματα, ἐὰν τὰ παρόντα προώμεθα, σχεδὸν ἴσμεν ἅπαντες δή που.

ε΄. Ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι τις ἄν, πάντες ἐγνώκαμεν, καὶ βοηθήσομεν· τὸ δὲ ὅπως, τοῦτο λέγε. Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, θαυμάσητε, ἂν παράδοξον εἴπω τι τοῖς πολλοῖς. νομοθέτας καθίστατε. ἐν δὲ τούτοις τοῖς νομοθέταις μὴ θῆσθε νόμον μηδένα—εἰσὶ γὰρ ὑμῖν ἱκανοί—, ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς λύσατε, λέγω δὲ τοὺς περὶ τῶν θεωρικῶν, σαφῶς οὑτωσί, καὶ

[1] ἐθρύλλουν [2] τὸν [τῶν] μετὰ [3] ὅτι μὲν γὰρ

Τοῦτο πέπρακται νυνὶ ὅπως δήποτε] Olynth. Γ (A). δ'. γέγονεν αὐτόματον. τὸ ὅπως δήποτε, non tam significat hic *τυχόντως*, *temere et fortuito*, aut *μόλις καὶ δυσκόλως καὶ ἀτελῶς*, *vix*, *ægre*, *minus absolute*, quam *παράλειψιν* quandam, q. d. factum est, qua autem ratione id factum sit, non exquiro. Libanius autem rationem explicat. Idem. Infra in Arg. ad Olynth. Γ (A). Mount.

Ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων ἡμῖν] Thebani odio habuerant Athenienses, eo quod hi post pugnas ad Leuctram et Mantinæam Lacedæmoni favissent, quodque recenter Phocensibus auxiliati essent in bello sacro. Quin et olim eo animo fuisse exinde constat, quod confecto bello Peloponnesiaco, Athenas esse delendas, in concilio Græcorum pronunciassent. *Ex edit.* Stock.

Ἀπειρηκότων δὲ χρήμασι Φωκέων] Nimirum propter ingentes Belli Sacri sumptus, quod novem annos duraverat. Olynthiaca tertia §. ι. ἂν δὲ ἐκεῖνα Φίλιππος λάβῃ, τίς αὐτὸν ἔτι κωλύσει δεῦρο βαδίζειν; Θηβαῖοι; Μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, καὶ συνεισβαλοῦσιν ἑτοίμως. Ἀλλὰ Φωκεῖς; Οἱ τὴν οἰκείαν οὐχ' οἷοί τε ὄντες φυλάττειν, ἐὰν μὴ βοηθήσηθ' ὑμεῖς. Mount.

Πρὸς ταῦτα ἐπικλῖναι τὰ πράγματα] Ἐπιχειρεῖν τῇ ἀττικῇ. Wolf.

ε΄. Νομοθέτας] Nomothetæ erant 1001, (ne pares essent suffragiorum calculi) sorte electi; quorum munus erat leges curare, abrogare, sancire, et similia. Vide Sigon. de Rep. Ath. lib. 2. cap. 4. et Potteri Archæ. [* Vide etiam quæ nos annotavimus ad Æsch. c. Ctesiph. §. ιϛ'. S.] *Ex edit.* Stock.

Μὴ θῆσθε] Τὸ μὲν τιθέναι καὶ θεῖναι, νομοθέτου· τὸ δὲ θέσθαι νόμον, τοῦ δήμου εἶναί φασι. Quia sequitur λύσατε, malim θέσθε imperandi modo. Wolf.

Περὶ τῶν θεωρικῶν] Consulat lector hu-

τοὺς περὶ τῶν στρατευομένων ἐνίους, ὧν οἱ μὲν τὰ στρατιωτικὰ τοῖς οἴκοι μένουσι διανέμουσι θεωρικά, οἱ δὲ τοὺς ἀτακτοῦντας ἀθῴους καθιστᾶσιν, εἶτα καὶ τοὺς τὰ δέοντα ποιεῖν βουλομένους ἀθυμοτέρους ποιοῦσιν. ἐπειδὰν δὲ ταῦτα λύσητε καὶ τὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητε ἀσφαλῆ, τηνικαῦτα τὸν γράψοντα, ἃ πάντες ἴστε ὅτι συμφέρει, ζητεῖτε. πρὶν δὲ ταῦτα πρᾶξαι μὴ σκοπεῖτε, τίς εἰπὼν τὰ βέλτιστα ὑπὲρ ὑμῶν ὑφ' ὑμῶν ἀπολέσθαι βουλήσεται· οὐ γὰρ εὑρήσετε, ἄλλως τε καὶ τούτου μόνου περιγίγνεσθαι μέλλοντος, τοῦ παθεῖν ἀδίκως τι κακὸν τὸν ταῦτ' εἰπόντα καὶ γράψαντα, μηδὲν δὲ ὠφελῆσαι τὰ πράγματα, ἀλλὰ καὶ εἰς τὸ λοιπὸν μᾶλλον ἔτι ἢ νῦν τὸ τὰ βέλτιστα λέγειν φοβερώτερον ποιῆσαι. καὶ λύειν γε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς νόμους δεῖ τούτους [1] τοὺς αὐτοὺς ἀξιοῦν οἵ περ καὶ τεθείκασιν· οὐ γάρ ἐστι δίκαιον τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν, τοῖς τότε θεῖσιν ὑπάρχειν, τὴν δ' ἀπέχθειαν, δι' ἧς ἂν ἅπαντες ἄμεινον πράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέσθαι. πρὶν

[1] Deest τοὺς

jusce orationis argumentum ex Tourrellio. Stock.

Τοὺς περὶ τῶν στρατευομένων ἐνίους] Juxta Solonis leges militares, unusquisque civium nomen suum profiteri, ac per se militare tenebatur. Leges, quas abrogandas censet Orator, fuere recentiores quædam, labante jam antiqua disciplina latæ, quæque de prioribus multum derogabant. Unde factum, ut cuilibet militiam detrectare impune liceret. Demosthenes itaque suadet, ut antiquæ leges iterum valeant. *Ex edit.* Stock.

Τοὺς ἀτακτοῦντας] Nam per leges θεωρικοὺς immunes erant a militia omnes, quotquot pompas ludis Bacchanalibus instruerent. Choragi autem, captandi favoris causa, eos potissimum ad hoc munus deligebant, qui essent ætate militari. *Ulp.* Stock.

Τοὺς ἀτακτοῦντας] Suidas: ἄτακτοι ἐν τῇ πλειόνων συνηθείᾳ οἱ περίεργοι, καὶ παρὰ τὸ προσῆκον τὶ ποιοῦντες. οἱ ῥήτορες δὲ καὶ τοὺς ἐν τῷ πολέμῳ μὴ κατὰ τάξιν τὴν συμβολὴν ποιοῦντας, ἀλλ' ὡς ἔτυχεν καὶ φύρδην, ἀτάκτους καλοῦσιν, eos, qui disciplinam militarem labefactant, emansores, desertores ordinum pœna liberant. Wolf.

Παράσχητε ἀσφαλῆ] Eubuli scilicet legem abrogando; quæ eum capite mulctari jussit, quicunque decretum ferre ausus sit de pecunia theatrali in militiæ usum transferenda. *Ex edit.* Stock.

Μηδὲν δὲ ὠφελῆσαι τὰ πράγματα] Τὴν πόλιν. Delectatur hoc nomine Demosthenes γενικῷ ὄντι ἀντὶ τῶν εἰδικῶν. Wolf.

Μᾶλλον ἔτι ἢ νῦν φοβερώτερον] Observentur particulæ ex supervacaneo additæ comparativo αὐξητικῶς, ἀντὶ τοῦ, μᾶλλον ἔτι φοβερὸν, vel, omisso μᾶλλον, ἔτι φοβερώτερον ἢ νῦν. Idem.

Καὶ λύειν γε] Amphibolia quædam est in verbis, propter ἔλλειψιν, ut dubites utrum velit, Athenienses postulare debere, ut Eubulus legem a se latam ipse abroget, an ipsum Eubulum postulare, ut sua lex a populo abrogetur. Sed prior ratio magis mihi placet. Idem.

Δεῖ τούτους αὐτοὺς ἀξιοῦν] Δεῖ ἀξιοῦν ὑμᾶς, τούτους αὐτοὺς λύειν, id est, ὅπως ἂν οὗτοι αὐτοὶ λύωσι τοὺς νόμους τούτους. *Postulandum est, qui hasce leges rogarunt, iidem uti abrogent.* Idem.

Τὴν ἀπέχθειαν γενέσθαι ζημίαν] Διαβατικὴ ἡ σύνταξις. Sed alter accusativus a Latinis sæpe non incommode dativo com-

δὲ ταῦτα εὐτρεπίσαι μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μηδὲν ἀξιοῦτε τηλικοῦτον εἶναι παρ' ὑμῖν, ὥστε τοὺς νόμους τούτους παραβάντα μὴ δοῦναι δίκην, μηδ' οὕτως ἀνόητον, ὥστε εἰς προῦπτον κακὸν αὐτὸν ἐμβαλεῖν.

ϛ'. Οὐ μὴν οὐδ' ἐκεῖνό γ' ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ψήφισμα οὐδενὸς ἄξιόν ἐστιν, ἂν μὴ προσγένηται τὸ ποιεῖν ἐθέλειν τά γε δόξαντα προθύμως ὑμᾶς. εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματα ἦν ἢ ὑμᾶς ἀναγκάζειν ἃ προσήκει πράττειν, ἢ περὶ ὧν γράφει διαπράξασθαι, οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι, μικρά, μᾶλλον δ' οὐδὲν ἐπράττετε τούτων, οὔτε Φίλιππος τοσοῦτον ὑβρίκει χρόνον· πάλαι γὰρ ἂν ἕνεκά γε ψηφισμάτων ἐδεδώκει δίκην. ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει· τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι. Τοῦτ' οὖν δεῖ προσεῖναι, τὰ δ' ἄλλα ὑπάρχει· καὶ γὰρ εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν εἰσίν, ὦ ἄνδρες Ἀθηναῖοι, δυνάμενοι, καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥηθέντα, καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆτε. τίνα γὰρ χρόνον ἢ τίνα καιρόν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πράξετε, εἰ μὴ νῦν; οὐχ ἅπαντα μὲν ἡμῶν [1]προείληφε τὰ χωρία ἄνθρωπος, εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γενήσεται, πάντων αἴσχιστα πεισόμεθα; οὐχ οὕς, εἰ πολεμήσαιεν, ἑτοίμως σώσειν ὑπισχνούμεθα, οὗτοι νῦν πολεμοῦνται; οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ἡμέτερα; οὐ βάρβαρος; οὐχ ὅ τι ἂν εἴποι τις; ἀλλὰ

[1] τὰ χωρία προείληφεν ἄνθρωπος

mutatur: *Inimicitias esse fraudi.* Isocrates ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον. *Hanc orationem muneri tibi misi, dono dedi.* Idem.

ϛ'. Ἢ περὶ ὧν γράφει] Ἢ ταῦτα διαπράξασθαι, περὶ ὧν γράφει. τὸ ψήφισμα γράφει περὶ τούτου, videtur durum. Quid si γραφῇ, ἀορ. β'. ὑποτακτικῷ παθητικῷ; *Quibus de rebus scripta fuerint, ad eas res conficiendas.* Idem.

Τὸ γὰρ πράττειν] Hanc sententiam imitatus est *Sallustius* Bell. Jug. pag. 447. *Ed. Wasse. Nam gerere, quam fieri tempore posterius, re atque usu prius est.* Mount.

Τάξει] *Ordine*, scilicet, temporis. Auger.

Ἄνθρωπος] Hac voce Philippum contemptim designat: qui alibi passim οὗτος et ἐκεῖνος eodem modo appellatur. *Ex edit.* Stock.

Εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γενήσεται] Chalcidicam regionem intelligit in qua Philippus jam, antequam Olynthum obsedisset, duo et triginta urbes ceperat. *Ibid.*

Εἰ πολεμήσαιεν] Si ipsi ultro lacesserent Philippum. Wolf.

Οὗτοι πολεμοῦνται] Scilicet ὑπὸ φιλίππου. Tanto igitur magis adjuvandi, quanto majore in periculo sunt. Idem.

Οὐ βάρβαρος] Græci omnes alias nationes, nec Macedonia excepta, pro barbaris habebant. Alexander, qui tempore

πρὸς θεῶν, ἅπαντα ταῦτα ἐάσαντες καὶ μόνον οὐχὶ συγκατασκευάσαντες αὐτῷ, τότε τοὺς αἰτίους, οἵ τινές εἰσι, τούτων ζητήσομεν; οὐ γὰρ αὐτοί γ᾽ αἴτιοι φήσομεν εἶναι, σαφῶς οἶδα τοῦτ᾽ ἐγώ. οὐδὲ γὰρ ἐν τοῖς τοῦ πολέμου κινδύνοις τῶν [1] φυγόντων οὐδεὶς ἑαυτοῦ κατηγορεῖ, [2] ἀλλὰ τοῦ στρατηγοῦ καὶ τῶν πλησίον καὶ πάντων μᾶλλον, ἥττηνται δ᾽ ὅμως διὰ πάντας τοὺς [3] φυγόντας δή που· μένειν γὰρ ἐξῆν τῷ κατηγοροῦντι τῶν ἄλλων, εἰ δὲ τοῦτ᾽ ἐποίει ἕκαστος, ἐνίκων ἄν. καὶ νῦν οὐ λέγει τις τὰ βέλτιστα; ἀναστὰς ἄλλος εἰπάτω, μὴ τοῦτον αἰτιάσθω. ἕτερος λέγει τις βελτίω; ταῦτα ποιεῖτε ἀγαθῇ τύχῃ. ἀλλ᾽ οὐχ ἡδέα ταῦτα; οὐκέτι τοῦθ᾽ ὁ λέγων ἀδικεῖ, πλὴν εἰ δέον εὔξασθαι παραλείπει. εὔξασθαι μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ῥᾴδιον, εἰς [4] ταὐτὸν πάνθ᾽, ὅσα βούλεταί τις, ἀθροίσαντα ἐν ὀλίγῳ· ἑλέσθαι δέ, ὅταν περὶ πραγμάτων προτεθῇ σκοπεῖν, οὐκέθ᾽ ὁμοίως εὔπορον, ἀλλὰ δεῖ τὰ βέλτιστα ἀντὶ τῶν ἡδέων, ἂν μὴ συναμφότερα ἐξῇ, λαμβάνειν.

[1] φευγόντων [2] ἀλλὰ καὶ [3] φεύγοντας [4] ταὐτὸ

Xerxis Macedoniæ rex erat, ludis Olympicis utpote barbarus exclusus est, neque ad eos tandem aliquando admissus, antequam se Argis oriundum esse probasset. *Ex edit.* Stock.

Ἐάσαντες] Scilicet γίγνεσθαι. Auger.

Πλὴν εἰ, δέον εὔξασθαι, παραλείπει] In hisce orationibus plurima occurrunt, quæ ad ea quæ ab aliis dicta fuerant, spectare videntur. Conjicere licet, quod in hac ipsa concione, priusquam ad dicendum surrexerat Demosthenes, orator quidam futilis auditores fallaci spe ludificatus, et vota fundens inania pro felicitate publica, tempus contrivisset; omisso interea quid agere oporteat docere, aut dato forsan consilio pestifero. Hoc multum (ni fallor) tum lucis, tum vis et ornatus huic loco conciliabit. *Ex edit.* Stock.

Δέον εὔξασθαι] Exponit simpliciter scholiastes, *nisi forte in hoc delinquo, quod vota non facio, ut vobis utraque contingant, et utilia et salutaria.* Sed magis arridet interpretatio proxime allata: præsertim cum hæc verba ironice quoque accepisse videatur Lucianus, qui tractatu optimo de conscrib. historia, §. 38. postquam non esse vitio dandum historico docuisset, si quæ essent a civibus suis infeliciter aut parum prudenter facta, ea quemadmodum contigerunt enarret; *neque enim ipse,* inquit, *auctor est illorum, sed index:* ὥστε κἂν καταναυμαχῶνται, τότε οὐκ ἐκεῖνος ὁ καταδύων ἐστὶ, κἂν φεύγωσιν, οὐκ ἐκεῖνος ὁ διώκων· ἐκτὸς εἰ μὴ, εὔξασθαι δέον, μή τι παρέλιπεν· *itaque cum navali prælio vincuntur, non ille est, qui submergit; et, si fugiant, non ille, qui tergis instat: nisi forte, cum votis opus esset, ea prætermiserit.* Hoc est, nisi forte, in his enarrandis digrediatur, egregiumque se esse civem ostendat, istiusmodi calamitates ab republica sua in posterum deprecatus. Stock.

Εὔξασθαι μὲν γὰρ] Scomma satis acerbum, sed dignum tanta socordia. M. Cato in Catilinario: *Non votis, neque suppliciis muliebribus auxilia Deorum parantur: vigilando, agendo, bene consulendo, recte omnia cedunt; ubi socordiæ atque ignaviæ te tradideris, nequicquam Deos implores: irati infestique sunt.* Sententia est: Res ipsa postulat acrem orationem, quæ non est oratoris acerbitati tribuenda. Omne quidem (ut inquit Horatius) tulit punctum, qui miscuit utile dulci. Verum id ubi fieri nequit, illud alterum teneamus: *Pauca voluptati debentur, plura saluti.* Wolf.

Εὔξασθαι] *Precari, vota facere.* Solebant oratores quidam, postquam populo dederant consilium, ipsi fausta apprecari verbis magnificis. Hic istos merito irridet Demosthenes. Auger.

ζ'. Εἰ δέ τις ἡμῖν ἔχει καὶ τὰ θεωρικὰ ἐᾶν καὶ πόρους ἑτέρους λέγειν στρατιωτικούς, οὐχ οὗτος [1] κρείττων; εἴποι τις ἄν. Φήμ' ἔγωγε, εἴ πέρ ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλὰ θαυμάζω εἴ τῳ ποτε ἀνθρώπων ἢ γέγονεν ἢ γενήσεται, ἂν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ. ἀλλ', οἶμαι, μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις ἡ παρ' ἑκάστου βούλησις, διό περ ῥᾷστον ἁπάντων ἐστὶν αὑτὸν ἐξαπατῆσαι· ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται, τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκεν.

η'. Ὁρᾶτε οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦθ' οὕτως, ὅπως καὶ τὰ πράγματα ἐνδέχεται καὶ δυνήσεσθε ἐξιέναι καὶ μισθὸν ἕξετε. οὔ τοι σωφρόνων οὐδὲ γενναίων ἐστὶν ἀνθρώπων, ἐλλείποντάς τι δι' ἔνδειαν χρημάτων τῶν τοῦ πολέμου εὐχερῶς τὰ τοιαῦτα ὀνείδη φέρειν, οὐδ' ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας ἁρπάσαντας τὰ ὅπλα πορεύεσθαι, Φίλιππον δ' ἐᾶν πόλεις Ἑλληνίδας ἀνδραποδίζεσθαι δι' ἀπορίαν ἐφοδίων τοῖς στρατευομένοις. Καὶ ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν ὑμῶν τηνάλλως προῄρημαι λέγειν· οὐ γὰρ οὕτως ἄφρων οὐδ' [2] ἀτυχής εἰμι ἐγώ, ὥστε ἀπεχθάνεσθαι βούλεσθαι μηδὲν ὠφελεῖν νομίζων· ἀλλὰ δικαίου πολίτου

[1] κρεῖττον

[2] ἀτυχής τίς εἰμι

ζ'. Τῶν ἀπόντων] Construitur cum εὐπορῆσαι, et ab eo regitur. Idem.

η'. Ἐλλείποντάς τι] Sic ordina: ἐλλείποντάς τι τοῦ πολέμου, δι' ἔνδειαν χρημάτων: et mox: δι' ἀπορίαν ἐφοδίων τοῖς στρατευομένοις, scilicet δοθησομένων, ἢ ἀναγκαίων ὄντων. ἐφόδια vero intelligo τὰ σιτηρέσια, de quibus Philippica 1. Wolf.

Κορινθίους] Demosthenes Atheniensium virtutem recalefacere studet, in memoriam ipsis revocando insignem patrum ipsorum expeditionem, circiter seculo ante factam. Simul atque Græcia Persarum regem propulsasset, victores statim in se invicem arma converterunt. Athenienses et Lacedæmonii suis utrique partibus præfuerunt: reliqui vel has vel illas partes amplexi sunt. Corinthii et Megarenses illo tempore de finibus inter se certabant. Megarenses, quibus commodius esset ab Atheniensibus quam a Lacedæmoniis auxilium petere, ab his elapsi sunt ut illis se adjungerent. Corinthii minime hoc erant perterriti; seque persuasissimos habentes, Athenienses in Ægypto et Ægina occupatos ad novum hoc bellum sufficere non posse, in Megarensium fines se intromiserunt. Athenienses vero non tam virium quam virtutis rationem habuerunt. Senes et adolescentes, quibus urbs commissa fuerat, una alacres profecti sunt, quæsivere hostem ac profligarunt. *Ex edit.* Stock.

Καὶ Μεγαρέας] De bello jam loquitur quod duodecim annis contigit post bellum de quo in nota præcedenti. Megarenses, postquam præsidiarios Atheniensium milites trucidassent, Lacedæmoniis, atque etiam Corinthiis, contra quod Athenienses ipsorum causam suscepissent, se conjunxere. Athenienses, eorum tam perfida defectione, animoque adeo ingrato commoti, injuriam ulcisci decreverunt. Itaque Megarensibus denunciarunt, ne agrum Cereri et Proserpinæ sacratum contra fas colerent: qua admonitione neglecta, eos aditu in portus et regionem Atticam interdixere, et ducem quemlibet Atheniensem juramento obstrinxerunt, se quotannis Megarensium fines semel saltem invasurum. *Ibid.*

κρίνω τὴν τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι. καὶ γὰρ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας ἀκούω, ὥς περ ἴσως καὶ ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν οἱ παριόντες ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ ἔθει καὶ τῷ τρόπῳ τῆς πολιτείας χρῆσθαι, τὸν Ἀριστείδην ἐκεῖνον, τὸν Νικίαν, τὸν ὁμώνυμον ἐμαυτῷ, τὸν Περικλέα. ἐξ οὗ δ' οἱ διερωτῶντες ὑμᾶς οὗτοι πεφήνασι ῥήτορες, τί βούλεσθε; τί γράψω; τί ὑμῖν [1] χαρίσωμαι; προπέποται τῆς [2] παραυτίκα χάριτος τὰ τῆς πόλεως πράγματα καὶ τοιαυτὶ συμβαίνει, καὶ τὰ μὲν τούτων πάντα καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς.

θʹ. Καί τοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν κεφάλαια εἰπεῖν ἔχοι τῶν τ' ἐπὶ τῶν προγόνων ἔργων καὶ τῶν ἐφ' ὑμῶν. ἔσται δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν ἀλλ' οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γενέσθαι. Ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες οὐδ' ἐφίλουν αὐτοὺς ὥς περ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων, πλείω δ' ἢ μύρια τάλαντα

[1] χαρίσομαι [2] παραυτίκα ἡδονῆς καὶ χάριτος

Τὸν ὁμώνυμον ἐμαυτῷ] Demosthenem illum, qui in Sicula expeditione una cum Nicia periit. Stock.

Προπέποται] Græcis solenne fuit in conviviis lautioribus alteri propinare, et deinde poculum ei donare. Hinc sumpta metaphora, προπίνειν significat *donare, concedere, prodere.* Etsi de hujus vocis etymo nequaquam convenit inter eruditos. *Ex edit.* Stock.

Προπέποται] Valde delectatur hac metaphora Demosthenes. Sic alibi dixit προπίνειν τὴν πατρίδα τοῖς ἐχθροῖς: et τὴν ἐλευθερίαν προπεπωκότες. De vocis Etymo haud nostrum est disserere: adeas *Hen. Steph. Bud. Suid.* et *Harpocrat.* Mount.

θʹ. Ὑμῖν ἔξεστι γενέσθαι εὐδαίμοσιν] Observa pares casus, qui verbum antecedunt et sequuntur. Isocrates τῶν προσποιησαμένων εἶναι σοφιστῶν. Martialis:

Nobis non licet esse jam disertis.

Wolf.

Πέντε μὲν καὶ τετταράκοντα ἔτη] Isocrates in Panegyrico habet ἑβδομήκοντα, in Panathenaico πέντε καὶ ἑξήκοντα. et Obsopœus in veteri exemplari legi ostendit ξέ. Fortassis hic legendum καὶ ἑξήκοντα. Tertia Philippica vero scribit: ὅτι οἱ ἀθηναῖοι προστάται ἑβδομήκοντα ἔτη καὶ τρία τῶν ἑλλήνων ἐγένοντο. Chronologiam a Pausaniæ Spartani interitu usque ad cladem Hellesponticam puto perducendam: post quam, captis a Lysandro Athenis, Lacedæmonii terra marique rerum potiti sunt, donec, iisdem victis ad Cnidum, Conon patriæ opes et dignitatem aliqua ex parte recuperavit: quas sociali bello Chares denuo evertit, nec multo post Philippus in Græcia grassari, non armis magis, quam auro Macedonico et proditione, ac dominari cœpit: cui Demosthenes, quantum potuit, est adversatus. Idem.

Πέντε μὲν καὶ τετταράκοντα ἔτη——— ———ἑκόντων] In Wolfii codice legitur πέντε καὶ ἑξήκοντα; sed nostra lectio plurium exemplarium auctoritate munitur; et similis quoque locus est in oratione περὶ συντάξεως, ubi dicit Orator Athenienses imperium obtinuisse sponte Græcorum 45 annos: a Pausaniæ nempe interitu, ad initium belli Peloponnesiaci.

εἰς τὴν ἀκρόπολιν ἀνήγαγον, ὑπήκουε δὲ ὁ ταύτην τὴν χώραν ἔχων αὐτοῖς βασιλεύς, ὥς πέρ ἐστι προσῆκον βάρβαρον Ἕλλησι, πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια αὐτοὶ στρατευόμενοι, μόνοι δὲ ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτὴν θεάσασθε ὁποῖοι, ἔν τε τοῖς κοινοῖς καὶ [1] ἐν τοῖς ἰδίοις. δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι· ἰδίᾳ δ' οὕτω σώφρονες ἦσαν καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου καὶ τὴν Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰκίαν εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν· οὐ γὰρ εἰς περιουσίαν αὐτοῖς ἐπράττετο τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν [2] ἕκαστος αὔξειν ᾤετο δεῖν. ἐκ δὲ τοῦ τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὑτοῖς ἴσως διοικεῖν μεγάλην εἰκότως ἐκτήσαντο εὐδαιμονίαν. Τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα ἐκείνοις, χρωμένοις οἷς εἶπον προστάταις· νυνὶ δὲ πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν [3] τούτων τὰ πράγματα

[1] Deest ἐν post καὶ [2] αὔξειν ἕκαστος [3] τούτων] τῶν νῦν

Huic intervallo adjectis 27 annis ejusdem belli, quo tempore inviti paruerunt Græci, duraverit Atheniensium imperium omnino 72 annos integros, sive 73 inchoatos. Calculo hoc posteriori utitur Demosthenes in Philippica tertia. *Ex edit.* Stock.

Ταύτην τὴν χώραν] *Hanc regionem*, i. e. hic, Macedoniam. Pro ταύτην velim legi τὴν ἐκεῖ. Auger.

Ὥσπέρ ἐστι προσῆκον] Iphigenia in Euripide,

Βαρβάρων δ' Ἕλληνας ἄρχειν εἰκος, ἀλλ' οὐ
Βαρβάρους,
Μῆτερ, Ἑλλήνων. τὸ μὲν γὰρ δοῦλον, οἱ δ'
ἐλεύθεροι. Mount.

Δόξαν κρείττω τῶν φθονούντων] Τοῦ φθόνου, ἣν οἱ φθονεροὶ οὐκ ἐλυμήναντο. Wolf.

Ἀναθημάτων] Ἀνάθημα Græcis non dicitur de omni re, quæ diis consecrabatur, sed de illo tantum genere donorum quæ suspendi poterant, aut in excelso et conspicuo loco statui, ut essent templis ornamento, qualia sunt phialæ aureæ et argenteæ, tripodes, acerræ, corollæ, et similia. Vide *Salmas. Plin.* Exercitat. in Solin. Polyhist. qui plura ibi disputat de voce ἀνάθημα, eamque nusquam apud Græcos in malam partem accipi, pro ἀνάθεμα, contendit. Mount.

Τὸ κοινὸν αὔξειν] *Horatius* Od. II. xv.

Privatus illis Census erat brevis,
Commune *magnum*—— Idem.

Ἴσως διοικεῖν, μεγάλην εἰκότως ἐκτήσαντο εὐδαιμονίαν] *Eurip.* Phœniss. Act. 2. Sc. 1.

κάλλιον——
Ἰσότητα τιμᾷν· ἣ φίλους ἀεὶ φίλοις,
Πόλεις τε πόλεσι, ξυμμάχους τε ξυμμάχοις
Συνδεῖ. τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ.
Τῷ πλέονι δ' αἰεὶ πολέμιον καθίσταται
Τοὔλασσον—— Idem.

Ὑπὸ τῶν χρηστῶν] De Eubuli hoc cognomento nihil mihi constat, sed de Pho-

ἔχει; ἆρά γε ὁμοίως [1] ἢ παραπλησίως; καὶ τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν· ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων, Θηβαίων δ' ἀσχόλων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων ἡμῖν ἀντιτάξασθαι, ἐξὸν [2] δ' ἡμῖν καὶ τὰ ἡμέτερ' αὐτῶν ἀσφαλῶς ἔχειν καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας, πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα [3] ἀναλώκαμεν εἰς οὐδὲν δέον, οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης ἀπολωλέκασιν οὗτοι, ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν. ἢ φρασάτω τις ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν ἢ παρ' ἡμῶν αὐτῶν Φίλιππος; Ἀλλ' ὦ τᾶν, εἰ ταῦτα φαύλως, τά γ' ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει. Καὶ τί ἂν εἰπεῖν τις ἔχοι; τὰς ἐπάλξεις ἃς κονιῶμεν, καὶ τὰς ὁδοὺς ἃς ἐπισκευάζομεν, καὶ κρήνας καὶ λήρους; Ἀποβλέψατε δὴ πρὸς τοὺς τὰ τοιαῦτα πολιτευομένους, ὧν οἱ μὲν ἐκ πτωχῶν πλούσιοι γεγόνασιν, οἱ δ' ἐξ ἀδόξων ἔντιμοι, ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι· ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ τὰ τούτων ηὔξηται. Τί δὴ τὸ πάντων αἴτιον τούτων, καὶ τί δή ποτε

[1] ἢ] καὶ [2] ὑμῖν [δ'] [3] ἀνηλώκαμεν

cione sic scribit Plutarchus: ὥστε θαυμάζειν, ὅπως καὶ ὁπόθεν τραχὺς οὕτως ἀνὴρ καὶ σκυθρωπὸς ἐκτήσατο τὴν τοῦ χρηστοῦ προσηγορίαν. Wolf.

Ἀλλ' ὅσης] Ἀλλ' ἐπειλημμένοι τοσαύτης ἐρημίας, scilicet τῆς ἑλλάδος, ὅσην ὁρᾶτε ἅπαντες. ἐπιλαμβάνεσθαι ἐρημίας, idem quod τυχεῖν, παραπεπτωκυίας ἡμῖν τοσαύτης ἐρημίας. *Cum in tantam Græciæ solitudinem inciderimus: cum soli simus inter Græcos, principatu digni videamur.* τὸ ἐπειλημμένοι, ἀντὶ τοῦ ἐπειληφότες, κατ' ἐναλλαγὴν ἀττικήν. Sed si quis passive malit intelligere, *a quanta solitudine simus circumventi*, is cogitet, legendum sibi fore, ἀλλ' ὑφ' ὅσης ἅπαντες, etc. Nam ἡ ἔλλειψις durissima fuerit. Sic dicunt ἐπιλαμβάνεσθαι προφάσεως, *arripere occasionem*: τῶν τριχῶν, *invadere in capillos*: τῆς ἀτελείας ἐπειλημμένοι, *consecuti immunitatem*: ἐπιλαμβάνεσθαι τοῦ λόγου, *reprehendere orationem*. Idem.

Λακεδαιμονίων μὲν ἀπολωλότων] Clades apud Leuctra et Mantineam opes eorum prorsus infregerant. *Ex edit.* Stock.

Θηβαίων δὲ ἀσχόλων ὄντων] Bello nempe sacro, sive Phocensi, sub hoc tempus impliciti fuere Thebani. *Ibid.*

Οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους] Ulpianus et Wolfius hoc intelligendum censent de pace, qua Athenienses libertatem concesserunt Chiis, Rhodiis, Byzantinis aliisque defectoribus. Mihi potius videntur hæc referri ad eventus recentiores, veluti expugnationem Pydnæ, Potidææ, aliarumque Thraciæ urbium, quas Philippus ab Atheniensibus ceperat. *Ibid.*

Κονιῶμεν] *Wolfius* legit κοινῶμεν, quod certe falsum est, vertit autem *reficimus*; qui sensus ut obtineat, scriptum oportuit καινῶμεν. Multo melius est, ut opinor, κονιῶμεν, *dealbamus*, propiusque tangit futilem ac inanem Eubuli aliorumque τῶν χρηστῶν rerum administrationem. Mount.

ἅπαντ' εἶχε καλῶς τότε καὶ νῦν οὐκ ὀρθῶς; Ὅτι τὸ μὲν πρῶτον καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος δεσπότης τῶν πολιτευομένων ἦν καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν, καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινὸς μεταλαβεῖν· νῦν δὲ τοὐναντίον κύριοι μὲν [1]οἱ πολιτευόμενοι τῶν ἀγαθῶν, καὶ διὰ τούτων ἅπαντα πράττεται, ὑμεῖς δ' ὁ δῆμος ἐκνενευρισμένοι καὶ περιῃρημένοι χρήματα καὶ συμμάχους ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγαπῶντες ἐὰν [2]μεταδῶσι θεωρικῶν ὑμῖν ἢ βοίδια πέμψωσιν οὗτοι, καὶ τὸ πάντων ἀνανδρότατον, τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετε. οἱ δ' ἐν αὐτῇ τῇ πόλει καθείρξαντες ὑμᾶς ἐπάγουσιν ἐπὶ ταῦτα καὶ [3]τιθασεύουσι χειροήθεις αὐτοῖς ποιοῦντες. ἔστι δ' οὐδέποτ', οἶμαι, μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μικρὰ καὶ φαῦλα πράττοντας· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. Ταῦτα μὰ τὴν Δήμητρα οὐκ ἂν θαυμάσαιμι, εἰ μείζων εἰπόντι ἐμοὶ γένοιτο παρ' ὑμῶν βλάβη τῶν πεποιηκότων αὐτὰ γενέσθαι· οὐδὲ γὰρ παῤῥησία περὶ πάντων ἀεὶ παρ' ὑμῖν ἐστίν, ἀλλ' ἔγωγε ὅτι καὶ νῦν γέγονε θαυμάζω.

ι. Ἐὰν οὖν ἀλλὰ νῦν γ' ἔτι ἀπαλλαγέντες τούτων τῶν ἐθῶν ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν ἀξίως ὑμῶν αὐτῶν, καὶ ταῖς περιουσίαις ταῖς οἴκοι ταύταις ἀφορμαῖς ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε, ἴσως ἄν, ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτήσαισθε ἀγαθόν, καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε. καὶ γὰρ [4]ἐκεῖνα οὔτ' ἰσχὺν ἐντίθησιν οὔτ' ἀποθνήσκειν ἐᾷ, καὶ ταῦτα, ἃ νέμεσθε νῦν ὑμεῖς, οὔτε τοσαῦτά ἐστιν ὥστε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ' ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ, ἀλλ'

[1] τῶν ἀγαθῶν οἱ πολιτευόμενοι [2] μεταδιδῶσι [3] τιθασσεύουσι
[4] οὔτ' ἰσχὺν ἐκεῖνα

Ἐστὶ δ' οὐδέποτ', οἶμαι] Operæ erit hac de re et Criticorum principem Longinum audire disputantem, π. ὕψους, §. 44, ubi, sub aliena persona suam declarans sententiam, *cæteras quidem artes in servile ingenium cadere posse* confirmat; *eloquentiam nunquam.* Stock.

ι. Ἀλλὰ νῦν γ' ἔτι] Subintellige ἐπειδὴ οὐ πρότερον: sicut in Orat. de Cor. ἐπειδὴ δὲ οὐ τότε, ἀλλὰ νῦν δεῖξον. Mount.

ἔστι ταῦτα τὴν ἑκάστου ῥαθυμίαν ὑμῶν ἐπαυξάνοντα. Οὐκοῦν σὺ μισθοφορὰν λέγεις; φήσει τις. Καὶ παραχρῆμά γε τὴν αὐτὴν σύνταξιν ἁπάντων, ὦ ἄνδρες Ἀθηναῖοι, ἵνα τῶν κοινῶν ἕκαστος τὸ μέρος λαμβάνων, ὅτου δέοιτο ἡ πόλις, εἰς τοῦθ' [1] ἕτοιμος ὑπάρχῃ. ἔξεστιν ἄγειν ἡσυχίαν; οἴκοι μένων εἶ βελτίων, τοῦ δι' ἔνδειαν ἀνάγκῃ τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος. συμβαίνει τι τοιοῦτον, οἷον καὶ τὰ νῦν; στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων, ὥσπερ ἐστὶ δίκαιον ὑπὲρ τῆς πατρίδος. ἔστι τις ἔξω τῆς ἡλικίας ὑμῶν; ὅσα οὗτος νῦν ἀτάκτως λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ' ἐν ἴσῃ τάξει λαμβανέτω πάντ' ἐφορῶν καὶ διοικῶν ἃ χρὴ πράττεσθαι.

ιά. Ὅλως δὲ οὔτ' ἀφελὼν οὔτε προσθεὶς πλὴν μικρόν, τὴν ἀταξίαν ἀνελὼν εἰς τάξιν ἤγαγον τὴν πόλιν, τὴν αὐτὴν τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ' ὅ τι καθ' ἡλικίαν ἕκαστος ἔχοι καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας. οὐκ ἔστιν ὅπου τοῖς μηδὲν ποιοῦσιν ἐγὼ τὰ τῶν [2] ποιούντων εἶπον ὡς δεῖ νέμειν, οὐδ' αὐτοὺς μὲν ἀργεῖν καὶ σχολάζειν καὶ ἀπορεῖν, ὅτι δὲ οἱ τοῦ δεῖνος νικῶσι ξένοι, ταῦτα πυνθάνεσθαι· ταῦτα γὰρ νυνὶ γίγνεται. καὶ οὐχὶ μέμφομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ὑμῶν, ἀλλὰ καὶ [3] ὑμᾶς ὑπὲρ ὑμῶν αὐτῶν ἀξιῶ πράττειν ταῦτα ἐφ' οἷς ἑτέρους τιμᾶτε, καὶ μὴ παραχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι,

[1] ἑτοίμως χρήσιμον ἑαυτὸν παρέχοι   [2] ποιησόντων   [3] ὑμᾶς αὐτοὺς ὑπὲρ

Οὐκοῦν σὺ μισθοφορὰν λέγεις;] Valente Eubuli lege, capitale fuit ad populum juxta formulas præscriptas ferre, ut pecunia theatralis in stipendia militum impenderetur: licebat tamen impune verbo tenus sententiam proferre. Et ne hoc tamen nisi cautissime aggreditur Demosthenes. *Ex edit.* STOCK.

Μισθοφορὰν] Invidiosam rem Atheniensibus, *mercedis acceptionem*, quæ servorum proprie est, callida obtectione elevat ac diluit Orator. *Ulp.* STOCK.

Τὴν αὐτὴν σύνταξιν] *Omnium ordinationem eandem esse ac militantium:* scil. ut militibus, sic et cæteris officio fungentibus, pecuniam numerandam censet. Debebatur enim merces quædam civibus, qui judiciis et conciliis interfuere. *Ex edit.* STOCK.

Καὶ παραχρῆμά γε τ. α. σ. ἁπάντων] Subaudi λέγω simpliciter, vel λέγω δεῖν εἶναι. AUGER.

Στρατιώτης αὐτὸς ὑπάρχων] Subaudi εἶ βελτίων quod præcessit. IDEM.

ιά. Ὅλως δὲ οὔτ' ἀφελὼν, οὔτε προσθεὶς πλὴν μικρῶν, &c.] *Ad summam nec addens nec demens, præter pauca, immunitatis tantum licentia sublata, in eundem ordinem civitatem redegi, æqua ut conditione capiant, militent, judicent, id denique faciant, quod quisque per ætatem facere potest.* Ex hoc Demosthenis loco satis apparet, apud Athenienses etiam, sicut apud Romanos, judicandi necessarium fuisse munus, ut militandi. De quo plura vide in posterioribus Annotationibus Bud. in Pandect. *Ex edit.* WOLF.

Καὶ μὴ παραχωρεῖν——τῆς τάξεως] Sic Orat. de Rep. Ord. sub finem: Αἰσχρὸν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, αἰσχρὸν, λιπεῖν τὴν

τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον. Σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν· ὑμεῖς δ᾽ ἕλοισθε ὅ τι καὶ τῇ πόλει καὶ ἅπασι συνοίσειν ὑμῖν μέλλει.

τοῦ φρονήματος τάξιν, ἣν ὑμῖν οἱ πρόγονοι παρέδωκαν. Alludere videtur ad militares ordines, quos qui desererent infamia notabantur. Mount.



ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΟΛΥΝΘΙΑΚΟΥ Γ (Α).

ΟΛΥΝΘΟΣ ἦν πόλις ἐπὶ Θρᾴκης. Ἑλληνικὸν δὲ [1] ταύτῃ τῶν ἐνοικούντων τὸ γένος, ἀπὸ Χαλκίδος τῆς ἐν Εὐβοίᾳ· ἡ δὲ Χαλκὶς Ἀθηναίων ἄποικος. πολλοὶ δὲ πόλεμοι καὶ ἔνδοξοι τῆς Ὀλύνθου· Ἀθηναίοις τε γὰρ ἐπολέμησεν ἄρχουσι τῶν Ἑλλήνων τὸ παλαιόν, καὶ αὖθις Λακεδαιμονίοις. χρόνῳ τε εἰς δύναμιν προῆλθε μεγάλην, καὶ τῶν συγγενῶν πόλεων [2] ἐπῆρχεν· ἦν γὰρ ἐπὶ Θρᾴκης πολύ τι γένος Χαλκιδικόν. Φιλίππῳ δὲ τῷ Μακεδόνων βασιλεῖ συμμαχίαν οἱ Ὀλύνθιοι ποιησάμενοι, καὶ πολεμοῦντες μετ' αὐτοῦ πρὸς Ἀθηναίους τὸ κατ' ἀρχάς, καὶ τοῦτο μὲν Ἀνθεμοῦντα παρὰ τοῦ Μακεδόνος εἰληφότες, πόλιν ἀμφισβητήσιμον Μακεδόσι καὶ Ὀλυνθίοις, τοῦτο δὲ Ποτίδαιαν, ἣν Ἀθηναίων ἐχόντων ἐκπολιορκήσας ὁ Φίλιππος Ὀλυνθίοις παρέδωκεν, ὕστερον ὑποπτεύειν ἤρξαντο τὸν βασιλέα, ὁρῶντες αὐτοῦ ταχεῖαν καὶ πολλὴν τὴν αὔξησιν, οὐ πιστὴν δὲ τὴν γνώμην. ἀποδημοῦντα δὲ τηρήσαντες αὐτόν, πέμψαντες πρέσβεις πρὸς Ἀθηναίους, κατελύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον, ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας τὰς πρὸς Φίλιππον· συνετέθειντο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς Ἀθηναίους, κἂν ἄλλο τι δόξῃ, κοινῇ σπείσασθαι. ὁ δὲ Φίλιππος, πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς δεόμενος, τότε δὲ ταύτην λαβών, ὡς τὰς συνθήκας παραβεβηκόσι καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις πόλεμον ἐπήνεγκεν.

Οἱ δὲ πεπόμφασι πρέσβεις εἰς Ἀθήνας περὶ βοηθείας. οἷς ὁ Δημοσθένης συναγορεύει, βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις. καί φησι τὴν Ὀλυνθίων σωτηρίαν ἀσφάλειαν [3] εἶναι τῶν Ἀθηναίων· σωζομένων γὰρ τῶν Ὀλυνθίων οὐδέποτε ἥξειν εἰς τὴν Ἀττικὴν Φίλιππον, ἀλλὰ τοῖς Ἀθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ τὴν Μακεδονίαν κἀκεῖ ποιεῖσθαι τὸν πόλεμον· εἰ δὲ ὑπὸ Φιλίππῳ γένοιτο ἡ πόλις αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ τοὺς Ἀθηναίους ὁδὸν τῷ βασιλεῖ. φησὶ δὲ [4] δυσμάχητον εἶναι τὸν Φίλιππον [5] οὐχ ὡς ὑπείληπται, θαρσύνων ἐπ' αὐτὸν τοὺς Ἀθηναίους.

Διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων, συμβουλεύων αὐτὰ ποιῆσαι στρατιωτικὰ ἀντὶ θεωρικῶν. καὶ τὸ ἔθος οὐ πρόδηλον ὄν, ᾧ ἐχρῶντο οἱ Ἀθηναῖοι, ἀνάγκη σαφηνίσαι. Οὐκ ὄντος τὸ παλαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπηγνυμένων ἰκρίων, καὶ πάντων καταλαμβάνειν τόπον σπευδόντων, πληγαί τε ἐγίνοντο καί που καὶ τραύματα. τοῦτο κωλῦσαι βουληθέντες οἱ προεστῶτες τῶν Ἀθηναίων ὠνητοὺς ἐποιήσαντο τοὺς τόπους, καὶ ἕκαστον ἔδει διδόναι δύο ὀβολούς, καὶ καταβαλόντα θέαν ἔχειν. ἵνα δὲ μὴ δοκῶσιν οἱ πένητες [6] λυπεῖσθαι τῷ ἀναλώματι, ἐκ τοῦ δημοσίου λαμβάνειν ἕκαστον ἐτάχθη τοὺς δύο ὀβολούς. ἐντεῦθεν μὲν οὖν τὸ ἔθος ἤρξατο· προῆλθε δὲ [7] εἰς τοῦτο, ὥστε οὐκ εἰς [8] τοὺς τόπους μόνον ἐλάμβανον, ἀλλὰ ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο. ὅθεν καὶ περὶ τὰς στρατείας ὀκνηροὶ κατέστησαν. πάλαι μὲν γὰρ στρατευόμενοι μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον, τότε δὲ ἐν ταῖς θεωρίαις καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες διενέμοντο τὰ χρήματα· οὐκέτι οὖν ἤθελον ἐξιέναι καὶ

[1] τῶν ταύτῃ [2] ὑπερεῖχεν [3] τῶν ἀθηναίων εἶναι [4] δύσμαχον
[5] οὐχ ὡς] οὕτως [6] τῷ ἀναλώματι λυπεῖσθαι [7] τοσοῦτον [8] τοὺς τόπους] τοῦτο

Συνετέθειντο] Multi codd. habent συνετέθειτο, impersonaliter, *inter eos convenerat.* Auger.

Οὐχ ὡς ὑπείληπται] Sic legendum, non οὕτως. Sed in exemplari quodam, sive Romano, sive Florentino, (est enim ἀνώνυμον) paucarum Demosthenis orationum legitur: φησὶ δὲ μὴ δυσμάχητον εἶναι τὸν Φίλιππον οὕτως, ὡς ὑπείληπται. Quibus in verbis, tametsi οὕτως abesse potest, ferri tamen idem etiam potest, ut sententia sit: *esse quidem potentem Philippum, sed non invictum.* Ὑπείληπται] Scilicet ὁ φίλιππος, *quam existimetur:* ab ὑπολαμβάνομαι. ut in Busiride Isocratis: οἱ μειζόνως, ἢ κατὰ τὴν ἀξίαν ὑπολαμβανόμενοι: *quorum major est existimatio, quam merenter.* Potest etiam ὑπείληπται capi impersonaliter, ut λέγεται, &c. Wolf.

Περὶ τὰς στρατείας] *Circa expeditiones, in expeditionibus,* vel, *ad expeditiones obeundas.* Quanquam dubito, an pro περὶ legendum sit, ἐπὶ, vel πρός. Idem.

Μισθὸν] *Mercedem*, id est stipendium, pecuniam quæ numerabatur militibus. Nam cibaria etiam data esse militibus, quæ σιτηρέσιον appellarentur, e Philippicis, et oratione πρὸς πολυκλέα videtur

κινδυνεύειν, ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν θεωρικῶν τούτων χρημάτων, θάνατον ἀπειλοῦντα τῷ γράψαντι [1] μετατεθῆναί τε αὐτὰ εἰς τὴν ἀρχαίαν τάξιν καὶ γενέσθαι στρατιωτικά. διὸ ὁ Δημοσθένης εὐλαβῶς ἅπτεται τῆς περὶ τούτου συμβουλῆς, καὶ ὑπερωτήσας ἑαυτὸν ὅτι Σὺ γράφεις ταῦτα εἶναι στρατιωτικά; ἐπιφέρει Μὰ Δί' οὐκ ἔγωγε. Τοσαῦτα μὲν περὶ τῶν θεωρικῶν.

Διείλεκται δὲ ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν αὐτοὺς στρατεύεσθαι καὶ μὴ διὰ ξένων, ὥς περ εἰώθεσαν, ποιεῖσθαι τὴν βοήθειαν· τοῦτο γὰρ αἴτιον εἶναί φησι τοῦ τὰ πράγματα ἀπόλλυσθαι.


[1] μετατεθῆναι ταῦτα

posse colligi, ut alio loco indicabimus. Est et apud Cæsarem frequens, metiri frumentum militibus. Idem.

Νόμον ἔθεντο] Θεῖναι νόμον, est *legem ferre, rogare*. θέσθαι νόμον, *jubere, sancire, comprobare*. hoc populus fecit, illud legislator Eubulus. τῷ θέσθαι, contrarium est τὸ λῦσαι καὶ καταψηφίσασθαι, *abrogare, improbare, repudiare legem*. Idem.

Τοσαῦτα μὲν] Alia exemplaria ταῦτα μέν. subintelligitur εἰρήσθω. *Atque hæc de theatrali pecunia*, scilicet dicta sint. Idem.

Τὰ πράγματα] Scilicet τὴν ἡγεμονίαν. Apud Xenophontem ἔρρει τὰ καλὰ, *perierunt bona*, id est, res nostræ sunt afflictæ, mutata est fortuna reipubl. Idem.



ΟΛΥΝΘΙΑΚΟΣ Γ (Α).

Ol. 107, 4.

α΄. ᾿ΑΝΤΙ` πολλῶν ἂν, ὦ ἄνδρες ᾿Αθηναῖοι, χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει περὶ ὧν νυνὶ σκοπεῖτε. ὅτε τοίνυν τοῦθ᾿ οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν· οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ᾿ ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω πολλὰ τῶν δεόντων ἐκ τοῦ παραχρῆμα ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν, ὥστ᾿ ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι.

β΄. Ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες ᾿Αθηναῖοι, μόνον

α΄. ᾿Αντὶ πολλῶν ἂν—χρημάτων] Notat hic Ulpianus Oratoris artem, qui civibus suadere parans, ut pecunia reipublicæ causa cederent, hoc dicto animos eorum jam primum præoccupavit; dumque ad honestam nummorum despicientiam hortatur, non tam suam quam auditorum sententiam proferre videtur. *Ex edit.* Stock.

Περὶ ὧν] Id est, ἐν τούτοις περὶ ὧν. Auger.

Τι χρήσιμον ἐσκεμμένος] Semetipsum innuit, qui diligentior quam ingeniosior habebatur. et verecunde ostendit, se utile consilium afferre, magna diligentia quæsitum: sed judicium non suum, sed populi esse profitetur: et aliis etiam dicendi potestatem dat. Sic neq; alios oratores alienat, et populum simul et conciliat, et attentum facit. Wolf.

Ἥκει] Dubitari potest, an legendum sit ἥκοι, per οι, aut ἥκῃ, per ῃ. Quamquam enim sæpe indicativis utuntur Græci subjunctivorum loco, aut optativorum: ea res tamen non raro librariis accepta referri potest. Quid enim facilius, (indoctis præsertim, aut parum attentis, atque petulantibus) quam vocales, diphthongos, accentus, distinctiones inter se permiscere, crucemque figere (ut Virgilius dicere solebat) grammaticis? Wolf.

Ἥκει] Prætuli ἥκει quod dat Hermogenes, qui hunc ipsum locum refert in libro de Ideis. Auger.

᾿Αλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω, &c.] Id est, *Sed vestræ etiam esse fortunæ existimo, ut nonnullis ex tempore quoque succurrant animo, quæ dicenda sunt in rem vestram.* Leviter allusisse videtur ad Atheniensium δυσβουλίαν, hoc est, læva, stultaque consilia: quod vitium ipsis ἐπιχώριον, hoc est, *vernaculum* fuisse ex fabula constat, qua quæ illi male constituissent, Minervam in bonos exitus vertere solitam proditum est: quo etiam Aristophanes allusit in Vespis, γλαὺξ γὰρ ἡμῶν πρὶν μάχεσθαι τὸν στρατὸν διέπτατο, id est, *Ulula nostras ante pugnam pervolarat copias.* Vide proverbium Erasmi, Atheniensium inconsulta temeritas. *Ex edit.* Wolf.

᾿Εξ ἁπάντων] Scilicet τῶν λεχθέντων, τῶν συμβεβουλευμένων. Idem.

Αἵρεσιν] Sicut dicimus, αἱροῦμαι ἐξ ἁπάντων τὸ συμφέρον: sic αἵρεσις τοῦ συμφέροντος ἐξ ἁπάντων. Postea conjunges, γενέσθαι ὑμῖν ῥᾳδίαν: non, τοῦ συμφέροντος ὑμῖν, quanquam hoc quoque tam sententia, quam constructio, patitur. Idem.

β΄. Μονονουχὶ] Hoc additur, ne poetam potius quam oratorem agere videatur.

οὐχὶ λέγει φωνὴν ἀφιεὶς, ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστὶν, εἴ περ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε· ἡμεῖς δ' οὐκ οἶδ' ὅν τινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. ἔστι δὴ τά γ' ἐμοὶ δοκοῦντα, ψηφίσασθαι μὲν ἤδη τὴν βοήθειαν καὶ παρασκευάσασθαι τὴν ταχίστην, ὅπως ἐνθένδε [1] βοηθήσετε καὶ μὴ πάθητε ταὐτὸν ὅ περ καὶ πρότερον, πρεσβείαν δὲ πέμπειν, ἥ τις ταῦτ' ἐρεῖ καὶ παρέσται τοῖς πράγμασιν, ὡς ἔστι μάλιστα τοῦτο δέος, μὴ πανοῦργος ὢν καὶ δεινὸς [2] ἄνθρωπος πράγμασι χρῆσθαι, τὰ μὲν εἴκων, ἡνίκ' ἂν τύχῃ, τὰ δ' ἀπειλῶν — ἀξιόπιστος δ' ἂν εἰκότως φαίνοιτο —, τὰ δ' ἡμᾶς διαβάλλων καὶ τὴν ἀπουσίαν τὴν ἡμετέραν, [3] τρέψηται καὶ παρασπάσηταί τι τῶν ὅλων πραγμάτων.

[1] βοηθήσητε [2] ἄνθρωπος [3] δρέψηται

Cicero Epist. 10. *Et postquam de meo cursu Reipublicæ sum voce revocatus, nunquam per M. Antonium quietus fui.* Idem.

Τῶν πραγμάτων ὑμῖν ἐκείνων] Quarum? τῆς τῶν ὀλυνθίων συμμαχίας, ἢ τῆς τῶν ἑλλήνων ἀρχῆς. Si ἐκείνων ad Olynthios refertur, respicit non ad præsentem deliberationem, sed ad situm urbis: alioqui τούτων dicendum fuisset. Idem.

Ὑπὲρ σωτηρίας αὐτῶν] Αὐτῶν, si tenui spiritu legatur, subintelligi potest πραγμάτων, ut referatur sive ad conservationem principatus Græciæ, sive ad defensionem Olynthiorum, ut sit sententia: si rei bene gerendæ occasionem non vultis amittere: sed malo αὑτῶν, cum aspiratione, ut de ipsis Atheniensibus intelligatur, ac pro ὑμῶν αὐτῶν accipiatur. Idem.

Ἐνθένδε] Ἐξ αὐτῆς τῆς πόλεως: *hinc* mittendis civibus, non alibi mercenario milite conscribendo. Idem.

Βοηθήσητε] Βοήθειαν πέμψητε, ἤγουν πολιτικὴν δύναμιν ἀλλ' οὐ ξένους. Miserunt tandem Athenienses Olynthiis auxilio, ut in oratione Falsæ legationis autor est Demosthenes, decies mille conductitios, quater mille cives, quinquaginta triremes: quæ tamen eis omnia, proditorum scelere, nihil profuerunt. Idem.

Καὶ μὴ πάθητε] Vaticinatur Demosthenes. Accidit enim, ut exclusis hyeme Atheniensium navibus, Olynthus caperetur: quæ si venissent maturius, servari potuisset. Idem.

Πρότερον] Fortasse quum amissa est Amphipolis, Pydna, Potidæa, Methone, Pagasæ: quæ loca paulo post ipse recensebit. Idem.

Καὶ παρέσται τοῖς πράγμασι] Quibus? deliberationibus Olynthiorum de propulsando Philippo, ut consilio juvent Olynthios. Idem.

Ἀξιόπιστος δ' ἂν, &c.] Etsi *promissis* ejus nulla sit habenda fides—valet hoc itaque cum ad conflandum Philippo odium, tum ad incutiendum Atheniensibus terrorem. *Ex edit.* Stock.

Εἰκότως] Ἐκ τῶν εἰκότων, *neque mirum, merito, haud injuria, non ab re, probabile est.* A Demosthene sæpe in fine circumductionis collocatur εἰκότως absolute, et significat, *neque id injuria, idque merito.* Wolf.

Τὴν ἀπουσίαν τὴν ἡμετέραν] Hinc ait Mountneius palam esse, auxilium Olynthiis jam ante fuisse decretum, quam hæc oratio habita fuit: qui enim aliter Philippus Atheniensium *absentiam* criminari potuit? Respondeo, sententiam istam esse tantum hypotheticam: *vereor ne*, si abfuerimus, *Philippus hanc absentiam tanquam ansam reprehensionis arripiat.* Cæterum facile inducor ut credam, priusquam ullam habuisset de Olynthiis concionem Demosthenes, et initam fuisse cum eis societatem, et auxilia etiam decreta: sed auxilia ex conductitiis copiis, non ex civibus Atheniensibus conflata. Stock.

Τρέψηται] In Ulpiano legitur τρέψῃ, activa, non media voce: quod si rectum esset, legendum putarem, τρέψῃ τε καὶ παρασπάσῃ τι: sed parum refert, et παρασπάσηται sonum habet ampliorem. Τρέ-

γ΄. Οὐ μὴν ἀλλ᾿ ἐπιεικῶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ᾿, ὃ δυσμαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων, καὶ βέλτιστον ὑμῖν· τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὄντα κύριον καὶ ῥητῶν καὶ ἀποῤῥήτων, καὶ ἅμα στρατηγὸν καὶ δεσπότην καὶ ταμίαν, καὶ πανταχοῦ αὐτὸν παρεῖναι τῷ στρατεύματι, πρὸς μὲν τὸ τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι πολλῷ προέχει, πρὸς δὲ τὰς καταλλαγὰς, ἃς ἂν ἐκεῖνος [1] ποιήσαιτο ἄσμενος πρὸς Ὀλυνθίους ἐναντίως ἔχει. δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις, ὅτι νῦν οὐ περὶ δόξης οὐδ᾿ ὑπὲρ μέρους χώρας πολεμοῦσιν, ἀλλ᾿ ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος, καὶ ἴσασιν ἅ τ᾿ Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν καὶ Πυδναίων τοὺς ὑποδεξαμένους. καὶ ὅλως ἄπιστον, οἶμαι, ταῖς πολιτείαις ἡ τυραννὶς, ἄλλως τε κἂν ὅμορον χώραν ἔχωσι.

δ΄. Ταῦτ᾿ οὖν ἐγνωκότας ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τἄλλ᾿ ἃ προςήκει πάντα ἐνθυμουμένους φημὶ δεῖν ἐθελῆσαι καὶ παροξυνθῆναι καὶ τῷ πολέμῳ προςέχειν, εἴπερ ποτε,

[1] ποιήσηται

ψηται.] Scilicet τὶ, vel τὰς γνώμας τῶν ὀλυνθίων: vertat ac mutet aliquid, avertat animos Olynthiorum a nostra societate. WOLF.

γ΄. Ἐπιεικῶς] Alioquin est, *æque, valde, commode*: hic tantundem valet, ac si dicas, *bene cecidit, bene habet.* IDEM.

Καὶ βέλτιστον] Scilicet ἐστὶν, *etiam optimum est nobis.* τοῦτο καὶ, *idem est.* Nota καὶ sæpe redundare, sæpe per *etiam* aut *vel* interpretandum. IDEM.

Στρατηγὸν καὶ δεσπότην] Atheniensium duces non erant δεσπόται καὶ αὐτοκράτορες, non licebat eis suo arbitratu quidvis agere, ut dictatoribus: sed metuere iram populi cogebantur, qui decem aliquando duces, ut et ante illos virum de republica præclare meritum Miltiadem Cimonis patrem, refragante Socrate, capitis condemnavit. Sic fiebat, ut aliquando facerent, non quæ esse optima, sed quæ facillime probari posse populo credebant. IDEM.

Καὶ ταμίαν] Quæstorem, qui ipse claves habet ærarii, nec expectare cogitur, dum tributa extorqueantur, ut vestriduces: vel, ταμίαν appellat administratorem, eum qui negotiis præest, ut Homerus:
Ζεὺς ὅστ᾿ ἀνθρώποις ταμίης πολέμοιο τέτυκται. IDEM.

Ἴσασιν ἅ τ᾿ Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας, &c.] Philippus, cum Amphipolim et Pydnam proditione ceperat, proditores vel morte vel exilio sustulit. Nihil tamen Olynthi magistratibus exemplum profuit. Anno quippe orationes Olynthiacas sequente, proditionem tam male remuneratam imitati sunt: proque ea eadem ipsi prœmia accepere. *Ex edit.* STOCK.

Καὶ ὅλως] *Denique, ad summam, in universum.* WOLF.

Ἡ τυραννὶς ἄπιστον] Scilicet χρῆμα. ut Virgilius,

—Varium et mutabile semper
Fœmina.—et,
Dulce satis humor.— Item,
Triste lupus stabulis.— IDEM.

Ταῖς πολιτείαις] i. e. ταῖς δημοκρατίαις. Harpocratio ad vocem πολιτείαν dicit hanc apud oratores, ac nominatim apud Isocratem et Demosthenem, plerumque usurpari pro δημοκρατία. AUGER.

δ΄. Τῷ πολέμῳ προσέχειν] Scilicet τὸν νοῦν, *bello intendere animum, toto animo incumbere in bellum*: sic et Latini dicunt, vel *advertere*, vel *animum advertere.* WOLF.

καὶ νῦν, χρήματα εἰσφέροντας προθύμως καὶ αὐτοὺς ἐξιόντας καὶ μηδὲν ἐλλείποντας. οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις ἔθ' ὑμῖν τοῦ μὴ τὰ δέοντα ποιεῖν ἐθέλειν ὑπολείπεται. νυνὶ γὰρ, ὃ πάντες [1] ἐθρυλεῖτε, ὡς Ὀλυνθίους ἐκπολεμῶσαι δεῖ Φιλίππῳ, γέγονεν αὐτόματον, καὶ [2] ταῦθ' ὡς ἂν ὑμῖν μάλιστα συμφέροι. εἰ μὲν γὰρ ὑφ' [3] ὑμῶν πεισθέντες ἀνείλοντο τὸν πόλεμον, σφαλεροὶ σύμμαχοι καὶ μέχρι του ταῦτ' ἂν ἐγνωκότες ἦσαν ἴσως· ἐπειδὴ δ' ἐκ τῶν πρὸς [4] αὐτοὺς ἐγκλημάτων μισοῦσι, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτοὺς ὑπὲρ ὧν φοβοῦνται καὶ πεπόνθασιν ἔχειν. Οὐ δεῖ δὴ τοιοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, παραπεπτωκότα καιρὸν ἀφεῖναι, [5] οὐδὲ παθεῖν ταὐτὸν ὅ περ ἤδη πολλάκις πρότερον πεπόνθατε. εἰ γάρ, ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες καὶ παρῆσαν Ἀμφιπολιτῶν Ἱέραξ καὶ Στρατοκλῆς ἐπὶ τουτὶ τὸ βῆμα, κελεύοντες [6] ἡμᾶς πλεῖν καὶ παραλαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ' [7] ἡμεῖς ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν ἥν περ ὑπὲρ τῆς Εὐβοέων σωτηρίας, εἴχετ' ἂν Ἀμφίπολιν τότε καὶ πάντων [8] ἂν ἦτε τῶν μετὰ ταῦτ' ἀπηλλαγμένοι πραγμάτων. καὶ πάλιν ἡνίκα Πύδνα, Ποτίδαια,

[1] ἐθρυλλεῖτε [2] ταῦτα [3] ἡμῶν [4] αὐτοὺς [5] οὐδὲ δὴ παθεῖν
[6] ὑμᾶς [7] ἡμεῖς καὶ ὑπὲρ [8] τῶν μετὰ ταῦτα ἂν ἦτε

Ἐκπολεμῶσαι] Inquit Harpocratio, Δημοσθένης Φιλιππικοῖς, ἀντὶ τοῦ, εἰς πόλεμον καταστῆσαι. AUGER.

Καὶ ταῦτα] Ἄλλως τε, *præsertim, idque*, amplificandi particula ex aliqua circumstantia ut Cicero: "Quanquam te M. F. annum jam audientem Cratippum, idque Athenis, &c." WOLF.

Μέχρι του] Id est, *μέχρι τινὸς, aliquatenus, quodammodo.* Gallice, *jusqu'a un certain point.* AUGER.

Ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων] Ob crimina illata sibi a Philippo, qui eos, ut perfidos et fœdifragos, criminatur, ob pacem nobiscum factam. Si non *πρὸς αὐτοὺς*, sed *πρὸς αὐτὸν* legeretur: sententia esset, propter injurias, quibus se ab eo affectos esse queruntur. WOLF.

Καὶ πεπόνθασιν] Colligitur ex hoc loco, non inani suspicione impulsos Olynthios, pacem fecisse cum Atheniensibus: sed ex aliquibus sibi factis injuriis perspexisse Philippi mentem, graviora cogitantis. IDEM.

Ἥκομεν βεβοηθηκότες] *Veniremus auxiliati*, scilicet, pulsis Thebanis. Vide in oratione Chersonesitana concionem Timothei. Nisi forte intelligendum est de Macedonibus, autore Demosthene, pulsis, cujus rei Plutarchus meminit in vita nostri autoris. IDEM.

Εὐβοεῦσι βεβοηθηκότες] Vide supra Not. ad Philip. A. ζ'. STOCK.

Ἱέραξ καὶ Στρατοκλῆς] Hi duo legati, Amphipoleös nomine, cui nova a Philippo obsidio imminebat, se suamque urbem in fidem et tutelam Atheniensibus offerebant; qui eos accipere noluerunt, veriti scilicet, ne pacem anno superiori cum Philippo initam dirimerent. *Ex edit.* STOCK.

Πραγμάτων] Ἀσχολιῶν, λυπῶν, δαπανῶν, πολέμων. Amphipolitanum bellum constitisse Atheniensibus mille ducentis talentis, docet Ulpianus, plus sexta parte æstimationis agri Attici, quæ fuit, ut in oratione περὶ συμμοριῶν legimus, ἑξάκις χιλίων ταλάντων. Demosthenes Olynthiaca secunda (prima) 1500. ταλάντων meminit, τῶν μάτην ἀνηλωμένων. Bellum autem illud fuisse tam Philippo, quam Atheniensibus, grave, tum ex Demosthene constat, tum ex Isocratis etiam nostri Philippica. WOLF.

Μεθώνη, Παγασαί, τἄλλα, ἵνα μὴ καθ' ἕκαστα λέγων διατρίβω, πολιορκούμενα ἀπηγγέλλετο, εἰ τότε τούτων [1] ἑνί τῳ πρῶτον προθύμως καὶ ὡς προσῆκεν ἐβοηθήσαμεν αὐτοί, ῥᾴονι καὶ πολὺ ταπεινοτέρῳ [2] νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. νῦν δὲ τὸ μὲν παρὸν [3] ἀεὶ προϊέμενοι, τὰ δὲ μέλλοντα αὐτόματ' οἰόμενοι σχήσειν καλῶς, ηὐξήσαμεν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον ἡμεῖς καὶ κατεστήσαμεν τηλικοῦτον, ἡλίκος οὐδείς πώ [4] ποτε βασιλεὺς γέγονε Μακεδονίας. Νυνὶ δὲ καιρὸς [5] ἥκει τις οὗτος, ὁ τῶν Ὀλυνθίων, αὐτόματος, τῇ πόλει, ὃς οὐδενός ἐστιν ἐλάττων τῶν προτέρων ἐκείνων.

έ. Καὶ ἔμοιγε δοκεῖ τις ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιος λογιστὴς τῶν παρὰ τῶν θεῶν ἡμῖν ὑπηργμένων καταστάς, καίπερ οὐκ ἐχόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλην ἂν ἔχειν αὐτοῖς χάριν εἰκότως· τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι κατὰ τὸν πόλεμον τῆς ἡμετέρας ἀμελείας ἄν τις θείη δικαίως, τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι, πεφηνέναι τέ τινα ἡμῖν συμμαχίαν τούτων ἀντίῤῥοπον, ἂν βουλώμεθα χρῆσθαι, τῆς παρ' ἐκείνων εὐνοίας εὐεργέτημ' ἂν ἔγωγε θείην. ἀλλ', οἶμαι, παρόμοιόν ἐστιν, ὅπερ καὶ περὶ τῆς τῶν χρημάτων κτήσεως. ἂν μὲν γάρ, ὅσα ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν· ἂν δ' ἀναλώσας λάθῃ, συναναλώσε καὶ τὸ [6] μεμνῆσθαι τὴν χάριν. καὶ περὶ τῶν πραγμάτων οὕτως οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς οὐδ' εἰ συνέβη τι παρὰ τῶν θεῶν χρηστόν, μνημονεύουσι· πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν

[1] ἑνὶ τῷ πρώτῳ [2] νυνὶ [3] αἰεὶ [4] Deest ποτε
[5] ἥκει· τίς οὗτος; [6] μεμνῆσθαι τῇ τύχῃ τὴν

Αὐτοὶ] Διὰ πολιτῶν, καὶ μὴ διὰ ξένων ποιούμενοι τὰς βοηθείας. Idem.

Νυνὶ δὲ καιρὸς ἥκει, τίς; οὗτος ὁ.] Alii sic distinguunt, ἥκει, τίς οὗτος; ὁ. Alii, ἥκει τὶς, οὗτος ὁ. quæ haud scio an rectissima sit. Nescio enim, quomodo hic interrogatio mihi asperior videtur. τὸ τὶς idem quod οὐκ εὐκαταφρόνητος. Idem.

έ. Ἂν ἔχειν αὐτοῖς χάριν, εἰκότως] Ἔχειν εἰκότως conjungi possunt. Sed si ante εἰκότως interpungatur, eaque vox absolute capiatur: δημοσθενικώτερον ἂν εἶναι δόξειε. Idem.

Πολλὰ] Ut Amphipolim, Potidæam, Halonesum, Pæparethum, Cardiam atque alia. Idem.

Τῆς ἡμετέρας ἀμελείας θείη] Νομίσειεν εἶναι. Verbum θεῖναι respicit nomen λογιστής. quasi dicat, in hac ratione ineunda calculos ponet ad socordiam nostram, ad divinam beneficentiam, &c. Idem.

Κτήσεως] Non tam *possessionem* significat, quam *acquisitionem*. Idem.

Ὅσα ἂν τις λάβῃ καὶ σώσῃ] Καὶ, *etiam*: *Si quam acceperit, eam etiam conservarit*. Idem.

Ἐκβὰν] Sic Cicero: *Id consilium ita nobis probabatur, ut de eo homines ex eventu*

προϋπαρξάντων ὡς τὰ πολλὰ κρίνεται. διὸ καὶ σφόδρα δεῖ τῶν λοιπῶν ἡμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, φροντίσαι, ἵνα ταῦτ' ἐπανορθωσάμενοι τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτριψώμεθα. εἰ δὲ προησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τούτους τοὺς ἀνθρώπους, εἶτ' Ὄλυνθον ἐκεῖνος καταστρέψεται, φρασάτω τις ἐμοὶ τί τὸ κωλῦον ἔτ' αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται.

ϛ'. Ἆρά γε λογίζεταί τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρεῖ τὸν τρόπον, δι' [1] ὃν μέγας γέγονεν ἀσθενὴς ὢν τὸ κατ' ἀρχὰς Φίλιππος; τὸ πρῶτον Ἀμφίπολιν λαβὼν, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη· μετὰ ταῦτα Φεράς, Παγασάς, Μαγνησίαν, πάνθ', ὃν ἐβούλετο εὐτρεπίσας τρόπον, ᾤχετ' [2] ἐς Θρᾴκην· εἶτ' ἐκεῖ τοὺς μὲν ἐκβαλὼν, τοὺς δὲ καταστήσας τῶν βασιλέων ἠσθένησε· πάλιν ῥαΐσας οὐκ ἐπὶ τὸ ῥαθυμεῖν ἀπέκλινεν, ἀλλ' εὐθὺς Ὀλυνθίοις ἐπεχείρησε. τὰς δ' ἐπ' Ἰλλυριοὺς καὶ Παίονας αὐτοῦ καὶ πρὸς Ἀρύμβαν καὶ ὅποι τις ἂν εἴποι παραλείπω στρατείας. Τί οὖν, ἄν τις εἴποι, ταῦτα λέγεις ἡμῖν νῦν; Ἵνα γνῶτε, ὦ ἄνδρες Ἀθηναῖοι,

[1] οὗ—τὸ κατ' ἀρχὰς

[2] εἰς

judicaturos videremus. Idem. [Sic etiam Epist. ad Att. I. ix. Balbus ad Ciceronem: *Nedum hominum humilium, ut nos sumus, sed etiam amplissimorum virorum consilia ex eventu, non ex voluntate, a plerisque probari solent.*] Mount.

Ταῦτ'] Τὰ ἠμελημένα, *correctis iis quæ neglerimus:* nisi quis malit ταῦτα referre ad τὰ λοιπὰ, et ἐπανορθώσασθαι interpretari pro κατορθοῦν, *rite administrare:* in quo et ipso nihil sane est incommodi. Wolf.

Προησόμεθα, καταστρέψεται] Non improbo hanc lectionem, sed malim subjunctivo per ω et η, προησώμεθα, καταστρέψηται. Suspecta enim mihi est inscitia et oscitantia librariorum, qui τὰ χαρακτηριστικὰ γράμματα modorum non observant, ο, ε, ει, ου indicativi: οι, αι optativi: ω, η subjunctivi: qui certe modus hic requiritur, ὑποθετικῶς λεγομένων τούτων, ἀλλὰ μὴ ἀποφαντικῶς. Idem.

Ὅποι βούλεται] *Quo vult,* κατ' εὐφημισμὸν, ne male ominetur, si dicat, eum etiam in Atticam ire et velle et posse. Idem.

ϛ'. Ἆρά γε λογίζεταί τις, &c.] De his rebus a Philippo gestis paucula inveniet lector in argumento primæ Philippicæ ex Tourrellio: consulat autem Diodorum, aliosque historicos. Stock.

Ἐκβαλὼν] Ut Terem et Cersobleptem ut apparet ex Philippi literis. Wolf.

Καταστήσας] Fuerunt etiam alii duo, ut ex Aristocratea oratione apparet, Ἀμάδοκος καὶ Βηρισάδης: quibus, an vero aliis, regna confirmarit, ego affirmare, propter historiæ ignorationem, non possum. Sitalci tamen regnum confirmasse videtur. Idem.

Πρὸς Ἀρύμβαν] Arymbas Alcetæ Molossorum regis filius erat, fraterque Neoptolemi, ex quo nata est Olympias, Philippi uxor. Mortuo Alceta, inter fratres contentio orta est de imperio dividendo. Arymbas natu major, et hæres unicus ac legitimus fuit. Philippus tamen auxilium socero suo tulit, effecitque tandem ut Arymbas regnum cum Neoptolemo partiri cogeretur. Primam hanc injuriam gravior insecuta est: mortuo enim Arymba, tam bene Philippo successerunt ejus vel minæ, vel versutiæ, ut Molossi Æaciden Arymbæ filium pellerent, et Alexandrum filium Neoptolemi totius Epiri regem solum constituerent. *Ex edit.* Stock.

καὶ αἴσθησθε ἀμφότερα, καὶ τὸ προΐεσθαι καθ᾽ ἕκαστον ἀεί τι τῶν πραγμάτων ὡς ἀλυσιτελές, καὶ τὴν φιλοπραγμοσύνην, [1] ᾗ χρῆται καὶ συζῇ Φίλιππος, ὑφ᾽ ἧς οὐκ ἔστιν ὅπως ἀγαπήσας τοῖς πεπραγμένοις ἡσυχίαν σχήσει. εἰ δ᾽ ὁ μέν, ὡς ἀεί τι μεῖζον τῶν ὑπαρχόντων δεῖ πράττειν, ἐγνωκὼς ἔσται, ὑμεῖς δέ, ὡς οὐδενὸς ἀντιληπτέον ἐρρωμένως τῶν πραγμάτων, [2] σκοπεῖσθε εἰς τί ποτ᾽ ἐλπὶς ταῦτα τελευτῆσαι. πρὸς θεῶν, τίς οὕτως [3] ἐστὶν εὐήθης ὑμῶν, ὅς τις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα, ἂν ἀμελήσωμεν; ἀλλὰ μὴν εἰ τοῦτο γενήσεται, δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον, ὥς περ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις μικρὸν εὐπορήσαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν, οὕτω καὶ ἡμεῖς, ἂν ἐπὶ πολλῷ φανῶμεν ἐρραθυμηκότες καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ ὧν οὐκ ἠβουλόμεθα ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ.

ζ΄. Τὸ μὲν οὖν ἐπιτιμᾶν ἴσως φήσαι τις ἂν ῥᾴδιον καὶ παντὸς εἶναι, τὸ δ᾽ ὑπὲρ τῶν παρόντων ὅ τι δεῖ πράττειν ἀποφαίνεσθαι, τοῦτ᾽ εἶναι συμβούλου. ἐγὼ δὲ οὐκ ἀγνοῶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ᾽, ὅτι πολλάκις ὑμεῖς οὐ τοὺς

[1] ᾗ πρὸς ἅπαντας χρῆται [2] σκοπεῖτε [3] εὐήθης ἐστὶν

Ἡ συζῇ.] *Cum qua vivit:* id est, quæ individua ejus comes est, in qua omne suum studium et ætatem consumsit. Συμβιῶναι idem valet, quod συζῆν, ut in oratione de Corona: ἐγὼ μὲν δὴ τοιαύτῃ συμβεβίωκα τύχῃ. Wolf.

Τελευτῆσαι] Sub. ἄν. Auger.

Δέδοικα ὦ ἄνδρες Ἀθηναῖοι, &c.] Id est, *Vereor Athenienses, ne quemadmodum ii, qui contrahunt æs alienum, facile magnis usuris ad breve tempus divites sunt, paulo post etiam a principali summa excutiuntur: itidem et nos, si diutius videamur negligentes, cunctaque ad voluptatem quærentes, paulo post in necessitatem veniamus, ut vobis multa etiam acerba sint facienda, quæ nequaquam voluerimus, deque hoc ipso loco periclitemur.* Explicuit eleganter Metaphoram, qua Latini *vorsuram solvere* dicunt, pro eo quod est, sic e præsentibus malis extricare te, ut aliis gravioribus impediare. Eras. *Ex edit.* Wolf.

Οἱ δανειζόμενοι] *Qui mutuum sumunt:* οἱ δανείζοντες, *qui dant mutuum.* Wolf.

Τῶν ἀρχαίων ἀπέστησαν] *Domo profugiunt.* Suidas, ἀρχαῖα, τὰ κεφάλαια τῶν τόκων, interpretatur. Sed Ulpianus τῶν ἀρχαίων exponit, τῶν ἐνεχύρων, *pignoribus cedunt.* quod genus sunt ædes, prædia, vestes, etc. pro ἀπέστησαν alibi usurpat, ἐξέστησαν. οἱ δ᾽, inquit, ἐπειδὰν διαλύειν ἐδέησαν οἷς ὤφειλον· ἐξέστησαν ἁπάντων τῶν ὄντων. Item Aristophanes νεφέλαις· ἰὼ κλαίετ᾽, ὦ βολοστάται, Αὐτοί τε καὶ τἀρχαῖα καὶ τόκοι τόκων. Οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσαισθ᾽ ἔτι. Budæus τἀρχαῖα, τὰ πατρῷα exponit. Idem.

Ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν] Id est, *paulo post etiam avitis bonis cedunt fœneratoribus.* ταρχαῖα hoc loco appellat τὰ πατρῷα, ut alibi κατ᾽ ἀφόβου, non sortem usurarum, unde fructus et reditus manat, quod tamen etiam ἀρχαῖον significat. Bud. *Ex edit.* Wolf.

Ἐπὶ πολλῷ] Scilicet τόκῳ, βλάβει. Wolf.

αἰτίους ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε, ἄν τι μὴ κατὰ γνώμην ἐκβῇ· οὐ μὴν οἴομαί [1] [γε] δεῖν τὴν ἰδίαν ἀσφάλειαν σκοποῦνθ' ὑποστείλασθαι περὶ ὧν ὑμῖν συμφέρειν ἡγοῦμαι. Φημὶ δὴ διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σώζειν καὶ τοὺς τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν ἐκείνου χώραν κακῶς ποιεῖν καὶ τριήρεσι καὶ στρατιώταις ἑτέροις· εἰ δὲ θατέρου τούτων ὀλιγωρήσετε, ὀκνῶ μὴ μάταιος [2] ὑμῖν ἡ στρατεία γένηται. εἴτε γὰρ ὑμῶν τὴν ἐκείνου κακῶς ποιούντων ὑπομείνας τοῦτο Ὄλυνθον παραστήσεται, ῥᾳδίως ἐπὶ τὴν οἰκείαν ἐλθὼν ἀμυνεῖται· εἴτε βοηθησάντων μόνον ὑμῶν εἰς Ὄλυνθον ἀκινδύνως ὁρῶν ἔχοντα τὰ οἴκοι προςκαθεδεῖται καὶ προςεδρεύσει τοῖς πράγμασι, περιέσται τῷ χρόνῳ τῶν πολιορκουμένων. δεῖ δὴ πολλὴν καὶ διχῇ τὴν βοήθειαν εἶναι. Καὶ περὶ μὲν τῆς βοηθείας ταῦτα [3] γιγνώσκω.

ή. Περὶ δὲ χρημάτων πόρου, ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, χρήματα ὑμῖν, ἔστιν ὅσα οὐδενὶ τῶν ἄλλων ἀνθρώπων στρατιωτικά· ταῦτα δὲ ὑμεῖς οὕτως ὡς βούλεσθε λαμβάνετε. εἰ μὲν οὖν ταῦτα τοῖς στρατευομένοις ἀποδώσετε, οὐδενὸς ὑμῖν προςδεῖ πόρου· εἰ δὲ μή, προςδεῖ, μᾶλλον δ' ἅπαντος ἐνδεῖ τοῦ πόρου. Τί οὖν, ἄν τις εἴποι, σὺ γράφεις ταῦτ' εἶναι στρατιωτικά; Μὰ Δί' οὐκ ἔγωγε. ἐγὼ μὲν γὰρ ἡγοῦμαι στρατιώτας δεῖν κατασκευασθῆναι [4] καὶ εἶναι στρατιωτικὰ καὶ μίαν σύνταξιν εἶναι τὴν αὐτὴν τοῦ τε

[1] Absunt unci. [2] ἡμῖν [3] γινώσκω [4] καὶ ταῦτ' εἶναι

ζ'. Αἰτίους, ὑστάτους] Ὑστάτους, in Aldino codice oscitantia librarii omissum puto. Nam sententiæ non incommodat, et in προοιμίοις δημηγορικοῖς eodem modo usurpatur. Cæsar in Catilinaria: "Plerique mortales, inquit, postrema meminere." In hanc sententiam etiam secunda Philippica: ὁρῶ γὰρ, inquit, ὡς τὰ πολλὰ ἐνίους, οὐκ εἰς τοὺς αἰτίους, ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα μάλιστα τὴν ὀργὴν ἀφιέντας. Idem.

Ποιούντων] Ad ποιούντων aut addendum aut certe subaudiendum μόνον, quod in altero opposito membro expressum est. Auger.

ή. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι] Frustra hic litem movet Mountneius, cum neget Oratorem capitis se periculo subducere voluisse ope discriminis illius, quod evidentissimè intercedit inter voces γράφειν et ἡγεῖσθαι. Lex enim eadem, quæ pœnam denuntiavit in παράνομα γράφοντας, eos qui decretum legemve tulerint legibus contrariam, omnibus Atheniensibus τοῦ συμβουλεύειν, libere sententiam suam *dicendi* potestatem concessit. *Censeo quidem hæc decerni oportere: periculum autem, quod ex* decreto scribendo *nascatur, a quum est ut ille in se suscipiat, qui legem damnosam tulit:* quod ait supra Noster, Olynth. Γ. έ. Stock.

Καὶ μίαν σύνταξιν εἶναι] Hæc sententia in tertia (secunda) Olynthiaca repetitur, et clarius explicatur: τὴν αὐτὴν τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, &c. τάξιν ποιήσας.

λαμβάνειν καὶ τοῦ ποιεῖν τὰ δέοντα· ὑμεῖς δὲ οὕτω πως ἄνευ [1] πραγμάτων λαμβάνετε εἰς τὰς ἑορτάς. ἔστι δὴ λοιπόν, οἶμαι, πάντας εἰσφέρειν, ἂν πολλῶν δέῃ, πολλά, ἂν ὀλίγων, ὀλίγα. δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων [2] οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων. Λέγουσι δὲ καὶ ἄλλους τινὰς ἄλλοι πόρους, ὧν ἕλεσθε ὅς τις [3] ὑμῖν συμφέρειν δοκεῖ· καὶ ἕως ἐστὶ καιρός, ἀντιλάβεσθε τῶν πραγμάτων.

θʹ. Ἄξιον δὲ ἐνθυμηθῆναι καὶ λογίσασθαι τὰ πράγματα, ἐν ᾧ καθέστηκε νυνὶ [4] τὰ Φιλίππου. οὔτε γάρ, ὡς δοκεῖ καὶ φήσειέ τις ἂν μὴ σκοπῶν ἀκριβῶς, εὐτρεπῶς οὐδ' ὡς ἂν κάλλιστ' αὐτῷ τὰ παρόντ' [5] ἔχοι· οὔτ' ἂν ἐξήνεγκε τὸν πόλεμόν ποτε τοῦτον ἐκεῖνος, εἰ πολεμεῖν ᾠήθη δεήσειν αὐτόν, ἀλλ' ὡς ἐπιὼν ἅπαντα τότε ἤλπιζε τὰ πράγματα ἀναιρήσεσθαι, κᾆτα διέψευσται. τοῦτο δὴ πρῶτον αὐτὸν ταράττει παρὰ γνώμην γεγονός, καὶ πολλὴν ἀθυμίαν αὐτῷ παρέχει· εἶτα τὰ τῶν Θετταλῶν. ταῦτα γὰρ ἄπιστα μὲν ἦν δή που φύσει καὶ ἀεὶ πᾶσιν ἀνθρώποις κομιδῇ δ', ὥσπερ ἦν, καὶ ἔστι νῦν τούτῳ. καὶ γὰρ Παγασὰς ἀπαιτεῖν αὐτόν εἰσιν ἐψηφισμένοι καὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν, ἤκουον δ' ἔγωγέ τινων ὡς οὐδὲ τοὺς λιμένας καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρποῦσθαι· τὰ γὰρ κοινὰ τὰ Θετταλῶν ἀπὸ τούτων δέοι διοικεῖν, οὐ Φίλιππον λαμβά-

[1] πραγμάτων ταῦτα λαμβάνετε [2] οὐδέν ἐστι [3] ὑμῖν ἂν συμφέρειν δοκῇ [4] τὰ [τοῦ] Φιλίππου [5] ἔχῃ

Exstat hujus argumenti tota oratio περὶ συντάξεως, ubi de hoc vocabulo plura dicturi sumus. Wolf.

Πολλῶν] Scilicet χρημάτων. Recenset Plutarchus Crobyli dictum, ὅτι ὁ πόλεμος τεταγμένα οὐ σιτεῖται: *bellum demenso non pasci.* et Thucydides: ὅτι ὁ πόλεμος ἥκιστα ἐπὶ ῥητοῖς προχωρεῖ. id est, incertos esse bellorum eventus, vel, ut Livius loquitur, *eventus nusquam minus respondere, quam in bellis.* Idem.

θʹ. Τὰ τῶν Θετταλῶν] Ulpianus hic argutias quærit. sed ut dicimus, τὰ τῆς δικαιοσύνης, pro *justitia:* sic etiam τὰ τῶν Θεσσαλῶν, dici puto pro *Thessalis.* Idem.

Τὰ τῶν Θετταλῶν] Id est, οἱ Θετταλοί. Sic infrà. §. ί. τὰ τῶν Ὀλυνθίων, pro οἱ Ὀλύνθιοι. Auger.

Ταῦτα γὰρ] Id est οὗτοι οἱ Θεσσαλοί. Idem.

Ταῦτα γὰρ ἄπιστα μὲν ἦν] Thessalorum fluxa fides sæpius notata etiam in proverbium cessit. [Noster contra Aristocratem, (p. 743. Wolf.) ὑμεῖς μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδένα προὐδώκατε πώποτε τῶν φίλων· Θετταλοὶ δὲ οὐδένα πώποθ' ὅντινα οὔ. Duo protulit exempla istius perfidiæ Lacchesinius. Mardonio ac Persis duces fuerunt, in Atticam invadentibus; et (2.) ingenti prælio apud Tanagram Bœotiæ commisso, Thessali, Atheniensibus relictis, in Lacedæmoniorum transierunt partes, teste Thucyd. l. 1. S.] *Ex edit.* Stock.

Ταῦτα γὰρ ἄπιστα μὲν ἦν δήπου φύσει] Θεσσαλὸν σόφισμα, *Thessalum commentum;* et Θεσσαλὸν νόμισμα pro *adulterina pecunia.* Ab Aristophane in Plut. ver. 521. etiam ἀνδραποδισταὶ appellantur. Vide *Schol.* ad voces καὶ γὰρ Παγασὰς, et Schol. ad Eurip. Phœniss. ver. 1422. Mount.

νειν. [1] εἰ δὲ τούτων ἀποστερηθήσεται τῶν χρημάτων, [2] ἐς στενὸν κομιδῇ τὰ τῆς τροφῆς τοῖς ξένοις αὐτῷ καταστήσεται. ἀλλὰ μὴν τόν γε Παίονα καὶ τὸν Ἰλλυριὸν καὶ ἁπλῶς τούτους ἅπαντας ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους ἢ δούλους εἶναι· καὶ γὰρ ἀήθεις τοῦ κατακούειν τινός εἰσι, καὶ [3] ἄνθρωπος ὑβριστής, ὥς φασι. καὶ μὰ Δί' οὐδὲν ἄπιστον ἴσως· τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις [4] γίγνεται, διόπερ πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον εἶναι. Δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἀκαιρίαν τὴν ἐκείνου καιρὸν ὑμέτερον νομίσαντας ἑτοίμως συνάρασθαι τὰ πράγματα, καὶ πρεσβευομένους ἐφ' ἃ δεῖ καὶ στρατευομένους αὐτοὺς καὶ παροξύνοντας τοὺς ἄλλους ἅπαντας, [5] λογιζομένους, εἰ Φίλιππος λάβοι καθ' ἡμῶν τοιοῦτον καιρὸν καὶ πόλεμος γένοιτο πρὸς τῇ χώρᾳ, πῶς ἂν αὐτὸν οἴεσθε ἑτοίμως ἐφ' ὑμᾶς ἐλθεῖν; εἶτ' οὐκ αἰσχύνεσθε εἰ μηδ' ἃ πάθοιτ' ἄν, εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ τολμήσετε;

ι. Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μηδὲ τοῦθ' ὑμᾶς λανθανέτω, ὅτι νῦν αἵρεσίς ἐστιν ὑμῖν, [6] πότερ' ὑμᾶς ἐκεῖ

[1] ἂν δὲ τούτων ἀποστερηθῇ [2] εἰς [3] ἄνθρωπος [4] γίνεται
[5] λογιζομένους [ὡς] [6] πότερον

Τούτους ἅπαντας] Scilicet τοὺς ὑπὸ Φίλιππον ὄντας καὶ δεδουλωμένους. Wolf.

Παρὰ τὴν ἀξίαν] Ἄξιος, α, ον, *dignus, a, um.* ἡ ἀξία substantive, *dignitas, pretium, meritum.* κατ' ἀξίαν, id est, ἀξίως, *pro dignitate.* ὑπὲρ τὴν ἀξίαν, *supra dignitatem.* παρ' ἀξίαν, *contra dignitatem.* Significat igitur, Philippum ob improbitatem indignum esse tantis successibus. In β' (ά.) ὀλυνθ. οἱ παρὰ τὴν ἀξίαν αὐτῶν δεδουλωμένοι θετταλοί. Quos, cum hic perfidos vocet, ibi tamen Philippo anteponit. Atque hæc vulgaris expositio vocabuli est: sed mihi nescio quomodo interdum non tam dignitatem, quam aliquid, quod modum et consuetudinem excedit, significare videtur. ut, τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν, sit *immodica et inusitata felicitas,* παράλογος εὐτυχία, quam ipse etiam Philippus apud Lucianum sibi tribuit, his verbis: τῇ παραδόξῳ ῥοπῇ τῆς τύχης τῇ πολλὰ πολλάκις ἡμῖν συνειργασμένῃ κεκρατήκαμεν. Pausanias item in Messeniacis: πεφύκασι δέ πως οἱ ἄνθρωποι μάλιστ' ἔχειν ἀκρατῶς πρὸς τὰ παρ' ἀξίαν: hoc est (ut ego quidem interpretor: qui volet, transferat aliter) *Natura enim ita fert, ut ea maxime commoveant homines, quæ ab usitata ratione recedunt.* Idem.

Τὴν ἀκαιρίαν, τὴν ἐκείνου] Τοῦ φιλίππου. Quæ autem est illa ἀκαιρία? Bellum Olynthiorum, Thessalorum perfidia, Barbari studentes novis rebus, quorum fidem lubricam etiam Alexander initio regni est expertus. Vide Arrianum libro 1. Idem.

Καιρὸν ἡμέτερον νομίσαντας] Sic Plancus ad Ciceronem: "Interim maximam hic sollicitudinem curamque sustineo: ne, inter aliena vitia, hæ gentes (*Gallia citerior et ulterior*) nostra mala suam putent occasionem." Idem.

Ἑτοίμως συνάρασθαι τὰ πράγματα] Id est, συνεπιλαμβάνεσθαι, συναιρεῖσθαι, *simul cum aliis suscipere,* in commune consulere de opprimendo Philippo in articulo. Vel, ut interpres (Ulpianus) σὺν τῇ τύχῃ ἀγωνίζεσθαι, *fortunæ sese danti instare.* Prior tamen interpretatio ex usu est autorum. Bud. *Ex edit.* Wolf.

χρὴ πολεμεῖν ἢ παρ' ὑμῖν ἐκεῖνον. ἐὰν μὲν γὰρ ἀντέχῃ τὰ τῶν Ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε καὶ τὴν ἐκείνου κακῶς ποιήσετε, τὴν ὑπάρχουσαν καὶ τὴν οἰκείαν ταύτην ἀδεῶς καρπούμενοι· ἂν δ' ἐκεῖνα Φίλιππος λάβῃ, τίς αὐτὸν ἔτι κωλύσει δεῦρο βαδίζειν; Θηβαῖοι; μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, καὶ συνεισβαλοῦσιν ἑτοίμως. ἀλλὰ Φωκεῖς; οἱ τὴν οἰκείαν οὐχ οἷοί τε ὄντες φυλάττειν, ἐὰν μὴ βοηθήσηθ' ὑμεῖς. ἢ ἄλλος τις; Ἀλλ' ὦ τᾶν οὐχὶ βουλήσεται. Τῶν ἀτοπωτάτων μέντ' ἂν εἴη, εἰ ἃ νῦν ἄνοιαν ὀφλισκάνων ὅμως ἐκλαλεῖ, ταῦτα δυνηθεὶς μὴ πράξει. Ἀλλὰ μὴν ἡλίκα γ' ἐστὶ τὰ διάφορα ἐνθάδε ἢ ἐκεῖ πολεμεῖν, οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι. εἰ γὰρ ὑμᾶς δεήσειεν αὐτοὺς τριάκοντα ἡμέρας μόνας ἔξω γενέσθαι, καὶ ὅσα ἀνάγκη στρατοπέδῳ χρωμένους τῶν ἐκ τῆς χώρας λαμβάνειν, μηδενὸς ὄντος ἐν αὐτῇ πολεμίου λέγω, πλέον ἂν [1] οἶμαι ζημιωθῆναι τοὺς γεωργοῦντας ὑμῶν ἢ ὅσα εἰς ἅπαντα τὸν πρὸ τοῦ πόλεμον δεδαπάνησθε. εἰ δὲ δὴ καὶ πόλεμός τις ἥξει, πόσα χρὴ νομίσαι ζημιωθήσεσθαι! καὶ [2] προσέσθ' ἡ ὕβρις

[1] οἴομαι [2] πρόσεσθ'

l. Ἂν δ' ἐκεῖνα] Scilicet τὰ ἐπὶ Θρᾴκης, τὴν ὄλυνθον. Wolf.

Μὴ ᾖ] *Ne sit, ne videatur.* petit veniam libertati orationis. Idem.

Θηβαῖοι; μὴ λίαν πικρὸν] Thebanorum in Athenienses odii causas jam assignavimus. Vid. Not. Olynth. β' (γ'). §. δ'. Stock.

Ἀλλὰ Φωκεῖς;] Per longum tempus re male gesta in bello sacro, quod necdum erat finitum, Phocenses valde fuerunt debilitati. Philomelus et Onomarchus ipsorum duces infeliciter perierant. Phayllus, et post hunc Phalecus, fortuna non magis secunda utebantur. Adeo ut Phocenses non succumbere non potuissent, nisi iis Lacedæmonii et Athenienses auxilia identidem misissent. *Ex edit.* Stock.

Οἱ τὴν] Brevitate utitur. Sententia clara est, sed verba sic absolvi possunt: πῶς ἂν τὴν ἀττικὴν φυλάξωσι; *Atticam quo pacto tuebuntur?* Wolf.

Ἢ ἄλλος τις;] Thessalos tacuit, quia eos a Philippo alienos esse jam ostendit; et in Atheniensium amicitiam idcirco propensiores videri poterant. *Ex edit.* Stock.

Ἔξω] Scilicet τῆς πόλεως, οὐχὶ δ' ἐν μακεδονίᾳ. Wolf.

Καὶ ὅσα] Verba sic ordina: καὶ λαμβάνειν τῶν ἐκ τῆς χώρας, ὅσα ἀνάγκη (scilicet ἐστὶ λαμβάνειν) χρωμένους στρατοπέδῳ. id est, τούτους οἷ χρῶνται· ὅπως λαμβάνωσιν οἱ χρώμενοι. Nulla mihi esse causa videtur, cur χρωμένοις dativum per οι scribas, pro χρωμένους accusativo per ου. Idem.

Τῶν ἐκ τῆς χώρας] Articulus elegantiæ causa accedit, et genitivus partem significat: hostes non τῶν, sed τὰ ἐκ τῆς χώρας rapiunt. Idem.

Ὑμῶν] Legitur et ἡμῶν per η. quæ permutatio frequentissima cum sit, ex sententia facile plerumque dijudicari potest. Idem.

Πρὸ τοῦ] Πρὸ τούτου, Amphipolitanum. in quod, autore Ulpiano, 1200. talenta sunt impensa. Idem.

Τὸν πρὸ τοῦ πόλεμον] Bellum, scilicet, in Thracia factum de Amphipoli recuperanda: quod Æschines, in oratione de falsa legatione, 1500 talentis constitisse ait. *Ex edit.* Stock.

Καὶ προσέσται] Aldus πρόσεσθ' sine καὶ legit. ac omitti καὶ, mihi non displicet: malim tamen προσέσται futurum, quam πρόσεστί præsens. Wolf.

Ἡ ὕβρις] Scilicet ἡ τῶν πολεμίων, *protervitas* et *petulantia* illa militaris: ὕβριν

καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσι.

ιά. Πάντα δὴ ταῦτα δεῖ συνιδόντας ἅπαντας βοηθεῖν καὶ ἀπωθεῖν ἐκεῖσε τὸν πόλεμον, τοὺς μὲν εὐπόρους, ἵν' ὑπὲρ τῶν πολλῶν ὧν καλῶς ποιοῦντες ἔχουσι μικρὰ ἀναλίσκοντες τὰ λοιπὰ καρπῶνται ἀδεῶς, τοὺς δ' ἐν ἡλικίᾳ, ἵνα τὴν τοῦ πολεμεῖν ἐμπειρίαν ἐν τῇ Φιλίππου χώρᾳ κτησάμενοι φοβεροὶ φύλακες τῆς οἰκείας ἀκεραίου γένωνται, τοὺς δὲ λέγοντας, ἵν' αἱ τῶν πεπολιτευμένων αὐτοῖς εὔθυναι ῥᾴδιαι γένωνται, ὡς ὁποῖ' ἄττ' ἂν ὑμᾶς περιστῇ τὰ πράγματα, τοιοῦτοι κριταὶ καὶ τῶν πεπραγμένων αὐτοῖς ἔσεσθε. χρηστὰ δ' εἴη παντὸς εἵνεκα.

hic non significare *contumeliam, aut dedecus*, quod suscepturi sint Athenienses, vel ex Ulpiani *προλεγομένοις* intelligitur, cujus (ut nos quidem restituimus) hæc verba sunt: *τίνα δὲ ἐργάσονται οἱ πολέμιοι, καὶ ἀναγκαίως, καὶ ὑβρίζοντες, τὴν χώραν.* Idem in oratione *περὶ παραπρεσβείας*, ubi de Phocensium agitur excidio, *ἔχει δὲ*, inquit, *καὶ τῆς ὕβρεως τῶν πολεμίων ἔμφασιν. ἡ γὰρ κατασκαφὴ περιεργότερον εἶδος τῆς συμφορᾶς.* Idem.

Καὶ ἔτι] *Atque insuper rerum pudor*: id est, rei male gestæ atque ignaviæ et socordiæ dedecus: hoc jam ad Athenienses pertinet. *ὕβρις* est *τῶν ποιούντων, οὐχὶ δὲ τῶν ὑπομενόντων.* Idem.

ιά. Ἐκεῖσε] *Εἰς μακεδονίαν.* Idem.

Καλῶς ποιοῦντες] *Bene facientes.* Ego hic non accipio pro *εὐτυχεῖν*, quod Latini nonnunquam dicunt *facillime agitare:* sed formulam esse puto, qua exprobrationis et invidentiæ suspicionem deprecetur: quasi dicat: Quas opes equidem eis non invideo: id quod paupercula plebecula facit, divitibus obtrectare solita: sine quorum ope tamen vivere non potest, tranquillo reipublicæ statu. Sic Cicero in Verrinis aliquoties, quum clari viri mentionem facit, hac parenthesi utitur: *Quem, ut ejus virtus meretur, honoris causa nomino.* Est interdum approbationis, ut apud Lucianum in laudatione Demosthenis: *καὶ καλῶς γε, ἔφη, ποιοῦσιν Ἀθηναῖοι, Χάρητα μὲν καὶ Διοπείθην καὶ Πρόξενον, καὶ τοιούτους τινὰς ἀποδεικνύντες στρατηγεῖν*: *Recte faciunt, qui duces creent.* Philippica quarta: *μετὰ ταῦθ' ἡ τύχη καλῶς ποιοῦσα, πολλὰ πεποίηκε τὰ κοινά.* Ibidem paulo post: *ἔρχονται μεθέξοντες τούτου, καὶ καλῶς ποιοῦσιν*: hoc est, *in quo nihil delinquunt.* Idem.

Καλῶς ποιοῦντες] Reddidi latine una cum Volfio, *benignitate deum;* sed cum eodem arbitror formulam esse qua exprobrationis et invidentiæ suspicionem orator deprecetur. Auger.

Περιστῇ] Sic Virgilius: *Nec quæ circumstent te deinde pericula cernis?* Wolf.

Παντὸς] Scilicet *ἀνθρώπου, τῶν πλουσίων, τῶν ἐν ἡλικίᾳ, τῶν λεγόντων.* Utinam divites liberaliter tributa conferant, adolescentes strenue militent, oratores rectissimo consilio meo non adversentur. Nam ut in exordio ad dicendum invitavit omnes, sic a contraria sententia dicenda nunc eosdem deterret. Idem.

Παντὸς εἵνεκα] *Μηδενὸς κωλύοντος καὶ ἐμποδὼν ὄντος, ἀλλὰ πάντων συμπροθυμουμένων.* Idem.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

ΜΗΚΥΝΟΜΕΝΟΥ τοῦ πολέμου τοῦ περὶ Ἀμφιπόλεως εἰρήνης ἐπεθύμησαν ὅ τε Φίλιππος καὶ οἱ Ἀθηναῖοι, οἱ μὲν Ἀθηναῖοι κακῶς ἐν τῷ πολέμῳ φερόμενοι, ὁ δὲ Φίλιππος βουλόμενος ἃ ὑπέσχετο Θετταλοῖς τε καὶ Θηβαίοις ἐπιτελέσαι. ὑπέσχετο δὲ τοῖς μὲν Θηβαίοις Ὀρχομενὸν παραδώσειν καὶ Κορώνειαν, πόλεις Βοιωτίας, ἀμφοτέροις δὲ τὸν Φωκικὸν καταλύσειν πόλεμον. τοῦτο δὲ ἦν ἀδύνατον αὐτῷ πολεμίων ὄντων Ἀθηναίων· καὶ γὰρ πρότερον βουληθεὶς εἰςβαλεῖν εἰς τὴν Φωκίδα τῶν Ἀθηναίων περιπλευσάντων ταῖς ναυσὶν εἰς τὰς καλουμένας Πύλας, ὑπ᾽ ἐνίων δὲ Θερμοπύλας, [1] ἀπεκρούσθη τῆς εἰσόδου. νῦν τοίνυν εἰρήνην ποιησάμενος πρὸς τοὺς Ἀθηναίους, μηδενὸς κωλύσαντος παρελθὼν εἴσω Πυλῶν, τὸ Φωκέων ἔθνος ἀνάστατον πεποίηκε καὶ τὴν Φωκέων ἐν τοῖς Ἀμφικτύοσι χώραν καὶ τὰς ἐκείνων ἐν τῷ συνεδρίῳ ψήφους παρὰ τῶν ἄλλων Ἑλλήνων εἴληφε. πέπομφε δὲ καὶ πρὸς Ἀθηναίους πρέσβεις, ἀξιῶν καὶ αὐτοὺς ταῦτα συγχωρεῖν. καὶ ὁ Δημοσθένης παραινεῖ συγχωρεῖν, οὐ τῷ πράγματι συνιστάμενος ὡς ὀρθῶς ἔχοντι, οὐδὲ δίκαιον εἶναι λέγων μετέχειν Ἑλληνικοῦ συνεδρίου τὸν Μακεδόνα, ἀλλὰ δεδιέναι φάσκων μὴ καταναγκασθῶσι κοινὸν πόλεμον πρὸς ἅπαντας τοὺς Ἕλληνας ἔχειν. προσκεκρουκέναι γὰρ λέγει τοῖς Ἀθηναίοις ἄλλους δι᾽ ἄλλας τινὰς αἰτίας, τούτους [2] δὴ κοινῇ πολεμήσειν αὐτοῖς· δώσομεν, φησί, κοινὴν αἰτίαν ταύτην καθ᾽ ἡμῶν, ὅτι μόνοι τοῖς τῶν Ἀμφικτυόνων ἐνιστάμεθα δόγμασιν, ὥστε κάλλιον τὴν εἰρήνην τηρεῖν, καὶ ταῦτα Φιλίππου παρεληλυθότος εἴσω Πυλῶν καὶ ἐπελθεῖν δυναμένου τῇ Ἀττικῇ, ἢ περὶ μικροῦ τηλικοῦτον κίνδυνον ἄρασθαι.

Οὗτος δὲ ὁ λόγος παρεσκευάσθη μέν, οὐ μὴν εἰρῆσθαί μοι δοκεῖ. κατηγορῶν γὰρ ὁ ῥήτωρ Αἰσχίνου καὶ τοῦτο μετὰ τῶν ἄλλων αὐτοῦ διαβάλλει, ὅτι συνεβούλευε Φίλιππον Ἀμφικτύονα εἶναι ψηφίσασθαι μηδενὸς ἄλλου τολμῶντος τοῦτο εἰσηγήσασθαι, μηδὲ Φιλοκράτους τοῦ

[1] ἀπεκωλύθη

[2] δὲ

Καὶ τὴν τῶν Φωκέων ἐν Ἀμφικτύοσι χώραν] Qui locus præcipuus fuit; habebant enim Phocenses prærogativam oraculi, τὴν προμαντείαν, et bina in Amphictyonum conventu suffragia. Quapropter non dubitabant, inquit idem Diodorus, [XVI, 23.] illud in se decretum Amphictyonum rescindere: αὐτοὺς γὰρ τὸ παλαιὸν τοῦ μαντείου τὴν ἐξουσίαν καὶ προστασίαν ἐσχηκέναι. Quod Homeri testimonio firmabat in Catalogo navium [Iliad. II, 517. 519.]:

Αὐτὰρ Φωκήων Σχέδιος καὶ Ἐπίστροφος ἦρχον,
Οἳ Κυπάρισσον ἔχον, Πυθῶνά τε πετρήεσσαν.

Pytho civitas est, Delphi cives. Ut Messanæ in Sicilia cives non Messenii dicebantur, sed Mamertini. χώρα non est hic *regio*, sed *locus*, ut κατὰ χώραν μένειν, et ἐᾶν κατὰ χώραν: *Suo loco manere, et loco non movere.* Sic etiam Latini loquuntur. Livius [lib. 9. c. 30.] *tribuni militum a populo seni deni crearentur, quæ antea perquam paucis suffragio populi relictis locis, dictatorum et consulum ferme erant beneficia.* Est igitur χώρα, *locus dignitatis*, et *gradus*. Dounæus.

Προσκεκρουκέναι γὰρ λέγει τοῖς Ἀθηναίοις] *Offendisse apud Athenienses.* προσκρούειν, *offensionem alicujus incurrere.* M. Tullius [pro P. Sextio. c. 49.] *temporibus illis, qui populares erant, offendebant illi quidem apud graves et honestos homines: sed populi judiciis atque omni significatione florebant.* Significationem vocat τὴν ἐπισημασίαν, sequitur enim, *his in theatro plaudebatur.* Dem. [contra Timocratem p. 711. ed. Reisk.] ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ πονηρῷ, καὶ φιλαπεχθήμονι, καὶ θεοῖς ἐχθρῷ, ᾧ τελευτῶσα προσέκρουσεν ἡ πόλις ὅλη. *Ego offensus sum homini improbo, atque inimicitiarum appetenti.* προσκρούειν, *in hominem offendere*: προσκόπτειν, *in lapidem.* Idem.

Πολεμήσειν αὐτοὺς] Lego αὐτοῖς, scilicet ἀθηναίοις. πολεμεῖν τινι, *bellum cum aliquo gerere*: ἐκπολεμοῦν τινά τινι, *aliquem ad bellum alicui faciendum concitare.* Wolf.

Οὗτος δὲ ὁ λόγος παρεσκευάσθη μὲν] M. παρεσκευᾶσθαι, ἀπαρεμφάτου παρῳχημένου. Idem.

Φιλοκράτους] De Philocrate Eleusinio, Æschinis amico et adjutore pacis, cf. Demosth. de f. leg. p. 405. Reisk. Plut. Demosth. c. 16. De Philippi autem loco inter Amphictyonas v. quæ Wesseling. ad Diod. S. II. p. 129. notavit. Beck.

πάντων ἀναιδεστάτου. οὐκ ἂν οὖν αὐτὸς περὶ τούτων συμβεβουλευκὼς τὸν Αἰσχίνην ἐπ' αὐτοῖς διέβαλλεν, ἀλλὰ [1] δῆλον ὅτι τὴν ὑπόνοιαν ἔδεισε, μὴ δόξῃ φιλιππίζειν καὶ χρήμασιν ὑπὸ τοῦ βασιλέως πεισθεὶς τοιαύτην γνώμην ἀποφήνασθαι, ἐπεὶ καὶ ἐν τῷ λόγῳ πρὸς τοιαύτην τινὰ ὑπόνοιαν ἱστάμενος φαίνεται, συνιστὰς ἑαυτὸν ὡς εὔνουν τῇ πόλει καὶ ἀδωροδόκητον

[1] δηλονότι

Καὶ μὴ δόξῃ φιλιππίζειν] Demosthenem φιλιππίζειν? Quis hoc credat? Ante medius fidius ipse Apollo Pythius ἐφιλίππισεν ἄν: de quo Cicero [de divinat. II. c. 57.] *Demosthenes quidem, qui abhinc annos prope CCC. fuit, jam* φιλιππίζειν *Pythiam dicebat, id est, quasi cum Philippo facere* (hinc *factiones* dicimus.) Sic μηδίζειν, ἀττικίζειν, λακωνίζειν, Persico et Peloponnesiaco bellis. Plutarchus in vita dixit δημοσθενίζειν pro eo quod est *Demostheni studere.* Dounæus.

Καὶ ἀδωροδόκητον] Δωροδοκεῖν, *munera accipere*, δῶρα δέχεσθαι. Sed χ in κ mutatur ἰωνικῶς. Ut καπνοδόκη, ἱστοδόκη, ἰοδόκη, *pharetra.* πανδοκεῖον, πανδοκεὺς, *stabulum, stabularius.* Sic δωροδόκος, *qui munera accipit,* ἀδωροδόκητος, *integer, nulla largitione corruptus,* δωροδοκία, nonnunquam non *munerum acceptio*, sed *ipsa largitio*, seu *corruptela.* Diodorus [Lib. 16. c. 33. T. II. 107. ed. Wessel.] καὶ γὰρ τοὺς Θετταλοὺς, μέγιστον ἔχοντας τῶν συμμάχων ἀξίωμα, δωροδοκήσας ἔπεισε τὴν ἡσυχίαν ἔχειν. Idem.

Ο ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

Ol. 103, 3.

α΄. ῾ΟΡΩ͂ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ παρόντα πράγματα πολλὴν δυσκολίαν ἔχοντα καὶ ταραχήν, οὐ μόνον τῷ πολλὰ προεῖσθαι καὶ μηδὲν εἶναι προὔργου περὶ αὐτῶν εὖ λέγειν, ἀλλὰ καὶ τῷ περὶ τῶν ὑπολοίπων κατὰ ταὐτὰ μηδὲ καθ᾽ ἓν τὸ συμφέρον πάντας ἡγεῖσθαι, ἀλλὰ τοῖς μὲν ὡδί, τοῖς δὲ ἑτέρως δοκεῖν· δυσκόλου δ᾽ ὄντος φύσει καὶ χαλεποῦ τοῦ βουλεύεσθαι ἔτι πολλῷ χαλεπώτερον ὑμεῖς αὐτὸ πεποιήκατε, ὦ ἄνδρες Ἀθηναῖοι. οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι, ὑμεῖς δὲ μετὰ τὰ πράγματα. ἐκ δὲ τούτου συμβαίνει παρὰ πάντα τὸν χρόνον, ὃν οἶδ᾽ ἐγώ, τὸν μὲν οἷς ἂν ἁμάρτητε ἐπιτιμῶντα εὐδοκιμεῖν καὶ δοκεῖν εὖ λέγειν,

῾Ορῶ μὲν, &c.] Solent Oratores initio dicendi, quo majorem sibi favorem concilient, duras partes suas prædicare, et causæ, quam agunt, demonstrare difficultatem. Favent enim omnes atque succurrunt laborantibus, gravi defatigatos onere sublevant. Tale est exordium Ciceronis pro P. Quinctio. [c. 1.] Tale est et pro Corona Demosthenis procemium : sic Sallustius quoque exorsus est ad Cæsarem [de constituenda rep. epist. II.] *Scio ego, quam difficile atque asperum factu sit, consilium dare regi, aut imperatori, postremo cuiquam mortali, cujus opes in excelso sunt. Quippe cum et illis consultorum copiæ adsint, neque de futuro quisquam satis callidus satisque prudens sit. Quinetiam sæpe prava magis, quam bona, consilia prospere eveniunt, quia plerasque res fortuna ex libidine sua agitat.* Dounæus.

Κατὰ ταὐτὰ ἡγεῖσθαι] ῾Ομογνωμονεῖν, συμψήφους εἶναι, *consentire de eo, quod futurum sit e republica.* Wolf.

Κατὰ ταὐτὰ μηδὲ καθ᾽ ἓν] Intellige quasi legeretur μὴ κατὰ ταὐτὰ μηδὲ καθ᾽ ἕν. Κατὰ ταὐτὰ, *secundum eadem, i. e.* eodem animo. Auger.

Οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι, &c.] Hæc eadem habentur totidem verbis Philippica, iv. §. ή. Sallustius [cont. Cat. proœm.] *Sed diu magnum inter mortales certamen fuit, vine corporis an virtute animi res militares magis procederet. Nam et prius quam incipias consulto, et ubi consulueris mature facto opus est.* Hinc nos vertimus πρὸ τῶν πραγμάτων, *ante quam incipiunt.* ὑμεῖς δὲ μετὰ τὰ πράγματα. si facta consiliis posteriora sunt ordine, absurdum est post facta consilium capere. Quod enim factum est, infectum fieri non potest. Et ne agendi quidem hoc tempus est, nedum consulendi. Bene enim apud Platonem Crito [in Crit. c. 5. extr. Fisch.] ἀλλὰ βουλεύου. μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. Hic τὸ ἔτι significat ἀκμήν. Thucydides [Lib. 1. c. 78.] ἰόντες τε οἱ ἄνθρωποι εἰς τοὺς πολέμους, τῶν ἔργων πρότερον ἔχονται, ἃ χρῆν ὕστερον δρᾶν. κακοπαθοῦντες δὲ ἤδη, τῶν λόγων ἅπτονται. Hæc Thucydides, quæ videtur Demosthenes, ut multa hujus auctoris, imitatus. Dounæus.

Εὐδοκιμεῖν] *Bene audire, plausum referre* post disertam orationem habitam, aut rem bene gestam, quod etiam εὐημερεῖν dicitur. Plato [de rep. 1. p. 151. s. T. VI. Bip.], ἀλλὰ τὸ τοῦ Θεμιστοκλέους εὖ ἔχει, ὃς τῷ Σεριφίῳ λοιδορουμένῳ καὶ λέγοντι, ὅτι οὐ δι᾽ αὐτὸν, ἀλλὰ διὰ τὴν πόλιν εὐδοκιμοῖ, ἀπεκρίνατο, ὅτι οὔτ᾽ ἂν αὐτὸς Σερίφιος ὢν ὀνόμαστος

τὰ δὲ πράγματα καὶ περὶ ὧν βουλεύεσθε ἐκφεύγειν ὑμᾶς. οὐ μὴν ἀλλὰ καί περ τούτων οὕτως ἐχόντων οἴομαι καὶ πεπεικὼς ἐμαυτὸν ἀνέστηκα, ἂν ἐθελήσητε τοῦ θορυβεῖν καὶ φιλονεικεῖν ἀποστάντες ἀκούειν, ὡς ὑπὲρ πόλεως βουλευομένοις καὶ τηλικούτων πραγμάτων προσήκει, ἕξειν καὶ λέγειν καὶ συμβουλεύειν δι' ὧν καὶ τὰ παρόντα ἔσται βελτίω καὶ τὰ προειμένα σωθήσεται.

β'. Ἀκριβῶς δὲ εἰδώς, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ λέγειν περὶ ὧν αὐτὸς εἶπέ τις καὶ περὶ αὑτοῦ παρ' ὑμῖν ἀεὶ τῶν πάνυ λυσιτελούντων τοῖς τολμῶσιν ὄν, οὕτως ἡγοῦμαι φορτικὸν καὶ ἐπαχθές, ὥστε ἀνάγκην οὖσαν ὁρῶν ὅμως ἀποκνῶ. νομίζω δ' ἄμεινον ἂν ὑμᾶς περὶ ὧν νῦν ἐρῶ κρῖναι, μικρὰ τῶν πρότερόν ποτε ῥηθέντων ὑπ' ἐμοῦ μνημονεύσαντας. Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, πρῶτον μέν, ἡνίκ' ἔπειθόν τινες ὑμᾶς τῶν ἐν Εὐβοίᾳ πραγμάτων ταραττομένων

ἐγένετο, οὔτ' ἐκεῖνος Ἀθηναῖος. Cic. vertit [de senectute, c. 3.] *Ut Themistocles fertur Seriphio cuidam in jurgio respondisse, cum ille dixisset, non eum sua, sed patriæ gloria splendorem assequutum, Nec hercule, inquit, si ego Seriphius essem, nobilis, nec tu si Atheniensis esses, clarus unquam fuisses.* Vertit διὰ τὴν πόλιν εὐδοκιμεῖν, *patriæ gloriæ splendorem assequi.* Inest etiam gloria in significatione verbi. ἀπὸ τοῦ δοκεῖν, unde δόξα, δόκιμος, εὐδόκιμος, *probus, bene probatus.* Itaque addit noster ἐξηγητικῶς, καὶ δοκεῖν εὖ λέγειν. IDEM.

Τὰ δὲ πράγματα, καὶ περὶ ὧν βουλεύεσθε] Ὁ καὶ σύνδεσμος παρέλκοντι ἔοικεν. WOLF.

Καὶ τὰ προειμένα σωθήσεται] Plus pollicetur, quam præstat. Nam de recuperandis amissis nihil dicit: tantum bellum Amphictyonicum caveri jubet. IDEM.

β'. Ἀκριβῶς δὲ] Περιαυτολογίαι alioqui odiosæ sunt, sed hic perstringit arrogantes ac turbulentos oratores, quos Atheniensibus esse gratos, etiam alibi queritur, suamque modestiam commendat. IDEM.

Τῶν πάνυ λυσιτελούντων] Si illi faciunt hoc cum aliquo suo compendio, dabitis veniam mihi, si id ego faciam nullo meo, sed vestro commodo. Nihil est enim, quod sperem a vobis propter hoc ipsum amplius. τὸ λυσιτελοῦν autem est gratia, quam inibant apud populum, et beneficia ex gratia. Porro λυσιτελεῖν aliquid dicitur proprie, cum fructus æquat, aut etiam superat sumptum, et commodum pensat impensam: aut ubi compendium majus est impendio. τέλος enim δαπάνη, *sumptus,* et τελεῖν, δαπανᾶν, *sumptum facere.* Unde est πολυτελὴς, *sumptuosus,* et εὐτελὴς, *nullius pretii.* λύειν, *luere, solvere.* DOUNÆUS.

Τοῖς τολμῶσιν] Quasi non omnes id auderent, ac ne multi quidem: nullus denique non audacia singulari præditus. καὶ τοῦτό μοι δοκεῖ λέγειν ἀποτεινόμενος πρὸς Αἰσχίνην· ὃς ἐκ Μακεδονίας ἐπανελθὼν ἀπὸ τῆς πρεσβείας, μακροὺς διεξῆλθεν ἐν τῷ δήμῳ πρὸς τὸν Φίλιππον εἰρημένους αὐτῷ ὑπὲρ Ἀμφιπόλεως λόγους, ut ipse jactat φιλοτιμούμενος ἐν τῇ ἀπολογίᾳ τῆς παραπρεσβείας, sæpe hac arte promeritus populum. IDEM.

Ὂν] Pro εἶναι. Ὂν τῶν πάνυ λυσιτελούντων, *esse eorum quæ sunt omnino utilia,* id est, esse maxime utile apud vos iis qui audent. AUGER.

Οὕτως ἡγοῦμαι φορτικὸν καὶ ἐπαχθὲς] Hæc duo nomina, quæ sæpe ut συνώνυμα copulantur, Seneca ad verbum expressit [de beneficiis II. c. 2.] *Molestum verbum est, onerosum, et demisso vultu dicendum, Rogo.* φορτίον enim *onus,* ἐπαχθὲς *molestum.* ἄχθομαι, *moleste fero.* Dem. [pro Corona §. β'.] τοῖς ἐπαινοῦσι δ' ἑαυτοὺς ἄχθεσθαι. DOUNÆUS.

Τῶν ἐν εὐβοίᾳ ταραττομένων πραγμάτων] Vide τοὺς ἀντιπάλους λόγους de expeditione Atheniensium in Eubœam. WOLF.

Τῶν ἐν Εὐβοίᾳ πραγμάτων ταραττομένων] Incidunt hæ dissensiones Eubœënsium et turbæ in Olymp. CV. a. 3. v. Diod. Sic. XVI. 7. ibique Wessel. p. 87. qui alia laudat loca, quibus Demosth. auxilium illis missum memorat. BECK.

Ταραττομένων] Proprie dicitur hoc

βοηθεῖν Πλουτάρχῳ καὶ πόλεμον ἄδοξον καὶ δαπανηρὸν ἄρασθαι, πρῶτος καὶ μόνος παρελθὼν ἀντεῖπον καὶ μόνον οὐ διεσπάσθην ὑπὸ τῶν ἐπὶ μικροῖς λήμμασι πολλὰ καὶ μεγάλα ὑμᾶς ἁμαρτάνειν πεισάντων. καὶ χρόνου βραχέος διελθόντος μετὰ τοῦ προσόφλειν αἰσχύνην καὶ παθεῖν οἷα τῶν ὄντων ἀνθρώπων οὐδένες πώποτε πεπόνθασιν ὑπὸ τούτων οἷς ἐβοήθησαν, πάντες ὑμεῖς ἔγνωτε τήν τε τῶν ταῦτα πεισάντων κακίαν καὶ τὸν τὰ βέλτιστα εἰρηκότα ἐμέ.

verbum de aqua limo turbida. Joannes [Evang. V. 4.], Aristophanes [Equitibus v. 860. ss.]:

Ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι, πέπονθας.
Ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδὲν,
Ὅταν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
Αἱροῦσι, καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.

Quod iis, qui captant anguillas, hoc tibi usu venit &c. Vides opponi ταράττειν καὶ καταστῆναι. τὸ κυκᾶν καὶ ταράττειν, *miscere, turbare*, verba sunt συνώνυμα. DOUNÆUS.

Βοηθεῖν Πλουτάρχῳ, &c.] Plutarchus ille Eretriæ tyrannus, (nobilis in Eubœa civitatis) contra conatus quosdam Philippi, qui in hac insula turbas jamdudum excitarat, Atheniensium auxilium petierat. Dein vero partibus Philippi, ut videtur, conciliatus, arma in eos vertit, qui opem laturi venerant. At dux horum Phocion, hac perfidia minime perterritus, Macedonas prælio devicit, et Plutarchum insula ejecit. Molossus in ejus locum suffectus, superatus a Philippo, et captus fuit. Et sub hoc tempus, insula fere tota in Philippi ditionem videtur devenisse. *Ex edit.* STOCK.

Βοηθεῖν Πλουτάρχῳ] Historia est apud Plutarchum in Phocione [c. 12. p. 313. T. IV. R.], nusquam, opinor, clarius exposita. Meminit hujus expeditionis Æschines quoque contra Ctesiphontem §. λβ'. ἀλλ' ἐπειδὴ τάχιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ βοηθήσοντες, τοὺς μὲν πρώτους χρόνους ἀλλ' οὖν προσεποιοῦνθ' ὑμῖν εἶναι φίλοι, *primis temporibus saltem simulabant, se vobis esse amicos, nempe Chalcidenses.* DOUNÆUS.

Καὶ πόλεμον ἄδοξον καὶ δαπανηρὸν ἄρασθαι] Dissuasit hanc expeditionem Demosthenes, quia videbat et sumptus non parvi futuram, et præter dignitatem esse Atheniensium tyrannum tueri. Tyrannum enim fuisse Plutarchum, docent hæc Dem. [Philipp. III. §. ιβ'.] ἀλλ' ἐν Ἐρετρίᾳ, ἐπειδή γ' ἀπαλλαγέντος τοῦ Πλουτάρχου, καὶ τῶν ξένων, ὁ δῆμος εἶχε τὴν πόλιν, οἱ μὲν ἐφ' ἡμᾶς ἦγον τὰ πράγματα, οἱ δ' ἐπὶ Φίλιππον. Tyrannorum erat peregrinos milites contra cives alere. Porro ignominiosum bellum vocat, quia inde discessum est magno cum periculo exercitus, ut Æschines testatur, et simul quid turpius esse potuit, quam populum Atheniensem, qui semper Græcorum omnium libertatis assertor et vindex erat, νῦν ἀναφαίνεσθαι τοὺς τυράννους δορυφοροῦντα? Nam si vellent hoc bellum suscipere, debebant sibi Eubœam asserere, quam majores eorum habuissent, non sic inde expellere Philippum, ut sordidum tyrannum in maxima civitate illius insulæ relinquerent. Nulla autem hic Phocionis mentio, cujus auspiciis res illa gesta est, quia non admodum amicus fertur fuisse Demostheni. ἄδοξον ἀντὶ τοῦ κακόδοξον, *infame*, ut Lycophron [Cass. 102.] Helenam ἄνυμφον nuncupat, τουτέστι κακόνυμφον, *male nuptam*, aut *infelicem sponsam.* Apud Virg. [Æn. II. 23. IV. 8.] contra *male sanus, male fidus* pro eo quod est *insanus, infidus.* Sic Isocrates [περὶ τῆς εἰρήνης. p. 190. T. II. Aug.] dixit κακῶς εἰδότες ἀντὶ τοῦ ἀγνοοῦντες. Cicero vertit εὐδοξίαν *bonam famam*, ἀδοξίαν *infamiam.* IDEM.

Καὶ μονονοὺ διεσπάσθην] I. nisi quod non sum discerptus ab eis, cætera passus sum omnia: nihil aliud in me prætermiserunt ad summam injuriam. Sic apud Thucydidem ὅσονοὺ, ὁσονούπω. Dem. [Olynth. I. (III.) §. β'.] ὁ μὲν οὖν παρὼν καιρὸς λέγει, μονονουχὶ φωνὴν ἀφιεὶς, ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστί. IDEM.

Ἐπὶ μικροῖς λήμμασι] *Parva mercede vel lucro.* λῆμμα *a bribe, or fee.* παρὰ τὸ λαμβάνειν, quod est κατ' ἐξοχὴν καὶ ἰδίως, δωροδοκεῖν. Paulus [II. Cor. XI. 20.] Dem. [περὶ παραπρ.] οὕτως ὅλος ἦν πρὸς τῷ λήμματι, *tam penitus lucro fuit intentus.* IDEM.

Προσόφλειν] Cod. Obsop. προσοφείλειν. Hoc vero apud Atticos proprie ad debitum pertinet, illud ad judicium et mulctam. V. Intpp. Phrynichi p. 208. Tho. Mag. p. 666. s. BECK.

Πάλιν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτὴν τῷ μὲν τῆς τέχνης προσχήματι τυγχάνοντ' ἀδείας, κακὰ δ' ἐργαζόμενον τὰ μέγιστα τὴν πόλιν καὶ τὰ παρ' ὑμῖν διοικοῦντα Φιλίππῳ καὶ πρυτανεύοντα, παρελθὼν εἶπον εἰς ὑμᾶς, οὐδεμιᾶς [1]ἕνεκεν οὔτ' ἔχθρας οὔτε συκοφαντίας ἰδίας, ὡς ἐκ τῶν μετὰ ταῦτα ἔργων γέγονε δῆλον. καὶ οὐκέτ' ἐν τούτοις αἰτιάσομαι τοὺς ὑπὲρ Νεοπτολέμου λέγοντας — οὐδὲ εἷς γὰρ ἦν — ἀλλ' αὐτοὺς [2]ὑμᾶς· εἰ γὰρ ἐν Διονύσου τραγῳδοὺς ἐθεᾶσθε, ἀλλὰ μὴ περὶ σωτηρίας καὶ κοινῶν πραγμάτων ἦν ὁ λόγος, οὐκ ἂν οὕτως

[1] ἕνεκα

[2] ὑμᾶς αὐτούς

Νεοπτόλεμον τὸν ὑποκριτὴν] Hic et tragœdiarum scriptor nobilis fuit; etsi appellatione minus honorifica eum designet Orator. Quin et histriones summa apud Græcos gratia fuere, et ad reipublicæ munia sæpissime provecti. Hic ipse Neoptolemus e decem legatis erat, ad fœdus cum Philippo faciendum missis. *Ex edit.* STOCK.

Κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτὴν] Historia est in argumento τοῦ περὶ τῆς παραπρεσβείας Demosthenis, non Libanii, sed alterius cujusdam ἀνωνύμου. Quum enim, inquit, diu belligerassent Athenienses et Philippus περὶ τῆς Ἀμφιπόλεως, et uterque pacem cuperet, sed neuter præ pudore vellet petere, forte evenit tale quid. Aristodemus et Neoptolemus tragœdiarum actores erant. Hi propter artificium licentiam atque impunitatem habebant eundi quo vellent, vel ipsos ad hostes. Et quum in Macedoniam pervenissent, ἐπεδείξαντο τὴν οἰκείαν τέχνην. Quos tam comiter excepit rex, ut præter artificii quæstum, magnam insuper a se pecuniam adderet. Hac occasione arrepta Philippus, cum eos domum dimitteret, dixit, ὅτι φίλος εἰμὶ τοῖς Ἀθηναίοις. Quod quum illi ad suos renuntiassent uberius, et multa, ut fit, addidissent præterea, Philippum esse φιλέλληνα καὶ φιλαθηναῖον, humanissimum τῶν ὑπὸ τὸν ἥλιον, beneficentissimum, expetere amicitiam populi, velle, si detur occasio, civitati benefacere, et plura hujuscemodi, οὕτω διέθηκαν τὸν δῆμον, ut nihil magis quam pacem atque amicitiam regis cuperent. Tum Demosthenes, cui Philippus merito semper suspectus esset, et qui belli tuba, non pacis auctor omni tempore fuisset, ac fraudem aliquam subesse suspicaretur, monuit populum, ne levissimis auctoribus crederent, ne quid temere de re tanta statuerent: sed non est auditus. Quod illi magno dolori fuit, histriones audiri, se despici, cum saluberrimum consilium dedisset, ut ipse mox dicit. Æschines [περὶ παραπρ.] πέμπουσι πρεσβευτὴν Ἀριστόδημον τὸν ὑποκριτὴν πρὸς Φίλιππον διὰ τὴν γνῶσιν καὶ φιλανθρωπίαν τῆς τέχνης. *Ob notitiam et artis gratiam*, sic Hieronymus Wolfius: grata enim plerisque est histrionum ars. Æschines φιλανθρωπίαν, quod Demosthenes πρόσχημα. Nam quod humanitatem præ se fert, honestam habet speciem. Etsi nunc non valde honestum est, hanc artem factitare. DOUNÆUS.

Τῆς τέχνης] Accedebat impune ad Philippum, ut histrio, proditor cum esset: ac ibi edoctus, quid facto esset opus, curabat per oratores atque alios, ut Athenienses consilia sequerentur, tam suæ libertati perniciosa, quam regno Philippi amplificando opportuna. Quanta autem in gratia Philippi histriones et poetæ fuerint, e secunda (prima) Olynthiaca, et falsæ legationis oratione apparet. Pro τὰ παρ' ὑμῖν, malim τὰ παρ' ὑμῶν, quanquam parum interest. WOLF.

Οὐδὲ εἷς γὰρ ἦν] Accipi potest pro οὐδεὶς, id est, nemo defendit Neoptolemum, sed ipse causam suam egit; vel, plurimi fuerunt ejus defensores, id est, totus populus, vos ipsi eum defendistis. IDEM.

Οὐδὲ εἷς] Harl. οὐδεὶς, forma usitata. cf. Gregor. Cor. p. 22. Accipi vero verba non possunt in hunc sensum: *neque enim ullus fuit* (ut Auger. etiam reddidit), sed: *neque enim unus fuit*, h. e. plures fuerunt, qui pro eo dicerent. BECK.

Ἐν διονύσου] Scilicet ναῷ, *in Bacchi æde*, aut ἑορτῇ, *festo*, et sic ego verti. Nam ex oratione περὶ στεφάνου constat, in theatro actas fuisse tragœdias. WOLF.

οὔτ᾽ ἐκείνου πρὸς χάριν οὔτ᾽ ἐμοῦ πρὸς ἀπέχθειαν ἠκούσατε. καί τοι τοῦτό γε ὑμᾶς οἴομαι νῦν ἅπαντας ᾐσθῆσθαι, ὅτι τὴν τότ᾽ ἄφιξιν εἰς τοὺς πολεμίους ἐποιήσατο ὑπὲρ τοῦ τἀκεῖ χρήματ᾽ ὀφειλόμενα, ὡς ἔφη, κομίσας δεῦρο λειτουργεῖν· καὶ τούτῳ τῷ λόγῳ πλείστῳ χρησάμενος, ὡς δεινὸν εἴ τις ἐγκαλεῖ τοῖς ἐκεῖθεν ἐνθάδε τὰς εὐπορίας ἄγουσιν, ἐπειδὴ διὰ τὴν εἰρήνην ἀδείας ἔτυχεν, ἣν ἐνθάδ᾽ ἐκέκτητο οὐσίαν φανεράν, ταύτην ἐξαργυρίσας πρὸς ἐκεῖνον ἀπάγων ᾤχετο.

γ.´ Δύο μὲν δὴ ταῦτα ὧν προεῖπον ἐγώ, μαρτυρεῖ τοῖς τότε γεγενημένοις λόγοις, ὀρθῶς καὶ δικαίως, οἷά περ ἦν, ἀποφανθέντα ὑπ᾽ ἐμοῦ· τρίτον δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μόνον ἓν τοῦτ᾽ εἰπὼν ἔτι [1] καὶ δὴ περὶ ὧν παρελήλυθα

[1] δὴ καὶ

Ἠκούσατε] Verborum sententia non adeo est expedita. Redduntur a Dounæo ita: *qui si tragœdos in liberi patris spectassetis ac non de reip. salute ageretur, nequaquam sic vel illius grata atque jucunda, vel nostra vobis invisa oratio fuisset.* Eodem fere modo cæteri interpretes. Wolf. sententiam esse statuit: vos ita favistis histrioni proditori, ac perduellionis reo, ac si tragœdiam ageret, non capitis causam diceret, voluptatis studiosi cum pernicie reipublicæ; quæ quomodo ex verbis existeret, non vidi. Imo hoc sibi velle Dem. censui: non Neoptolemum, si tragœdiam agere vidissetis, tam libenter audissetis (malum scil. histrionem), quam eum audivistis de republ. dicentem, de qua me agentem male accepistis. Poterat sententia his verbis absolvi: *οὐκ ἂν οὕτως ἐκείνου πρὸς χάριν ἠκούσατε.* Opposuit se, ut levitas Athen. eo acrius notaretur. Beck.

Ὡς δεινὸν κ. τ. λ.] Hæc verba continent λόγον, *speciosam orationem*, qua plurimum utebatur Neoptolemus. δεινὸν autem non *mirum*, ut Doun. reddidit, sed *grave, iniquum*, est. Idem.

Οὐσίαν φανερὰν] Bona in duas species diviserunt Athenienses: *ἀφανὴς οὐσία, καὶ φανερά.* Hoc nomine vocabant agros, fundos, prædia; illo autem, nummos, mancipia, et similia. *Ex edit.* Stock.

Ἣν ἐκέκτητο φανερὰν οὐσίαν] Quicquid in fundis, pecore, aut mobilibus possederat. Quantum enim quisque nummorum servet in arca, nemo scit. Dem. [πρὸς Πολυκλέα.] *καὶ προσαπηνέχθη τοὔνομά μου ἐν τριττοῖς δήμοις, διὰ τὸ φανερὰν εἶναί μοι τὴν οὐσίαν. Delatum est nomen meum tribus in municipiis, eo quod, quam rem haberem, in oculis erat omnium.* Dounæus.

Ταύτην ἐξαργυρίσας] διαπεράσας. Thucydides alia conjugatione [VIII. 81.] *οὐδ᾽ ἣν τελευτῶντα τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρῶσαι. Neque licebat morienti suam vestem strangulam vendere.* Vel potius, *neque erat postremo vestem illam auctionari.* Isæus [de Dicæog. hæred. p. 116. T. VII. Oratt. Gr. Reisk.] *τὸν οἶκον σὺ τούτου παραλαβὼν, κακῶς καὶ αἰσχρῶς διολώλεκας, καὶ ἐξαργυρισάμενος πενίαν ὀδύρῃ. Cum hæres tu domum istius acceperas, flagitiose disperdidisti, et cum argento permutasses, deploras egestatem.* Idem.

Ἀπάγων] Aut active accipi potest, ut ad οὐσίαν referatur, aut ut neutrum pro ἀπιὼν, quod præfero. Nam non οὐσίαν, sed pecuniam inde redactam secum abstulit. Unde et Aug. vertit: *factamque pecuniam ad illum proficiscendo avexisse.* Beck.

γ´. Δύο μὲν δὴ ταῦτα κ. τ. λ.] Sic construo hanc phrasim, *δύο μὲν δὴ ταῦτα, ὧν προεῖπον ἐγὼ, ὀρθῶς καὶ δικαίως, οἷάπερ ἦν, ἀποφανθέντα ὑπ᾽ ἐμοῦ, μαρτυρεῖ τοῖς τότε γεγενημένοις λόγοις: hæc duo, ex his quæ ego dixi prius, recte et juste, qualia erant, a me enunciata, testantur in gratiam orationum tunc habitarum*, scilicet, a me. Auger.

Τοῖς λόγοις ἀποφανθέντα] Scilicet, τὰ πράγματα· *per eas orationes declarata esse negotia.* Wolf.

Καὶ δὴ περὶ ὧν παρελήλυθα, ἐρῶ] Budæus, καὶ δὴ significat *protinus, continuo, mox, ideo.* Dem. [de Corona. §. πδ´.] *δεινὸν καὶ γόητα καὶ σοφιστὴν ὀνομάζων ἐμέ· ὡς, ἐὰν πρό-*

ἐρῶ. ἡνίκα τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης ἀπειληφότες ἥκομεν οἱ πρέσβεις, τότε Θεσπιάς τινων καὶ Πλαταιὰς ὑπισχνουμένων οἰκισθήσεσθαι, καὶ τοὺς μὲν Φωκέας τὸν Φίλιππον, ἂν γένηται κύριος, σώσειν, τὴν δὲ Θηβαίων πόλιν διοικιεῖν, καὶ τὸν Ὠρωπὸν ὑμῖν ὑπάρξειν, καὶ τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ἀποδοθήσεσθαι, καὶ τοιαύτας ἐλπίδας καὶ φενακισμούς, οἷς ὑπαχθέντες ὑμεῖς οὔτε [1] συμφόρως οὔτ' ἴσως [2] οὔτε καλῶς προεῖσθε Φωκέας, οὐδὲν τούτων οὔτ' ἐξαπατήσας οὔτε σιγήσας ἐγὼ φανήσομαι, ἀλλὰ προειπὼν ὑμῖν, ὡς εὖ οἶδ' ὅτι μνημονεύετε, ὅτι ταῦτα οὔτε οἶδα οὔτε προσδοκῶ, νομίζω δὲ τὸν λέγοντα ληρεῖν.

[1] συμφερόντως

[2] οὐδὲ

τερός τις εἴπῃ τὰ προσόνθ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα. *Quasi vero, si quis de altero dicere occupaverit, quæ sibi inesse vitia novit, continuo verum sit.* Tale est et illud Maronis [Georg. lib. I. vs. 202. 204.]:

Non aliter quam qui adverso vix flumine lembum
Remigiis subigit, si brachia forte remisit,
Atque illum in præceps prono rapit alveus amni. DOUNÆUS.

Ἡνίκα τοὺς ὅρκους] Legationem illam secundam intelligit, quam ipse, Æschines, aliique octo obiere, cum jam Ctesiphon et Phrynon Atheniensibus renuntiaverant, Philippum pacis studiosum et reipublicæ amicum esse. Et hic Æschinem præcipue perstringit Orator. *Ex edit.* STOCK.

Θεσπιάς τινων καὶ Πλαταιὰς ὑπισχνουμένων οἰκισθήσεσθαι] Thebani, duce Epaminonda, Thespiam solo æquaverant. Platææ excidium bis passæ erant. Primo, cum Archidamus, rex Spartanus, Platæenses coegit in fidem ac potestatem suam se dedere; anno quinto belli Peloponnesiaci. Thebani, tunc temporis Spartanorum socii, ut exterminarentur impetrarunt. Pace Antalcidæ denuo restituti, rebus secundis non diu fruebantur: annis quippe tribus ante pugnam Leuctricam, ad pristinam miseriam redacti sunt a Thebanis, eo quod arma consociare cum illis contra Spartanos recusarunt. *Ibid.*

Τήν τε Θηβαίων πόλιν διοικεῖν] *Thebanorum urbem administraturum*, id est, servitute oppressurum, coacturum in ordinem. Sed censeo legendum διοικιεῖν, a διοικίζω, et non a διοικέω, ἀνάστατον ποιήσειν, *dissipaturum, eversurum, in pagos redacturum.* Sic Isocrates. λακεδαιμόνιοι μαντινέας διῴκισαν. τῷ διοικίζειν contrarium est τὸ συνοικίζειν, ἢ οἰκίζειν, ut paulo ante: Θεσπιὰς καὶ πλαταιὰς οἰκισθήσεσθαι. Sint cauti lectores in præteritis et futuris et aoristis verborum οἰκέω, quod η, et οἰκίζω, quod ι in illis temporibus habet: ut ᾤκηκα, ᾠκήκειν, ᾤκησα, οἰκήσω· et ᾤκικα, ᾠκίκειν, ᾤκισα, οἰκίσω. quæ librarii plerumque confundunt. WOLF.

Διοικιεῖν] Pro διοικίσειν, recte habet editio Paris. Qui enim inter verba illa σώσειν, ὑπάρξειν, &c. quæ *futuri* sunt temporis, interponi potuit τὸ διοικεῖν, quod *præsens* tempus designat? Quæ autem τῷ διοικιεῖν subjicienda notio sit, declarat Noster in oratione π. παραπρ. §. 8. (p. 297. Wolf.) ubi idem Philippi promissum his verbis enuntiatur: δυοῖν ἢ τριῶν ἡμερῶν, ὑμᾶς——Θήβας μὲν πολιορκουμένας αὐτὰς καθ' αὑτάς, χωρὶς τῆς ἄλλης Βοιωτίας, ἀκούσεσθαι. *paucis vos diebus audituros, Thebas solas, absque reliqua Bœotia, obsideri.* Renuntiaverat igitur civibus suis Æschines, Philippum sibi cæterisque legatis Atheniensibus seorsim, et *clam Thebanis*, promisisse, se Thebas διοικιεῖν, h. e. a reliqua Bœotia *dissociatas compressurum.* STOCK.

Διοικιεῖν] Inquit Harpocratio, ἀντὶ τοῦ διαιρήσειν, ὥστε μὴ ἐν ταὐτῷ πάντας οἰκεῖν, ἀλλὰ χωρὶς καὶ κατὰ μέρος. Δημοσθένης ἐν Φιλιππικοῖς. AUGER.

Τὸν Ὠρωπὸν ὑμῖν ὑπάρξειν] Themesion Eretriæ tyrannus Athenienses hac urbe privarat, an. 3. Olymp. 103. atque eam postea Thebanis dederat: unde sæpius de ea ortæ sunt inter has civitates inimicitiæ. *Ex edit.* STOCK.

Καὶ τοιαύτας ἐλπίδας καὶ φενακισμοὺς] Hi accusativi referri debent ad ὑπισχνουμένων: malim tamen cum Reiskio addi προτεινόντων vel ὑποδεικνύντων. AUGER.

Ταῦτα τοίνυν ἅπανθ', ὅσα φαίνομαι βέλτιον τῶν ἄλλων προορῶν, οὐδ' εἰς μίαν, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε δεινότητα οὔτε ἀλαζονείαν ἐπανοίσω, οὐδὲ προσποιήσομαι δι' οὐδὲν ἄλλο γιγνώσκειν καὶ προαισθάνεσθαι πλὴν δι' ἃ ἂν ὑμῖν εἴπω δύο, ἓν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δι' εὐτυχίαν, ἣν συμπάσης ἐγὼ τῆς ἐν ἀνθρώποις οὔσης δεινότητος καὶ σοφίας ὁρῶ κρατοῦσαν, ἕτερον δέ, ὅτι προῖκα τὰ πράγματα κρίνω καὶ λογίζομαι, καὶ οὐδὲν [1] λῆμμ' ἂν οὐδεὶς ἔχοι πρὸς οἷς ἐγὼ πεπολίτευμαι καὶ λέγω δεῖξαι προσηρτημένον. ὀρθὸν οὖν, ὅ τι ἄν ποτε ἀπ' αὐτῶν ὑπάρχῃ τῶν πραγμάτων, τὸ συμφέρον φαίνεταί μοι. ὅταν δ' ἐπὶ θάτερα ὥς περ εἰς τρυτάνην ἀργύριον προσενέγκῃς, οἴχεται φέρον καὶ [2] καθείλκυκε τὸν λογισμὸν ἐφ' αὑτό, καὶ [3] οὐκ ἂν ἔτ' ὀρθῶς οὐδ' ὑγιῶς ὁ τοῦτο ποιήσας περὶ οὐδενὸς ἂν λογίσαιτο.

δ'. Ἓν μὲν οὖν ἔγωγε πρῶτον ὑπάρχειν φημὶ δεῖν, ὅπως εἴτε [4] συμμάχους εἴτε σύνταξιν εἴτ' ἄλλο τι βούλεταί τις κατασκευάζειν τῇ πόλει, τὴν ὑπάρχουσαν εἰρήνην μὴ λύων τοῦτο [5] ποιήσει, οὐχ ὡς θαυμαστὴν οὐδ' ὡς ἀξίαν οὖσαν ὑμῶν· ἀλλ' ὁποία [6] τίς ποτ' ἐστὶν αὕτη, μὴ γενέσθαι μᾶλλον εἶχε τοῖς πράγμασι καιρὸν ἢ γεγενημένην νῦν δι' ὑμᾶς λυθῆναι· πολλὰ γὰρ προείμεθα ὧν ὑπαρχόντων τότ' ἂν ἢ νῦν ἀσφαλέστερος καὶ ῥᾴων ἦν ἡμῖν ὁ πόλεμος. δεύτερον δέ, ὁρᾶν ὅπως μὴ [7] προαξόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς συνεληλυθότας τούτους καὶ φάσκοντας Ἀμφικτύονας νῦν εἶναι εἰς ἀνάγκην καὶ πρόφασιν κοινοῦ πολέμου πρὸς [8] ἡμᾶς. ἐγὼ γάρ, εἰ γένοιθ' ἡμῖν πρὸς Φίλιππον πάλιν πόλεμος δι' Ἀμ-

[1] λῆμμα οὐδεὶς ἂν [2] καθείλκυσε [3] οὐκέτ' ἂν ὀρθῶς [4] σύνταξιν, εἴτε συμμάχους
[5] ποιήσῃ [6] Deest τίς [7] προαξώμεθα [8] ὑμᾶς

Εἰς οὐδεμίαν οὔτε δεινότητα, οὔτε ἀλαζόνειαν ἐπανοίσω] M. Tullius [in divinatione in Verrem, c. 11.], *Cum omnis arrogantia odiosa est, tum illa ingenii atque eloquentiæ multo molestissima. quamobrem nihil dico de meo ingenio: neque est quod possim dicere: neque, si esset, dicerem. aut enim id mihi satis est, quod est de me opinionis: aut si id parum est, ego majus id commemorando facere non possum.* DOUNÆUS.

Ὀρθὸν] *Auger.* observat, præeunte *Wolfio*, esse adverbialiter accipiendum, *recta* et *statim*. Quidni autem sit *rectum*, *incorruptum? utilitas, quæcunque ex ipsis rebus enascatur, incorrupta* (talis, qualis est) *mihi apparet.* Opponuntur deinde ὀρθῶς et ὑγιῶς. BECK.

Οἴχεται φέρον καὶ καθείλκυσε] Τὸ φέρον non tam eleganti pleonasmo additur, quam celeritatem quandam et impetum significat. WOLF.

Ὁ τοῦτο ποιήσας] Id est, ὁ προσενέγκας ἀργύριον πρὸς τὸν τῶν πραγμάτων λογισμὸν καὶ διαχειρισμόν. BECK.

δ'. Ὁρᾶν] Sub. ex præcedentibus φημὶ δεῖν. AUGER.

φίπολιν ἤ τι τοιοῦτον ἔγκλημα ἴδιον, οὗ μὴ μετέχουσι Θετταλοὶ μηδ᾽ Ἀργεῖοι μηδὲ Θηβαῖοι, οὐκ ἂν ἡμῖν οἴομαι τούτων οὐδένα πολεμῆσαι, καὶ πάντων ἥκιστα — καί μοι μὴ θορυβήσῃ μηδεὶς [1]πρὶν ἀκοῦσαι — Θηβαίους, οὐχ ὡς ἡδέως ἔχουσιν ἡμῖν, οὐδ᾽ ὡς οὐκ ἂν χαρίζοιντο Φιλίππῳ, ἀλλ᾽ ἴσασιν ἀκριβῶς, εἰ καὶ πάνυ [2]φήσει τις αὐτοὺς ἀναισθήτους εἶναι, ὅτι εἰ γενήσεται πόλεμος πρὸς ὑμᾶς αὐτοῖς, τὰ μὲν κακὰ πάνθ᾽ ἕξουσιν αὐτοί, τοῖς δ᾽ ἀγαθοῖς ἐφεδρεύων ἕτερος καθεδεῖται· οὔκουν [3]πρόοιντ᾽ ἂν ἑαυτοὺς εἰς τοῦτο μὴ κοινῆς τῆς ἀρχῆς καὶ τῆς αἰτίας οὔσης τοῦ πολέμου. οὐδέ γε εἰ πάλιν πρὸς τοὺς Θηβαίους πολεμήσαιμεν δι᾽ Ὠρωπὸν ἤ τι τῶν ἰδίων, οὐδὲν ἂν ἡμᾶς παθεῖν ἡγοῦμαι· καὶ γὰρ ἡμῖν κἀκείνοις τοὺς βοηθήσοντας ἂν οἴομαι, εἰς τὴν οἰκείαν εἴ τις ἐμβάλοι, βοηθεῖν, οὐ συνεπιστρατεύσειν οὐδετέροις. καὶ γὰρ αἱ συμμαχίαι τοῦτον ἔχουσι τὸν τρόπον, ὧν καὶ φροντίσειεν ἄν τις, καὶ τὸ πρᾶγμα φύσει τοιοῦτόν ἐστιν· οὐκ ἄχρι τῆς

[1] πρὶν ἂν ἀκούσῃ [2] φήσειέ [3] πρόειντ᾽

Ἤ τι τοιοῦτον ἔγκλημα ἴδιον] Non debemus hic *crimen* vertere. sed id est, quod nos dicimus *a private quarrel*. Cic. [contra Vatinium, c. 5.] *teneasne memoria, tibi in conventu Puteolis manus esse allatas? ad me consulem Puteolanorum querelas esse delatas?* τὰ ἐγκλήματα. Martialis [lib. vi. 19.]:

Non de vi, neque cæde, nec veneno,
Sed lis est mihi de tribus capellis.
Vicini queror hus abesse furto. (ἐγκαλῶ.)

Quod verbum significat non solum *crimen inferre*, verum etiam *pecuniam* aut *rem aliam judicio petere*, unde et *calumniam* dici Festo placet. Dem. τί ἔχοντες ἔγκλημα, καὶ τί μεμφόμενοι. ἐγκαλῶν non *accusator*, sed *petitor*. Dounæus.

Καί μοι —— ἀκούσῃ] Forsitan hæc interposuit Demosthenes, cum plures auditores sentiret fremere. Beck.

Ἀναισθήτους] Stupor Bœotorum in proverbium abiit. Pindarus (Olymp. VI. 152.): τὴν πάλαι λοιδορίαν, βοιωτίαν ὗν, ἀποτρίψαντες, et Horatius:
Bœotum in crasso jurares aëre natum.
Wolf.

Εἰ γενήσεται πόλεμος πρὸς ὑμᾶς αὐτοὺς] Lego πρὸς ὑμᾶς αὐτοῖς: *Si ipsi bellum contra nos susceperint.* Idem.

Τοῖς δ᾽ ἀγαθοῖς ἐφεδρεύων καθεδεῖται] Παρὰ τὸ καθέζομαι. Obsopæus κατεδεῖται, παρὰ τὸ κατέδω: *Alium, captantem occasiones, bona illa devoraturum.* Sed prior lectio magis placet. Idem.

Ἐφεδρεύων] Ἔφεδρος ille ex athletis dicebatur, cui sorte obtigerat ut, certantibus aliis, spectator sederet, congressurus mox cum fatigato, vigens ipse atque integer viribus. Hinc ἐφεδρεύω, *assideo ut alium invadam et ejus bonis fruar.* Auger.

Ἕτερος καθεδεῖται] Spartam quidam, ego Philippum intelligo. Stock.

Εἰς τὴν οἰκείαν εἴ τις ἐμβάλοι] Οὐκ αὐτῶν τῶν συμμάχων, ἀλλὰ τῶν πολεμουμένων, εἴτε Θηβαίων, εἴτε ἀθηναίων. Wolf.

Βοηθεῖν] Accipe quasi βοηθήσειν, quod malim ob subsequens συνεπιστρατεύσειν. Ceterum intellige συνεπιστρατεύω, *una cum aliquo expeditionem suscipio*, i. e. regionem alienam invado cum aliquo. Auger.

Ὧν κ. φροντ.] Ita ed. Ald. quam lectionem, post *Wolf.* etiam *Reisk.* et *Aug.* recte in ordinem receperunt. Nam *Obsop.* (nescio, an e libro suo) scribi jussit ἃν, uti in Bav., Aug. tertio., Ald. Less., Harl. aliisque legitur, etiam ed. Paris. et Doun. ut ad συμμαχίας referatur. Et Dounæus quidem vertit: *societates enim et fœdera, quæ magni quis fecerit, hoc modo se habent* &c. Sed in promtu est, nunc non dicendum esse de fœderum æstimatione justa, sed de ratione eorum a quovis cogitanda et consideranda. Beck.

Ἄχρι τῆς ἴσης] Respondet huic quod

ἴσης ἕκαστός ἐστιν εὔνους οὔθ' ἡμῖν οὔτε Θηβαίοις, σῶς τε εἶναι καὶ κρατεῖν τῶν ἄλλων, ἀλλὰ σῶς μὲν εἶναι ἅπαντες ἂν βούλοιντο [1]ἕνεχ' αὑτῶν, κρατήσαντας δὲ τοὺς ἑτέρους δεσπότας ὑπάρχειν αὑτῶν οὐδὲ εἷς.

έ. Τί οὖν ἡγοῦμαι φοβερόν, καὶ τί φυλάξασθαί φημι δεῖν ἡμᾶς; Ὅπως μὴ κοινὴν πρόφασιν καὶ κοινὸν ἔγκλημα ὁ μέλλων πόλεμος πρὸς ἅπαντας λάβῃ. εἰ γὰρ Ἀργεῖοι μὲν καὶ Μεσσήνιοι καὶ Μεγαλοπολῖται καί τινες τῶν λοιπῶν Πελοποννησίων, [2]ὅσοι τὰ αὐτὰ τούτοις φρονοῦσι, διὰ τὴν πρὸς Λακεδαιμονίους ἡμῖν ἐπικηρυκείαν ἐχθρῶς σχήσουσι καὶ τὸ δοκεῖν ἐκδέχεσθαί τι τῶν ἐκείνοις πεπραγμένων, Θηβαῖοι δὲ ἔχουσι μέν, ὡς λέγουσιν, ἀπεχθῶς, ἔτι δὲ ἐχθροτέρως σχήσουσιν ὅτι τοὺς παρ' ἐκείνων φεύγοντας σώζο-

[1] ἕνεκά γε ἑαυτῶν

[2] ὅσοι γε δὴ τὰ

gallice diceremus, *jusqu' à la concurrence de.* Mox pro ὥστε εἶναι in vulg. non dubitavi reponere juxta Reiskium, ὥστε σῶς τε εἶναι, σῶς contracte pro σώους. Totum hunc locum paulo intricatiorem sic interpretor; *unusquisque ex æquo* (vel *pariter*) *neque vobis neque Thebanis ita benevolus est ut velit nos et incolumes esse et aliis imperare, sed incolumes esse.* . . . AUGER.

Οὐκ ἄχρι τῆς ἴσης] Ulpianus subaudit ψήφου: ego μοίρας potius, ut ἐπίσης ὑφ' ἕν, *ex æquo.* Comicus [Ter. Eunucho, I. 2, 11. ss.], *O Thais, Thais, utinam esset mihi pars æqua amoris tecum.* ὤφελον ἐπίσης φιλεῖν καὶ φιλεῖσθαι. Herodotus, ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίῃ, *pari conditione.* DOUNÆUS.

Ὥστε εἶναι καὶ κρατεῖν] Id est, ζῆν, μὴ ἀναστάτους γίνεσθαι, σῶς ὑπάρχειν: quam vocem subintelligi arbitror, ut et apud Ciceronem 1. de Officiis verbum *esse* ponitur: *Sic cum Celtiberis, cum Cimbris bellum ut cum inimicis gerebatur,* uter esset, *non, uter imperaret.* Ubi fortasse legendum, *utri essent, non, utri imperarent.* WOLF.

Ὥστε εἶναι καὶ κρ.] *Doun.* reddit: *ut sint atque ut aliis imperent.* Perperam. Præiverat tamen Wolf. observans, εἶναι, ut Lat. *esse*, poni pro ζῆν. Imo verba valent: *ut liceat etiam imperium in alios capessere.* Index *Lamb.* dat: ὥστε βούλεσθαι εἶναι, Ald. Tayl. ὥστε γε εἶναι. In Wolf. ed. asteriscus verbis est appositus, redduntur autem: *ut simul et incolumes esse nos et aliis imperare velint.* Atque inde videtur fluxisse *Reiskii* conjectura, quam (omisso ὥστε) ita in textis reposuit: σῶς τε εἶναι καὶ κρ. *Auger.* dedit: ὥστε σῶς τε ε. κ. κρ. BECK.

έ. Εἰ γὰρ Ἀργεῖοι μὲν, καὶ Μεσσήνιοι] Fractis Spartæ opibus a Thebanis, civitates, quæ antea ei paruerant, se in libertatem vindicarunt. Hinc ortæ controversiæ adhuc durabant: in quibus Spartani Athenienses habuere sibi adjutores. *Ex edit.* STOCK.

Ἐκδέχεσθαί τι τῶν ἐκείνοις πεπραγμένων] *Impedire quædam acta illorum: non consentire in omnia.* Alia est τὸ διαδέχεσθαι: hic vero ἀπείργειν καὶ κωλύειν, ut et Suidas exponit: quasi dicas *intercipere*, et *intervertere.* WOLF.

Τὸ δοκεῖν ἐκδέχεσθαί τι τῶν, &c.] Lacedæmoniis scilicet in animo erat, hasce civitates in pristinam servitutem repetere. Itaque cum Tourrellio vertimus ἐκδέχεσθαι, *fautores esse.* Secundum Suidam, vel fortior est ista vox: ἐκδέχεσθαι (inquit ille) est, *aliquid ab altero accipere, quod ipse deinde suscipias.* Wolfius illud ἐκείνοις de Argivis intelligit, et locum hoc modo vertit, *propter acta quædam sua impedita.* Sed concinnior videtur interpretatio prior. *Ex edit.* STOCK.

Τι τῶν ἐκ. πεπρ.] h. e. ὑπ' ἐκείνων, refero ad insignem aliquam injuriam, quam Peloponnesiis Lacedæmonii intulerant. BECK.

Τοὺς παρ' ἐκείνων φεύγοντας] Philippus, finito sacro bello, vastataque Phocide, quas urbes Phocenses in Bœotia tenebant, Thebanis dedit; et inter eas Orchomenum et Coroneam. Harum igitur incolæ, veriti ne se Thebani in servitutem

μεν καὶ πάντα τρόπον τὴν δυσμένειαν ἐνδεικνύμεθ' αὐτοῖς, Θετταλοὶ δ' ὅτι τοὺς Φωκέων φυγάδας σώζομεν, Φίλιππος δὲ ὅτι κωλύομεν αὐτὸν κοινωνεῖν τῆς Ἀμφικτυονίας, φοβοῦμαι μὴ πάντες περὶ τῶν ἰδίων ἕκαστος ὀργιζόμενοι κοινὸν ἐφ' ἡμᾶς ἀγάγωσι τὸν πόλεμον, τὰ τῶν Ἀμφικτυόνων δόγματα προστησάμενοι, εἶτ' ἐπισπασθῶσιν ἕκαστοι πέρα τοῦ συμφέροντος ἑαυτοῖς ἡμῖν πολεμῆσαι, ὥσπερ καὶ περὶ Φωκέας. ἴστε γὰρ δήπου τοῦθ', ὅτι νῦν Θηβαῖοι καὶ Φίλιππος καὶ Θετταλοὶ οὐχὶ ταὐτὰ [1]ἕκαστοι μάλιστα ἐσπουδακότες ταὐτὰ πάντες ἔπραξαν. οἷον Θηβαῖοι τὸν μὲν Φίλιππον παρελθεῖν καὶ λαβεῖν τὰς παρόδους οὐκ ἠδύναντο κωλῦσαι, οὐδέ γε τῶν αὐτοῖς πεπονημένων ὕστατον ἐλθόντα τὴν δόξαν ἔχειν— νυνὶ γὰρ Θηβαίοις πρὸς μὲν τὸ τὴν χώραν κεκομίσθαι κάλλιστα πέπρακται, πρὸς δὲ τιμὴν καὶ δόξαν αἴσχιστα· εἰ γὰρ μὴ παρῆλθε Φίλιππος, οὐδὲν ἂν αὐτοῖς ἐδόκει

[1] μάλιστα ἕκαστοι

adducerent, Athenas confugerunt, atque humaniter excepti sunt. *Lucches.* Stock.

Προστησάμενοι] *Præferentes:* quasi dicerent, nos magnis auctoribus hoc bellum suscepimus. eorum auctoritas, quorum decretis paruimus, nos tutabitur. Dounæus.

Εἶτα ἐπισπασθῶσιν ἕκαστοι] Ἐφελκυσθῶσιν, *attrahantur.* Hom. [Odyss. XVIII. 72.] ἦ τάχει Ἶρος ἄϊρος ἐπίσπαστον κακὸν ἕξει. concitabimus in nos, inquit, unumquemque eorum, quos enumeravi. Idem.

Πέρα τοῦ] M. καὶ πέρα τοῦ, id est, καὶ παρὰ τὸ συμφέρον, non περὶ τοῦ. Wolf.

Ἴστε γὰρ δήπου τοῦθ', ὅτι Θηβαῖοι, καὶ Φίλιππος, καὶ Θετταλοὶ] Probatio est superiorum, ut particula causalis ostendit. Hoc vult igitur dicere, quemadmodum vidimus præterito tempore Thebanos, Philippum, Thessalos idem egisse omnes, sed non eadem de caussa, neque eodem consilio, sed suum quemque destinatum finem sibi propositum habuisse: sic metuendum est de futuro, ne isti cum rege infesti in nos omnes alius aliam ob causam insurgant. Illos enim omnes læsimus, nec possumus dicere, nolle eos μνησικακῆσαι, aut occasionem ulciscendi non avide arrepturos. Dounæus.

Τὰ αὐτὰ πάντες ἔπραξαν] Vel, *eadem egerunt,* vel, *eodem modo cum illis actum est.* Nam utrumque et sententia patitur, et verbi vis. Wolf.

Οὐδέ γε τῶν αὐτοῖς πεπονημένων ὕστατον ἐλθόντα τὴν δόξαν ἔχειν] Thebani gravissimam partem belli Phocensis, quod et sacrum est appellatum, sustinuerant: bellum affecerant, hostem profligaverant, cum Philippus imperator accedens, delectus ab Amphictyonibus, belli confecti tulit honorem et gloriam: ut Pompeius bello Mithrid. τῶν Λευκούλλῳ πεπονημένων ὕστατος ἐλθὼν (nam et plures imperatores jam ante cum rege conflixerant) ἐκαρπώσατο τὴν δόξαν. Sic idem in Hispania Metello succedens contra Sertorium. id ægre ferre Thebanos necesse erat. Doun.

Τὴν χώραν] Phocidem intellige, quam Philippus eis donarat: aut certe de Orchomeno et Coronea, reliquaque Bœotia, quam eis subegerat. Wolf.

Οὐδὲν ἂν αὐτοῖς ἐδόκει εἶναι] S. πεπραγμένον, οὐδὲν ἂν διαπράξασθαι, ἢ κατακτήσασθαι, nihil eos recuperaturos fuisse, neque Coroneæ, nec Orchomeni, nec Phocidis potituros. Idem.

Οὐδὲν ἂν αὐτοῖς ἐδόκει εἶναι] Ἂν εἶναι, non ἂν ἐδόκει. *si non transisset Philippus, nihil illis fore videbatur,* id est, nihil erant habituri. ἂν εἶναι, *fore.* particula enim mutat præsens in futurum: non enim erat regis transitus Thebanis ἀδιάφορος. sic dicimus, ἐὰν τοῦτο ποιήσω, τί μοι γενήσεται ἢ ἔσται; *what shall I have for my pains?* Dem. [contra Olympiodorum] διελεγόμεθα ἡμῖν αὐτοῖς περὶ ὧν οὗτος ἠξίου ἑαυτῷ εἶναι. Doun.

εἶναι—· ταῦτα δ' οὐκ ἠβούλοντο, ἀλλὰ τῷ τὸν Ὀρχομενὸν καὶ τὴν Κορώνειαν λαβεῖν ἐπιθυμεῖν, μὴ δύνασθαι δέ, [1] πάντα ταῦθ' ὑπέμειναν. Φίλιππον τοίνυν τινὲς μὲν δή που τολμῶσι λέγειν, ὡς [2] οὐδ' ἐβούλετο Θηβαίοις Ὀρχομενὸν καὶ Κορώνειαν παραδοῦναι, ἀλλ' ἠναγκάσθη· ἐγὼ δὲ τούτοις μὲν ἐῤῥῶσθαι λέγω, ἐκεῖνο δὲ οἶδ' ὅτι οὐ μᾶλλόν γε ταῦτ' ἔμελεν αὐτῷ ἢ τὰς παρόδους λαβεῖν ἠβούλετο καὶ τὴν δόξαν τοῦ πολέμου, τοῦ δοκεῖν δι' αὑτὸν κρίσιν εἰληφέναι, καὶ τὰ Πύθια θεῖναι δι' ἑαυτοῦ· καὶ ταῦτ' ἦν ὧν μάλιστ' ἐγλίχετο. Θετταλοὶ δέ γε οὐδέτερ' ἠβούλοντο τούτων, οὔτε Θηβαίους οὔτε τὸν Φίλιππον μέγαν [3] γίγνεσθαι—ταῦτα γὰρ πάντ' ἐφ' ἑαυτοὺς ἡγοῦντο εἶναι—, τῆς Πυλαίας δ' ἐπεθύμουν καὶ τῶν ἐν Δελφοῖς, πλεονεκτημάτων δυοῖν, κύριοι γενέσθαι· τῷ δὲ τούτων γλίχεσθαι τάδε συγκατέπραξαν. τῶν τοίνυν ἰδίων [4] ἕνεχ' εὑρήσετε ἕκαστον πολλὰ προηγμένον, ὧν οὐδὲν ἠβού-

[1] ταῦτα πάνθ'   [2] οὐκ   [3] γενέσθαι· πάντα γὰρ ταῦτα   [4] ἕνεκα ἕκαστον εὑρήσετε [εἰς τὰ] πολλὰ

Ταῦτα δὲ] S. τὸ ἐστερῆσθαι τῆς δόξης. Noluerunt rerum gestarum gloriam sibi a Philippo intercipi: de qua retinenda non minus, quam de stabiliendis et augendis opibus suis laborabant. Qua de re vide Isocratis Philippicam ab hoc loco: καλλίστην μάχην νικήσαντες, καὶ μεγίστην δόξαν ἐξ αὐτῆς λαβόντες, &c. WOLF.

Ταῦτα] Refero ad omnia ea, quæ Thebani antea dicuntur impedire non potuisse. BECK.

Φίλιππόν τινες τολμῶσι λέγειν, ὡς οὐκ ἐβούλετο] Frequens ἐναλλαγὴ poëtis et oratoribus: multoque est elegantius, quam si dixisset, τινὲς τολμῶσι λέγειν, ὡς οὐκ ἐβούλετο Φίλιππος. Sophocles [Ajace Lorario vs. 838.], καλῶ δ' ἀρωγοὺς τὰς σεμνὰς Ἐριννῦς—μαθεῖν ἐμὲ,

πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.

invoco opitulatrices diras ultrices me videre, ab Atridis ut disperii miser. Ajax hæc moriens. sic comici loquuntur. Terentius, [Eun. V. 9. 5.] *scin' me, in quibus sim gaudiis? et, fac me, ut sciam.* Plautus [in Pœnulo, Act. II. v. 5. s.]:

Sex agnos immolavi, nec potui tamen
Propitiam Venerem facere, uti esset mihi.

et post pauca [v. 41. s.]:

Si Hercle istuc unquam factum est, tum me Juppiter
Faciat, ut semper sacruficem et nunquam litem.

litare est, quod Xenophon dicit καλλιερεῖν, ἀπὸ τῶν λιτῶν, *a precibus*, quæ sacrificiis adhibentur, ut Festus docet. DOUNÆUS.

Ἐῤῥῶσθαι] Χαίρειν, hoc est, eos falsum dicere puto, rem ita se habere nego. WOLF.

Καὶ τὴν δόξαν τοῦ πολέμου, τοῦ δοκεῖν δι' αὑτὸν κρίσιν εἰληφέναι] Ἀντίπτωσις quædam: ἀντὶ τοῦ, τὴν δόξαν τοῦ δοκεῖν τὸν πόλεμον κρίσιν εἰληφέναι δι' αὑτὸν, τουτέστι, τελευτὴν καὶ συντέλειαν. Alia est κρίσις ἰατρικὴ, alia, πολεμικὴ, sed utraque rei finem spectat. IDEM.

Καὶ τὰ πύθια θεῖναι δι' ἑαυτοῦ] Ludos Delphicos in Apollinis honorem institutos, quorum summam fuisse celebritatem notum est. θεῖναι τὰ πύθια, est ἀγωνοθέτην εἶναι, qui maximus honos apud Græcos habebatur. IDEM.

Ἐφ' ἑαυτοὺς ἡγοῦντο εἶναι] Καθ' αὑτῶν: ἐνόμιζον βλαβήσεσθαι ἐκ τούτων. IDEM.

Πυλαίας] Jus Amphictyonicæ dignitatis. IDEM.

Τῆς Πυλαίας δὲ ἐπεθύμουν] Phocenses quippe, Delphorum potiti, Thessalos inde abegerunt. Ex voce πυλαία, satis liquet concilium Amphictyonicam Pylæum appellatum fuisse, seu Delphis seu Pylis habitum. *Ex edit.* STOCK.

Τῶν ἐν Δελφοῖς] Subaudi δικαίων, et accipe πλεονεκτημάτων δυοῖν tanquam appositionem ad τῆς πυλαίας et τῶν ἐν Δελφοῖς. AUGER.

λετο, πρᾶξαι. τοῦτο μὲν τοίνυν, ὅτι τοιοῦτόν ἐστι, φυλακτέον ἡμῖν.

ϛʹ. Τὰ κελευόμενα ἡμᾶς [1] ἄρα δεῖ ποιεῖν ταῦτα φοβουμένους; καὶ σὺ ταῦτα κελεύεις; Πολλοῦ γε καὶ δέω, ἀλλ' ὡς οὔτε πράξομεν οὐδὲν ἀνάξιον ἡμῶν αὐτῶν οὔτ' ἔσται πόλεμος, νοῦν [2] δὲ δόξομεν πᾶσιν ἔχειν καὶ τὰ δίκαια λέγειν, τοῦτ' οἴομαι δείξειν. πρὸς δὲ τοὺς θρασέως ὁτιοῦν οἰομένους ὑπομένειν δεῖν καὶ μὴ προορωμένους τὸν πόλεμον ἐκεῖνα βούλομαι λογίσασθαι. ἡμεῖς Θηβαίους ἐῶμεν ἔχειν Ὠρωπόν· καὶ εἴ τις ἔροιτο ἡμᾶς, κελεύσας εἰπεῖν τἀληθῆ, διὰ τί; ἵνα μὴ πολεμῶμεν, [3] φαῖμεν ἄν. καὶ Φιλίππῳ νυνὶ κατὰ τὰς συνθήκας Ἀμφιπόλεως παρακεχωρήκαμεν, καὶ Καρδιανοὺς ἐῶμεν ἔξω [4] Χεῤῥονησιωτῶν τῶν ἄλλων τετάχθαι, καὶ τὸν Κᾶρα τὰς νήσους καταλαμβάνειν, Χίον καὶ Κῶν καὶ Ῥόδον, καὶ Βυζαντίους κατάγειν τὰ πλοῖα, δῆλον

[1] ἆρα [2] τε [3] φαίημεν [4] χεῤῥονησιτῶν

ϛʹ. Τὰ κελευόμενα ἡμᾶς ἆρα δεῖ ποιεῖν] *Nunquid igitur facienda erunt, quæ* isti *jusserint?* Wolfius vertit, parum scite. Τὰ κελευόμενα (vel τὸ κελευόμενον) ποιεῖν ponitur absolutè pro *dicto audientem esse, jugum subire*; quo sensu bis occurrit apud Demosth. de Cor. §. 59. Stock.

Ἀλλ' ὡς οὔτε πράξομεν οὐδὲν ἀνάξιον ἡμῶν αὐτῶν] Sic agendum est, ut et dignitas conservetur, neque ullo modo existimatio nostra minuatur, quod facietis, inquit, si mihi obtemperabitis. nihil autem indignitatis habuit parere Amphictyonum decreto. Dounæus.

Καὶ τὰ δίκαια λέγειν] Malim ποιεῖν, aut κἀμὲ τὰ δίκαια λέγειν: vel καὶ τὰ δίκαια λέγειν ἐμέ. Wolf.

Πρὸς δὲ τοὺς] F. πρὸς δὲ, S. τούτοις, τούς. *Ad hæc.* Alioqui malim τὸ, πρὸς δὲ, omitti, et legi: τοὺς δὲ οἰομένους, &c. βούλομαι λογίσασθαι πρὸς τοὺς οἰομένους, videtur insolens. Idem.

Ἡμεῖς θηβαίους ἐῶμεν ἔχειν ὠρωπὸν] Sententia est: parum et sapienter et constanter eos facere, qui, cum ad majora et sua conniveant, summum jus in minoribus et alienis velint persequi. Idem.

Καὶ Φιλίππῳ νῦν Ἀμφιπόλεως παρακεχωρήκαμεν] Verbum significat *cedere de jure*, unde vult intelligi, juris fuisse Atheniensium. quo autem jure Amphipolim vendicavit Philippus, ipse declarat his verbis [ep. ad Athen. §. ζʹ.]: εἴτε γὰρ τῶν ἐξαρχῆς κρατησάντων γίγνεται, πῶς οὐ δικαίως ἡμεῖς αὐτὴν ἔχομεν, Ἀλεξάνδρου τοῦ προγόνου πρώτου κατασχόντος τὸν τόπον; εἴτε τούτων μὲν ἀμφισβητήσειέ τις, ἀξιοῖ δὲ γίγνεσθαι τῶν ὕστερον γενομένων κυρίων, ὑπάρχει μοι καὶ τοῦτο τὸ δίκαιον, ἐκπολιορκήσας γὰρ τοὺς ὑμᾶς μὲν ἐκβαλόντας, ὑπὸ Λακεδαιμονίων δὲ κατοικισθέντας, ἔλαβον τὸ χωρίον. Doun.

Καρδιανοὺς ἐῶμεν ἔξω, &c.] Fusius exponitur hoc in argumento orationis de Chersoneso. Stock.

Καὶ τὸν Κᾶρα] Mausolus Cariæ rex insularibus contra Athenas fœderatis auxilium dedit. Confecto autem bello sociali, cum Athenienses coacti essent eos esse liberos et immunes sinere, tum Mausolus ex socio se dominum ipsorum fecit. Eo defuncto, conjux Artemisia in insulas jam victas imperium exercuit. Huic denique successit frater Hidriæus, qui Cariæ regnavit, quo tempore habita est hæc oratio. *Ex edit.* Stock.

Καὶ Βυζαντίους κατάγειν τὰ πλοῖα] Byzantini quoque defecerant, et cum insularibus erant fœderati in bello sociali. At quatenus istiusmodi injurias fecerint, aut unde fuit quod id impune tulerint, haud constat. *Ibid.*

Καὶ Βυζαντίους κατάγειν τὰ πλοῖα] Athenienses plurimo Græcorum omnium utebantur importato frumento propter soli sterilitatem. deportabant autem e Ponto, atque de Taurica Cherroneso, quæ fertilissima erat frugum. [Dem. ad Leptinem, c. 27. s. p. 38. ss. Wolf.] quo sæpe fie-

ὅτι τὴν ἀπὸ τῆς εἰρήνης ἡσυχίαν πλειόνων ἀγαθῶν αἰτίαν εἶναι νομίζοντες ἢ τὸ προσκρούειν καὶ φιλονεικεῖν περὶ τούτων. οὐκοῦν εὔηθες καὶ κομιδῇ σχέτλιον, πρὸς ἑκάστους καθ᾽ ἕνα οὑτωσὶ ἤδη προσενηνεγμένους περὶ τῶν οἰκείων καὶ ἀναγκαιοτάτων, πρὸς ἅπαντας περὶ τῆς ἐν Δελφοῖς σκιᾶς νυνὶ πολεμῆσαι;

bat, ut Byzantii, quorum urbs sita est ad Bosporum Thracium, quod fretum perangustum est, interciperent naves. πλοῖον enim *mercatoria navis est* sive *oneraria*. nec solum erat piratarum κατάγειν τὰ πλοῖα, sed pacati quoque solebant cogere in medio cursu naves frumento onustas ad se appellere, frumentum vendere. Dem. πρὸς Πολυκλέα. ἔτι δὲ τῶν ἐμπόρων καὶ τῶν ναυκλήρων περὶ τὸν ἔκπλουν ὄντων ἐκ τοῦ Πόντου, καὶ Βυζαντίων καὶ Κυζικηνῶν καταγόντων τὰ πλοῖα τῆς ἰδίας ἕνεκα χρείας σίτου. mercatores intelligere debemus eos, qui frumentum advehebant Athenas. Idem in eadem: εἰσαγγελθέντων δὲ, ὅτι Βυζάντιοι καὶ Χαλκηδόνιοι πάλιν κατάγουσι τὰ πλοῖα, καὶ ἀναγκάζουσι τὸν σῖτον ἐξαιρεῖσθαι. quod est *exonerare*, sed frequentius κατάγειν τὰ πλοῖα prædonum est, aut eorum, quibus datur licentia impunitasque prædandi. Dem. [περὶ τῶν ἐν Χεῤῥονήσῳ. §. ζ΄.] εἰ γὰρ δεινὰ ποιεῖ Διοπείθης, καὶ κατάγει τὰ πλοῖα, μικρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν πινάκιον ταῦτα πάντα κωλῦσαι δύναιτ᾽ ἄν. edictum scilicet tabella propositum, aut literæ ad Diopithem datæ. Æschines περὶ τῆς παραπρ. κατῆγον δὲ τὰ πλοῖα καὶ τοὺς Ἕλληνας ἐκ τῆς κοινῆς θαλάττης. *Prædones exceptabant*, at quos homines? Græcos. unde? e mari, quod commune est omnibus. duæ indignitates. Doun.

Οὑτωσὶ ἤδη προσενηνεγμένους] Dem. Philipp. IV. §. ιϛ΄. τί ποτ᾽ οὖν ἐκεῖνος τοῖς ἄλλοις καὶ ὑμῖν οὐ τὸν αὐτὸν τρόπον προσφέρεται; Hebr. XII. [v. 7.] εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεός. *ut cum filiis, vobiscum agit Deus:* vel *ut filiis, se vobis Deus offert*. Plato [Charmide, p. 131. T. V. ed. Bip.], σὺ μὲν ὡς φάσκοντος ἐμοῦ εἰδέναι περὶ ἂν ἐρωτῶ, προσφέρῃ πρὸς ἐμέ. *tu mecum agis, quasi ego profiterer, me scire ea omnia, de quibus quæro.* Secunda tabula legis divinæ docet, πῶς δεῖ προσφέρεσθαι τῷ πλησίον. *quomodo sit agendum cum proximo.* Idem.

Περὶ τῶν οἰκείων] Αἰνίττεται τὴν Ἀμφίπολιν καὶ τὸν Ὠρωπόν. hæc enim oppida Athenienses sibi asserebant, et sæpe vindiciis amissa repetebant: nec non insulas, quæ, postquam maris imperio politi sunt, in illorum erant ditione. Idem.

Καὶ ἀναγκαιοτάτων] Quid enim tam necessarium, quam victus quotidianus? frumentum autem navigia deportabant, ut diximus: quæ Byzantii, quum pacati non erant, exceptabant. Plinius [lib. VII. cap. XXX. s. XXXI. Hard.] *Sed quo te, M. Tulli, piaculo taceam? te dicente, legem agrariam, hoc est alimenta sua abdicaverunt tribus.* sic pop. Atheniensis, quo pacem conservaret, alimentum abdicavit quodammodo. Idem.

Περὶ τῆς ἐν Δελφοῖς σκιᾶς] Sic Amphictyoniam seu Pylæam per contemtum appellat. Alludit autem ad ὄνου σκιάν: etsi quid est aliud summus ille consessus regum et principum, nisi umbra quædam, brevi transitura? quæ ubi præteriit, perinde est, ac si nulla fuisset. Sic umbra umbræ succedit, Philippus Phocensibus, Antipater Philippo, et deinceps aliis alii, donec una cum umbris ipse etiam locus est redactus ad nihilum. Wolf.

Περὶ τῆς ἐν Δελφοῖς σκιᾶς] *Pro umbra Delphica.* Hoc est, pro inani appellatione Amphictyonis, sive patroni templi Delphici. *Ex edit.* Stock.

Περὶ τῆς ἐν Δελφοῖς σκιᾶς] Didymus, inquit Harpocratio, ait proverbium de asini umbra detortum esse ab oratore de umbra delphica loquente: asini autem umbram dici in eos qui de rebus nihili contendunt. Auger.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΦΙΛΙΠΠΙΚΟΥ Β.

ΠΑΡΑΙΝΕΙ διὰ τούτου τοῦ λόγου τοῖς Ἀθηναίοις ὁ ῥήτωρ πολέμιον ὑποπτεύειν τὸν Φίλιππον καὶ τῇ εἰρήνῃ μὴ πάνυ [1] τι πιστεύειν, ἀλλὰ ἐγείρεσθαι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασι καὶ εὐτρεπίζεσθαι εἰς πόλεμον· ἐπιβουλεύειν γὰρ αἰτιᾶται καὶ τοῖς Ἀθηναίοις καὶ πᾶσι τοῖς Ἕλλησι τὸν Φίλιππον, καὶ τοῦτο αὐτοῦ καταμαρτυρεῖν τὰς πράξεις φησίν. ἐπαγγέλλεται δὲ καὶ ἀποκρίσεις δώσειν πρός τινας πρέσβεις ἥκοντας, ἀπορούντων τῶν Ἀθηναίων [2] ὅπως ἀποκρίνασθαι δεῖ. πόθεν δὲ οὗτοι καὶ περὶ τίνων ἥκουσιν, ἐν τῷ λόγῳ μὲν οὐ δηλοῦται, ἐκ δὲ τῶν Φιλιππικῶν ἱστοριῶν μαθεῖν δυνατόν. κατὰ γὰρ τοῦτον τὸν καιρὸν ἔπεμψε πρέσβεις ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους, αἰτιώμενος ὅτι διαβάλλουσιν αὐτὸν μάτην πρὸς τοὺς Ἕλληνας ὡς [3] ἐπαγγειλάμενον αὐτοῖς πολλὰ καὶ μεγάλα, [4] ψευσάμενον δέ· οὐδὲν γὰρ [5] ὑπεσχῆσθαί φησιν οὐδὲ ἐψεῦσθαι, καὶ περὶ τούτων ἐλέγχους ἀπαιτεῖ. ἔπεμψαν δὲ μετὰ Φιλίππου καὶ Ἀργεῖοι καὶ Μεσσήνιοι πρέσβεις εἰς Ἀθήνας, αἰτιώμενοι καὶ οὗτοι τὸν δῆμον, ὅτι Λακεδαιμονίοις καταδουλουμένοις τὴν Πελοπόννησον εὔνους τέ ἐστι καὶ συγκροτεῖ, αὐτοῖς δὲ περὶ ἐλευθερίας πολεμοῦσιν ἐναντιοῦται. ἀποροῦσιν οὖν οἱ Ἀθηναῖοι καὶ πρὸς τὸν Φίλιππον ἀποκρίσεως καὶ πρὸς τὰς πόλεις, ὅτι εὔνοι μέν εἰσι Λακεδαιμονίοις καὶ τὴν τῶν Ἀργείων καὶ Μεσσηνίων μετὰ Φιλίππου σύστασιν καὶ μισοῦσι καὶ ὑποπτεύουσιν, οὐ μὴν ἀποφήνασθαι δύνανται δίκαια πράττειν τοὺς Λακεδαιμονίους. πρὸς δὲ τὸν Φίλιππον διημαρτήκασι μὲν ὧν ἤλπισαν, οὐ μὴν ὑπ᾽ ἐκείνου γε αὐτοῦ δοκοῦσιν ἐξηπατῆσθαι· οὔτε γὰρ ταῖς ἐπιστολαῖς ἐνέγραψεν ὁ Φίλιππος ἐπαγγελίαν οὐδεμίαν, οὔτε διὰ τῶν ἰδίων [6] πρέσβεων ἐποιήσατό τινα ὑπόσχεσιν, ἀλλὰ Ἀθηναίων τινὲς ἦσαν οἱ τὸν δῆμον εἰς ἐλπίδα καταστήσαντες, ὡς Φίλιππος Φωκέας σώσει καὶ τὴν Θηβαίων ὕβριν καταλύσει. διὰ τοῦτο ὁ Δημοσθένης τῶν ἀποκρίσεων μνησθεὶς ἐπαγγέλλεται μὲν αὐτὰς δώσειν, φησὶ δὲ ὅτι δίκαιον ἦν τοὺς τὴν δυσχέρειαν πεποιηκότας ἐκείνους καὶ τὰς ἀποκρίσεις ἀπαιτεῖσθαι, τοὺς ἀπατήσαντας, φησί, τὸν δῆμον καὶ ἀνοίξαντας Φιλίππῳ Πύλας. ταῦτα δὲ εἰς τὸν Αἰσχίνην αἰνίττεται, προκατασκευαζόμενος, ὥς φασι, τὴν κατ᾽ αὐτοῦ κατηγορίαν τῆς παραπρεσβείας, ἣν ὕστερον ἐνεστήσατο, καὶ προδιαβάλλων αὐτὸν πρὸς τοὺς Ἀθηναίους.

[1] Deest τι. [2] ὁπότε [3] ἐπαγγελλόμενον [4] ψευδόμενον [5] ὑπισχνεῖσθαι [6] πρεσβειῶν

Καὶ τοῦτο αὐτοῦ καταμαρτυροῦντος πράξειν φησὶ] Haud dubie, contra codicum consensum, legendum, καὶ τοῦτ᾽ αὐτοῦ καταμαρτυρεῖν τὰς πράξεις φησὶ, ut et Cicero: *Ubi rerum* (inquit) *testimonia adsunt, quid opus est verbis?* Wolf.

Πόθεν δὲ οὗτοι καὶ περὶ τίνων] Obsop. παρὰ τίνων, *a quibus*. Sed illud melius. Nam τὸ πόθεν et locum et personas complectitur. Post lego, ὡς ἐπαγγειλάμενον πολλὰ, et, οὐδὲ γὰρ ὑπεσχῆσθαί φησιν. Idem.

Ἐλέγχους ἀπαιτεῖ] Postulat se convinci vanitatis et insidiarum, si omnino tacere non possint. Idem.

Συγκροτεῖ] Suidas συνάγει, αὔξει, συνιστᾷ καὶ συνδεῖ, πρὸς ἁρμονίαν ἄγει, συνέχει, συμπράττει. *quod Lacedæmoniis applaudat, adjutor sit.* Idem.

ΦΙΛΙΠΠΙΚΟΣ Β.

Ol. 109, 1.

ά. ὍΤΑΝ, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι γίγνωνται περὶ ὧν Φίλιππος πράττει καὶ βιάζεται παρὰ τὴν εἰρήνην, ἀεὶ τοὺς ὑπὲρ ἡμῶν λόγους καὶ δικαίους καὶ φιλανθρώπους ὁρῶ φαινομένους, καὶ λέγειν μὲν ἅπαντας ἀεὶ τὰ δέοντα δοκοῦντας τοὺς κατηγοροῦντας Φιλίππου, γιγνόμενον δ' οὐδὲν ὡς ἔπος εἰπεῖν τῶν δεόντων οὐδ' ὧν [1]ἕνεκα ταῦτ' ἀκούειν ἄξιον· ἀλλ' εἰς τοῦτ' ἤδη προηγμένα τυγχάνει πάντα τὰ πράγματα τῇ πόλει, ὥσθ' ὅσῳ τις ἂν μᾶλλον καὶ φανερώτερον ἐξελέγχῃ Φίλιππον καὶ τὴν πρὸς ὑμᾶς εἰρήνην παραβαίνοντα καὶ πᾶσι τοῖς Ἕλλησιν ἐπιβουλεύοντα, τοσούτῳ τὸ τί χρὴ ποιεῖν συμβουλεῦσαι χαλεπώτερον εἶναι. αἴτιον δὲ τούτων, ὅτι πάντας, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς πλεονεκτεῖν ζητοῦντας ἔργῳ κωλύειν καὶ πράξεσιν, οὐχὶ λόγοις δέον, πρῶτον μὲν ἡμεῖς οἱ παριόντες τούτων μὲν ἀφέσταμεν, καὶ γράφειν καὶ συμβουλεύειν διὰ τὴν πρὸς ὑμᾶς ἀπέχθειαν ὀκνοῦντες, οἷα ποιεῖ δέ, ὡς δεινὰ καὶ χαλεπά, ταῦτα διεξερχόμεθα· ἔπειθ' ὑμεῖς οἱ καθήμενοι, ὡς μὲν ἂν εἴποιτε δικαίους λόγους καὶ λέγοντος ἄλλου [2]συνείητε, ἄμεινον Φι-

[1] εἵνεκα [2] συνίητε

Τοὺς ὑπὲρ ὑμῶν λόγους] Ὅτι ὑμεῖς καὶ δίκαια καὶ φιλάνθρωπα πράξαντες τυγχάνετε· φίλιππος δὲ τἀναντία τούτων. Wolf.

Ὡς ἔπος εἰπεῖν] Ὡς φαίνεται, ὡς ἑνὶ λόγῳ εἰπεῖν (sic enim legendum) ὡς τύπῳ περιλαβεῖν. Vide Suidam. ὡς ἔπος, ὡς λόγος, scilicet ἐστὶν, *ut dicitur*. Platoni ἄρχων ὁ ὡς ἔπος εἰπεῖν (τὸ εἰπεῖν videtur delendum) est, ὁ δημοτικῶς λεγόμενος, is scilicet, qui rerum potitur, qualiscunque est: ὁ τῷ ἀκριβεῖ λόγῳ ἄρχων, verus princeps, qui sapientia et virtute aliis antecellit. ά. πολιτειῶν. Idem.

Οὐδ' ὧν εἵνεκα] Οὐδὲ τοιαῦτα γιγνόμενα, δι' ἅ. Idem.

Ἐξελέγχῃ παραβαίνοντα] Ὅτι παραβαίνει. Sic ὁρῶ φαινομένους, ὅτι φαίνονται, ὁρῶ φαίνεσθαι Latine. Idem.

Πᾶσι τοῖς ἕλλησιν ἐπιβουλεύοντα] Ὅπως ἂν καταδουλώσηται αὐτοὺς, καὶ ὑποχειρίους λάβῃ. Idem.

Ἡμεῖς οἱ παριόντες] Scilicet ἐπὶ τὸ βῆμα, οἱ λέγοντες, οἱ ῥήτορες, οἱ συμβουλεύοντες. Idem.

Ἀφέσταμεν] Κατὰ συγκοπὴν, ἀντὶ τοῦ ἀφεστήκαμεν. ἀορ. β'. esset ἀπέστημεν, διὰ τοῦ π'. καὶ η. Idem.

Ὡς δεινὰ καὶ χαλεπὰ] Scilicet ἐστὶν, ἃ ποιεῖ. Idem.

Οἱ καθήμενοι] Scilicet ἐν τῇ ἐκκλησίᾳ, οἱ ἀκούοντες. Idem.

λίππου παρεσκεύασθε, ὡς δὲ κωλύσαιτ' ἂν ἐκεῖνον πράττειν ταῦτα ἐφ' ὧν ἐστὶ νῦν, παντελῶς ἀργῶς ἔχετε. συμβαίνει δὴ πρᾶγμα ἀναγκαῖον, οἶμαι, καὶ ἴσως εἰκός· ἐν οἷς ἑκάτεροι διατρίβετε καὶ περὶ ἃ σπουδάζετε, ταῦτ' ἄμεινον ἑκατέροις ἔχει, ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν δ' οἱ λόγοι. εἰ μὲν οὖν καὶ νῦν λέγειν δικαιότερα ὑμῖν ἐξαρκεῖ, ῥᾴδιον, καὶ πόνος οὐδεὶς πρόσεστι τῷ πράγματι· εἰ δ' ὅπως τὰ παρόντ' ἐπανορθωθήσεται, δεῖ σκοπεῖν, καὶ μὴ προελθόντα ἔτι πορρωτέρω λήσει πάντας ἡμᾶς, μηδ' ἐπιστήσεται μέγεθος δυνάμεως πρὸς ἣν οὐδ' ἀντᾶραι δυνησόμεθα, οὐχ ὁ αὐτὸς τρόπος ὅς περ πρότερον τοῦ [1] βουλεύεσθαι, ἀλλὰ καὶ τοῖς λέγουσιν ἅπασι καὶ τοῖς ἀκούουσιν ὑμῖν τὰ βέλτιστα καὶ τὰ [2] σώσοντ' ἀντὶ τῶν ῥᾴστων καὶ τῶν ἡδίστων προαιρετέον.

β'. Πρῶτον μὲν οὖν, εἴ τις, ὦ ἄνδρες Ἀθηναῖοι, θαῤῥεῖ ὁρῶν ἡλίκος ἤδη καὶ ὅσων κύριός ἐστι Φίλιππος, καὶ μηδένα οἴεται κίνδυνον φέρειν τοῦτο τῇ πόλει μηδ' ἐφ' ὑμᾶς πάντα ταῦτα παρασκευάζεσθαι, θαυμάζω, καὶ δεηθῆναι πάντων ὁμοίως ὑμῶν βούλομαι τοὺς λογισμοὺς ἀκοῦσαί μου διὰ βραχέων, δι' οὓς τἀναντία [3] ἐμοὶ παρέστηκε προσδοκᾶν καὶ δι' [4] ὧν ἐχθρὸν ἡγοῦμαι Φίλιππον, ἵν' ἐὰν μὲν ἐγὼ δοκῶ [5] βέλτιον προορᾶν, ἐμοὶ πεισθῆτε, ἐὰν δ' οἱ θαῤῥοῦντες καὶ πεπιστευκότες αὐτῷ, τούτοις πρόσθησθε. Ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, λογίζομαι, τίνων ὁ Φίλιππος κύριος πρῶτον μετὰ τὴν εἰρήνην κατέστη; Πυλῶν καὶ τῶν ἐν Φωκεῦσι πραγμάτων.

[1] βουλεύσασθαι [2] σώσαντ' ἂν ἀντὶ [3] μοι [4] οὓς [5] βέλτιον τῶν ἄλλων προορᾶν

Ἐφ' ὧν ἐστὶ νῦν] Ἃ πράττει, περὶ ἃ σπουδάζει καὶ ἀσχολεῖται. Idem.

Ἀργῶς ἔχετε] Ἀργοὶ ἐστέ. Idem.

Συμβαίνει πρᾶγμα, etc. ἔχειν ἄμεινον] Συμβαίνει πρᾶγμα· τὸ ποῖον; τὸ ἔχειν ἄμεινον, κατ' ἐπεξήγησιν, ὥστε ἔχειν ἄμεινον. Idem.

Ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν δ' οἱ λόγοι] S. ἄμεινον ἔχουσιν. Idem.

Καὶ πόνος οὐδεὶς] Res facilis et nullius negotii est. Idem.

Καὶ μὴ προελθόντα] Ὅπως μὴ τὰ πράγματα προελθόντα λήσει ἡμᾶς, μὴ προέλθοι οὐκ αἰσθομένων ἡμῶν. Idem.

Ἐπιστήσεται] S. Ὁ φίλιππος. *ne adducat contra nos*, vel μέγεθος δυνάμεως ἐπιστήσεται, *ne magnitudo copiarum ingruat*, id est, ne tantis copiis et viribus oppugnemur. Idem.

Οὐδ' ἀντᾶραι] Οὐδὲ παρατάξασθαι, καὶ ἀντεπεξιέναι τοῖς πολεμίοις, διὰ τὸ μὴ ἀξιομάχους ἐκείνοις εἶναι. Idem.

Τὰ σώσοντα] Τὰ σωτήρια, *salutaria*. Idem.

Ἀντὶ τῶν ῥᾴστων προαιρετέον] Compositum pro simplici κατὰ πλεονασμόν. Sic Isocratis Panegyrico: ἅμα τούτους καλλίστους εἶναι τῶν λόγων προκρίνας, etc. Idem.

β'. Ἐφ' ὑμᾶς] Καθ' ὑμῶν, εἰς τὸ καταδουλώσασθαι ὑμᾶς. Idem.

Μοὶ παρέστηκε προσδοκᾶν] Sic γ'. (β'.) ὀλ. οὐ ταὐτὰ παρίσταταί μοι γινώσκειν. Idem.

Βέλτιον τῶν ἄλλων προορᾶν] S. τὰ μέλλοντα. et βέλτιον ἀντὶ τοῦ μᾶλλον. Idem.

Οἱ θαῤῥοῦντες] S. αὐτῷ, aut absolute, οἱ μηδὲν δεδιότες, *securi, imperterriti*. Idem.

Τῶν ἐν φωκεῦσι πραγμάτων] Τῆς ἀμφικ

τί οὖν; πῶς τούτοις ἐχρήσατο; ἃ Θηβαίοις συμφέρει καὶ οὐχ ἃ τῇ πόλει πράττειν προείλετο. τί δή ποτε; ὅτι πρὸς πλεονεξίαν, οἶμαι, καὶ τὸ πάνθ' ὑφ' ἑαυτῷ ποιήσασθαι τοὺς λογισμοὺς ἐξετάζων, καὶ οὐχὶ πρὸς εἰρήνην οὐδ' ἡσυχίαν οὐδὲ δίκαιον οὐδέν, εἶδε τοῦτο ὀρθῶς, ὅτι τῇ μὲν ἡμετέρᾳ πόλει καὶ [1] τοῖς ἤθεσι τοῖς ἡμετέροις οὐδὲν ἂν ἐνδείξαιτο [2] τοσοῦτον οὐδὲ ποιήσειεν, ὑφ' οὗ πεισθέντες ὑμεῖς τῆς ἰδίας ἕνεκ' ὠφελείας τῶν ἄλλων τινὰς Ἑλλήνων ἐκείνῳ πρόοισθε, ἀλλὰ καὶ τοῦ δικαίου λόγον ποιούμενοι, καὶ τὴν προσοῦσαν ἀδοξίαν τῷ πράγματι φεύγοντες, καὶ πάνθ' ἃ προσήκει προορώμενοι, ὁμοίως ἐναντιώσεσθε, ἄν τι τοιοῦτον ἐπιχειρῇ πράττειν, ὥς περ ἂν εἰ πολεμοῦντες τύχοιτε· τοὺς δὲ Θηβαίους ἡγεῖτο, ὅ περ συνέβη, ἀντὶ τῶν ἑαυτοῖς γιγνομένων τὰ λοιπὰ ἐάσειν ὅπως βούλεται πράττειν αὐτόν, καὶ οὐχ ὅπως ἀντιπράξειν καὶ διακωλύσειν, ἀλλὰ καὶ συστρατεύσειν, ἂν [3] αὐτοὺς κελεύῃ. καὶ νῦν τοὺς Μεσσηνίους καὶ τοὺς Ἀργείους ταὐτὰ ὑπειληφὼς εὖ ποιεῖ. ὃ καὶ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον, ὦ ἄνδρες Ἀθηναῖοι· κέκρισθε γὰρ ἐκ τούτων τῶν ἔργων μόνοι τῶν [4] πάντων μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλλήνων προέσθαι, μηδ' ἀνταλλάξασθαι μηδεμιᾶς χάριτος μηδ' ὠφελείας τὴν εἰς τοὺς Ἕλληνας εὔνοιαν. καὶ ταῦτ' εἰκότως καὶ περὶ ὑμῶν οὕτως ὑπείληφε καὶ κατ' Ἀργείων καὶ Θηβαίων ὡς ἑτέρως, οὐ μόνον εἰς τὰ παρόντα ὁρῶν, ἀλλὰ καὶ τὰ πρὸ τούτων λογιζόμενος. εὑρίσκει γάρ, οἶμαι, καὶ ἀκούει τοὺς μὲν ὑμετέρους προγόνους, ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων, ὥστ' αὐτοὺς ὑπακούειν

[1] τοῖς ἡμετέροις ἤθεσιν [2] τοιοῦτον [3] αὐτὸς [4] ἁπάντων

τυσιίας, καὶ τῆς διαθέσεως τῶν πυθίων, μᾶλλον δὲ, ὅλης τῆς φωκίδος. Idem.

Τοὺς λογισμοὺς ἐξετάζων] Λογιζόμενος, καὶ σκοπῶν, πῶς ἂν πλεονεκτήσειε; τοὺς λογισμοὺς ἀναφέρων ἐπὶ πλεονεξίαν. Idem.

Τοῖς ἡμετέροις ἤθεσι] Ἀντὶ τοῦ, ἡμῖν τοῖς τοιαῦτα ἤθη ἔχουσι. Idem.

Ὥσπερ ἂν] S. ἠναντιώθητε. Idem.

Καὶ οὐχ ὅπως] Οὐ μόνον οὐκ, ἀλλὰ καί. Idem.

Ταὐτὰ ὑπειληφὼς] *Eadem sentiens.* Idem.

Ὃ καὶ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον] Καθ' ὑμῶν, ἀντὶ τοῦ, ὑμέτερον, ἢ ὑμῶν, τὸ κατὰ, ἀντὶ τοῦ ὑπὲρ, in bonam partem. paulo post aliter, ὑπείληφε περὶ ὑμῶν, in bonam: κατ' ἀργείων, in malam. Idem.

Κέκρισθε προέσθαι] Ἀντὶ τοῦ, κέκρικε φίλιππος ὑμᾶς προήσεσθαι. Idem.

Ὡς ἑτέρως] Τὸ ὡς abundat eleganter. Idem.

Ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν] Fides sit penes autorem. Scribit idem Isocrates in Panegyrico. Sed Herodotus hujus rei nullam, quod sciam, facit mentionem. Idem.

Ὑπακούειν βασιλεῖ] Πειθαρχεῖν. Dicitur etiam ὑπακούω σοῦ, ut Thucydides, ὑπακούοντες τῶν ἀθηναίων. Idem.

βασιλεῖ, οὐ μόνον οὐκ ἀνασχομένους τὸν λόγον τοῦτον, ἡνίκ' ἦλθεν Ἀλέξανδρος ὁ τούτων πρόγονος περὶ τούτων κῆρυξ, ἀλλὰ καὶ τὴν πόλιν ἐκλιπεῖν προελομένους καὶ παθεῖν ὁτιοῦν ὑπομείναντας καὶ μετὰ ταῦτα πράξαντας ταῦθ', ἃ πάντες μὲν ἀεὶ γλίχονται λέγειν, ἀξίως δ' [1] οὐδεὶς εἰπεῖν δεδύνηται, διόπερ κἀγὼ παραλείψω, δικαίως· ἔστι γὰρ μείζω τἀκείνων ἔργα ἢ ὡς τῷ λόγῳ τις ἂν εἴποι· τοὺς Θηβαίων καὶ Ἀργείων προγόνους τοὺς μὲν συστρατεύσαντας τῷ βαρβάρῳ, τοὺς δ' οὐκ ἐναντιωθέντας. οἶδεν οὖν ἀμφοτέρους ἰδίᾳ τὸ λυσιτελοῦν ἀγαπήσοντας, οὐχ ὅ τι συνοίσει κοινῇ τοῖς Ἕλλησι σκεψομένους. ἡγεῖτ' οὖν, εἰ μὲν ὑμᾶς ἕλοιτο φίλους, ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι, εἰ δ' ἐκείνοις [2] προσθεῖτο, συνεργοὺς ἕξειν τῆς αὑτοῦ πλεονεξίας. διὰ ταῦτ' ἐκείνους ἀνθ' ὑμῶν καὶ τότε καὶ νῦν αἱρεῖται. οὐ γὰρ δὴ τριήρεις γε ὁρᾷ πλείους αὐτοῖς ἢ ὑμῖν [3] οὔσας· οὐδ' ἐν μὲν τῇ μεσογείᾳ τιν' ἀρχὴν εὕρηκε, τῆς δ' ἐπὶ τῇ θαλάττῃ καὶ τῶν ἐμπορίων ἀφέστηκεν· οὐδ' ἀμνημονεῖ τοὺς λόγους οὐδὲ τὰς ὑποσχέσεις ἐφ' αἷς τῆς εἰρήνης ἔτυχεν.

γ'. Ἀλλὰ νὴ Δί', εἴποι τις ἂν ὡς πάντα ταῦτ' εἰδώς, οὐ πλεονεξίας ἕνεκεν οὐδ' ὧν ἐγὼ κατηγορῶ τότε ταῦτ'

[1] εἰπεῖν οὐδεὶς [2] πρόσθοιτο [3] ἐνούσας

Ἀλέξανδρος ὁ τούτων πρόγονος] Forlasse τούτου, aut τούτων, τῶν μακεδόνων: Series generis, Amyntas, Alexander, Amyntas, Philippus, Alexander. Vide Herodoti Polymniam. Idem.

Τούτων] *Istorum*, i. e. regum macedonicorum, Amyntæ, Philippi, et reliquorum. Nonnulli codd. dant τούτου, *istius*, i. e. solius Philippi. Harpocratio dat τούτων ut vulgata, hunc locum commemorans in voce Ἀλέξανδρος, ubi, qui ille fuerit, docet. Auger.

Περὶ τούτων κῆρυξ] In codicibus nonnullis legitur τούτου, *istius*. Demosthenes præ contemptu vocat Alexandrum non ΠΡΕΣΒΥΝ, *legatum*, sed ΚΗΡΥΚΑ, *præconem*, *nuncium:* quasi Mardonii mancipium. Herodotus rem totam narrat, l. 8. et 9. *Ex edit.* Stock.

Ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι] Eam amicitiam justitiæ limites non excessuram: vos neque ministros libidinum fore, neque adjutores ad injurias. Wolf.

Τριήρεις ἐνούσας] Fortasse οὔσας, aut παρούσας. Quomodo enim triremes inerunt Thebanis, aut Argivis? Idem.

Οὐ γὰρ δὴ τριήρεις γε ὁρᾷ πλείους αὐτοῖς ἢ ὑμῖν] Mari admodum pollebant Athenienses. In pugna Salaminia, ex classe Græcorum integra 300 triremium, 200 Athenienses. In expeditionem Syracusanam 300 naves emiserunt. Et classis eorum usque ad 400 deinde aucta fuit. *Ex edit.* Stock.

Οὐδ' ἐν μὲν τῇ μεσογείᾳ] Sententia est: cum Philippus terra imperium affectet, multo magis eum velle mari dominari. sed quanquam vos ad parandum maris imperium sibi novit esse opportunissimos, tamen diffidit vestræ integritati. Wolf.

Οὐδ' ἀμνημονεῖ] Hoc est, mavult fidem frangere, quam nos, qui adjutores injuriarum non sumus, habere amicos, et devincire sibi beneficiis. ἔτυχεν dixit, ut significet, Athenienses precibus et pollicitationibus Philippi victos, pacem ei concessisse, cum ipsi bello essent superiores, ac minime defatigati. Idem.

γ'. Πάντα ταῦτα εἰδὼς] Et majorum nostrorum virtutis gnarus, nec oblitus pollicitationum. Idem.

ἔπραξεν, ἀλλὰ τῷ δικαιότερ' ἀξιοῦν τοὺς Θηβαίους ἢ ὑμᾶς. Ἀλλὰ τοῦτον καὶ μόνον πάντων τῶν λόγων οὐκ ἔνεστ' αὐτῷ νῦν εἰπεῖν· ὁ γὰρ Μεσσήνην Λακεδαιμονίους ἀφιέναι κελεύων, πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς τῷ δίκαια [1] νομίζειν ταῦτ' εἶναι πεποιηκέναι σκήψαιτο; Ἀλλ' ἐβιάσθη νὴ Δία—τοῦτο γάρ ἐσθ' ὑπόλοιπον—καὶ παρὰ γνώμην, τῶν Θετταλῶν ἱππέων καὶ τῶν Θηβαίων ὁπλιτῶν ἐν μέσῳ ληφθείς, συνεχώρησε ταῦτα. Καλῶς. οὐκοῦν φασὶ μὲν μέλλειν πρὸς τοὺς Θηβαίους αὐτὸν ὑπόπτως ἔχειν, καὶ λογοποιοῦσι [2] περιιόντες τινὲς ὡς Ἐλάτειαν τειχιεῖ· ὁ δὲ ταῦτα μὲν μέλλει καὶ μελλήσει γε, ὡς ἐγὼ κρίνω, τοῖς Μεσσηνίοις δὲ καὶ τοῖς Ἀργείοις ἐπὶ τοὺς Λακεδαιμονίους συνεισβάλλειν οὐ μέλλει, ἀλλὰ καὶ ξένους εἰσπέμπει καὶ χρήματ' ἀποστέλλει καὶ δύναμιν μεγάλην ἔχων αὐτός ἐστι προσδόκιμος. τοὺς [3] μὲν ὄντας ἐχθροὺς Θηβαίων Λακεδαιμονίους ἀναιρεῖ, οὓς δ' ἀπώλεσεν αὐτὸς πρότερον Φωκέας νῦν σώζει; καὶ τίς ἂν ταῦτα πιστεύσειεν; ἐγὼ μὲν γὰρ [4] οὐδ' ἂν ἡγοῦμαι Φίλιππον, οὔτ' εἰ τὰ πρῶτα βιασθεὶς ἄκων ἔπραξεν οὔτ' ἂν εἰ νῦν ἀπεγίγνωσκε Θη-

[1] νομίζων [2] τινες περιιόντες [3] μὲν οὖν ὄντας [4] οὐκ

Ἀλλὰ τῷ δικαιοτέρους ἀξιοῦν] Ἀντὶ τοῦ κρίνειν, durum videtur, *quod justiores judicaret Thebanos.* Malim, τῷ δικαιότερ' ἀξιοῦν, *quod æquiora postularent.* Idem.

Ἀλλὰ τῷ δικαιότερα ἀξιοῦν τοὺς Θηβαίους ἢ ἡμᾶς] Societatis cum Thebanis initæ causam honestam præ se tulit Philippus: nempe ut de iis, qui Apollinem et templum Delphicum violassent, pœnas repeteret. Oratori haudquaquam esset commodum, hoc fusius exponere in concilio populi: hac itaque voce indefinita rem totam præcidit. *Ex edit.* Stock.

Μεσσήνην] Vide Archidamum Isocratis. Wolf.

Ὁ γὰρ Μεσσήνην Λακεδαιμονίοις] Eodem quippe jure Lacedæmonii Messenem vindicabant, quo Thebani Bœotiæ urbes memoratas. Lacedæmonii sibi arrogabant principatum Peloponnesi; Thebani autem, Bœotiæ. *Ex edit.* Stock.

Λακεδαιμονίοις κελεύων ἀφιέναι] Κελεύω σοὶ ferri potest. Sed malim λακεδαιμονίους. Wolf.

Ἀλλ' ἐβιάσθη, νὴ Δία] Ironica refutatio. Hic observabis formulas ὑπόπτως ἔχειν πρός τινα, pro ὑποπτεύειν, *suspectum habere, diffidere.* Deinde verba μέλλει, μελλήσει, οὐ μέλλει. Significat μέλλω et futurum tempus et moram. Eleganter igitur ludit amphibolia significationis. Sic in oratione περὶ τῶν ἐν χεῤῥονήσῳ· ὡς καὶ τοῦ μελλῆσαι δώσοντι δίκην, *ut qui rationem reddere cogatur etiam de futuro,* id est, de his, quæ acturus esse putatur, aut dicitur. Idem.

Ἐλάτειαν] Urbs præcipua Phocidis, et propter situm reprimendis Thebanis apprime accommodata. Hac de causa Philippus, paucis abhinc annis, cum perspiceret Thebanos a se alienari, Elateam improviso occupavit. *Ex edit.* Stock.

Ἐστι προσδόκιμος] Προσδοκᾶται, *exspectatur, est in expectatione:* sperant eum cum magnis copiis adventare. Wolf.

Τοὺς μὲν οὖν ὄντας] Refutat fabulas quorundam, ut absurdas et repugnantes. Sententia est: cum hostes Thebanorum reliquos, Lacedæmonios, tollere studeat e medio, qui consentaneum est, eum Phocenses pene ad internecionem, in gratiam Thebanorum, deletos, velle in integrum restituere? Idem.

Ἀπεγίνωσκε] Si eos improbaret et suspectos haberet, si eis diffideret. Idem.

βαίους, τοῖς ἐκείνων ἐχθροῖς συνεχῶς ἐναντιοῦσθαι, ἀλλ' ἀφ' ὧν νῦν ποιεῖ, κἀκεῖνα ἐκ προαιρέσεως δῆλός ἐστι ποιήσας. ἐκ πάντων δ', ἄν τις ὀρθῶς [1] θεωρῇ, πάντα πραγματεύεται κατὰ τῆς πόλεως συντάττων. καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τιν' αὐτῷ νῦν γε δὴ συμβαίνει. λογίζεσθε γάρ. ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους [2] ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτο αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει χρῆσθαι, τούτοις πάντα τἆλλα ἀσφαλῶς κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτίδαιαν προεῖτο, οὐδ' ἂν οἴκοι μένειν βεβαίως [3] ἡγεῖτο. ἀμφότερα οὖν οἶδε, καὶ ἑαυτὸν ὑμῖν ἐπιβουλεύοντα καὶ ὑμᾶς αἰσθανομένους. εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων, δικαίως ἂν αὐτὸν μισεῖν νομίζει καὶ παρώξυνται, πείσεσθαί τι κακὸν προσδοκῶν, ἂν καιρὸν λάβητε, ἐὰν μὴ [4] φθάσῃ ποιήσας πρότερος. διὰ ταῦτ' ἐγρήγορεν, ἐφέστηκεν, ἐπὶ τῇ πόλει θεραπεύει τινὰς Θηβαίων καὶ Πελοποννησίων τοὺς ταὐτὰ βουλομένους τούτοις, οὓς διὰ μὲν πλεονεξίαν τὰ παρόντα ἀγαπήσειν οἴεται, διὰ δὲ σκαιότητα τρόπων τῶν μετὰ ταῦτ' οὐδὲν προόψεσθαι. Καί τοι σωφρονοῦσί γε καὶ μετρίως ἐναργῆ παραδείγματ' ἔστιν ἰδεῖν, ἃ καὶ πρὸς Μεσσηνίους καὶ πρὸς Ἀργείους ἔμοιγ' εἰπεῖν συνέβη· βέλτιον δ' ἴσως καὶ πρὸς ὑμᾶς ἐστὶν εἰρῆσθαι.

δ'. Πῶς γὰρ οἴεσθ', ἔφην, ὦ ἄνδρες Μεσσήνιοι, δυσχερῶς

[1] θεωροίη, ὅτι πάντα [2] ὑπειληφὼς [3] ἡγοῖτο [4] πρότερος φθάσῃ ποιήσας

Ἐκ πάντων δ', ἅ τις ὀρθῶς θεωροίη] Puto legendum, ἐκ πάντων δ' (ἄν τις ὀρθῶς θεωροίη) δῆλον, ὅτι πάντα πραγματεύεται, κατὰ τῆς πόλεως συντάττων. S. ἑαυτὸν, ἢ αὐτὰ, ἀντὶ τοῦ, συνταττόμενος, ἢ παρασκευαζόμενος. *Adjungit sibi socios*, per quos nos oppugnet. Felicianus habet, ἐκ πάντων δ' ἄν τις ὀρθῶς θεωροίη, ὅτι. Quod ferri potest, si τὸ ὀρθῶς deleatur. Idem.

Καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τινὰ] Sic C. Memmius apud Sallustium in Jugurthino : *Nam fidei quidem et concordiæ quæ spes est? Dominari illi volunt, vos liberi esse : facere illi injurias, vos prohibere. Potestne in tam diversis ingeniis pax aut amicitia esse?* Idem.

Τοὺς ταὐτὰ βουλομένους τούτοις] Τοὺς ὁμονοοῦντας Θηβαίοις. Idem.

Οὓς διὰ μὲν πλεονεξίαν τὰ παρόντα ἀγαπήσειν οἴεται] *Contentos fore præsenti rerum statu.* ἀγαπῶ cum dativo, et Attice per accusativum, *acquiesco, contentus sum*, ut ἀγαπῶ τοῖς δεδιῃτημένοις, *acquiesco arbitrorum sententia.* ἀγαπῶ τὴν κρίσιν ἢ τὰ ἐγνωσμένα, hoc est, *provocare nolo.* Isocrat. ὥστε καὶ τοὺς ἀφεστῶτας μηκέτι τὴν ἐλευθερίαν ἀγαπᾶν, ἀλλ' ἤδη καὶ τῶν ὁμόρων ζητεῖν ἐπάρχειν. *Ita ut qui ab eis desciverant, non jam acquiescerent in libertate, nisi etiam finitimis imperarent. Ex edit.* Wolf.

Ἃ καὶ πρὸς Μεσσηνίους] Cum primum Philippus harum civitatum cum Lacedæmone controversiis se immiscere cœpit, Athenienses in Peloponnesum legationem miserunt, ut et ejus opes et gratiam minuerent, et Argivos Messeniosque monerent, ne istiusmodi omnino uterentur arbitro. Hoc tempore habita fuit oratio cujus jam pars citatur. [* Vid. Leland. Vit. Phil. IV. 1. S.] *Ex edit.* Stock.

ἀκούειν Ὀλυνθίους, εἴ τίς τι λέγοι κατὰ Φιλίππου κατ' ἐκείνους τοὺς χρόνους, ὅτ' Ἀνθεμοῦντα μὲν αὐτοῖς ἠφίει, [1] ἧς πάντες οἱ πρότερον Μακεδονίας βασιλεῖς ἀντεποιοῦντο, Ποτίδαιαν δ' ἐδίδου τοὺς Ἀθηναίων ἀποίκους ἐκβαλών, καὶ τὴν μὲν ἔχθραν τὴν πρὸς ἡμᾶς αὐτὸς ἀνῄρητο, τὴν χώραν δ' ἐκείνοις ἐδεδώκει καρποῦσθαι; ἆρα προσδοκᾶν αὐτοὺς τοιαῦτα πείσεσθαι, ἢ λέγοντος ἄν τινος πιστεῦσαι; οὐκ οἴεσθέ γε. ἀλλ' ὅμως, ἔφην ἐγώ, μικρὸν χρόνον τὴν ἀλλοτρίαν καρπωσάμενοι πολὺν τῆς ἑαυτῶν ὑπ' ἐκείνου στέρονται, αἰσχρῶς ἐκπεσόντες, οὐ κρατηθέντες μόνον ἀλλὰ καὶ προδοθέντες ὑπ' ἀλλήλων καὶ πραθέντες· οὐ γὰρ ἀσφαλεῖς ταῖς πολιτείαις αἱ πρὸς τοὺς τυράννους αὗται λίαν ὁμιλίαι. Τί δ' οἱ Θετταλοί; ἆρ' οἴεσθ', ἔφην, ὅτ' [2] αὐτοῖς τοὺς τυράννους [3] ἐξέβαλλε καὶ πάλιν Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου, προσδοκᾶν τὴν καθεστῶσαν νῦν δεκαδαρχίαν ἔσεσθαι παρ' αὐτοῖς; ἢ τὸν τὴν Πυλαίαν ἀποδόντα, τοῦτον τὰς ἰδίας αὐτῶν προσόδους παραιρήσεσθαι; οὐκ ἔστι ταῦτα. ἀλλὰ μὴν γέγονε ταῦτα καὶ πᾶσίν ἐστιν εἰδέναι. ὑμεῖς δ', ἔφην ἐγώ, διδόντα μὲν καὶ ὑπισχνούμενον

[1] οὗ [2] αὐτῶν [3] ἐξέβαλε

δ'. Ἀνθεμοῦντα] Urbs ista Macedoniæ regibus parebat antiquitus. Testatur enim Herodotus, 200 annis antea, Amyntam ejus copiam fecisse Hippiæ Pisistrati filio. *Ibid.*

Τὴν πρὸς ὑμᾶς αὐτὸς] Malim ἡμᾶς, ut de Atheniensium inimicitiis, a Philippo propter Potidæam susceptis, intelligatur. WOLF.

Πολὺν τῆς ἑαυτῶν] Μᾶλλον δὲ τὸν πάντα. Neque enim (quod sciam) instaurata est Olynthus illa ætate. IDEM.

Ὑπ' ἀλλήλων] A Lasthene et Euthycrate. IDEM.

Νίκαιαν] Urbs Locrensis, quam in ditionem Philippo dederat Phalecus sub finem belli sacri. [* Nicææ dono rex callidus omnem de se amovere studuit suspicionem, si quam Thessali haberent. Munitissimum quippe iis locum, et in ipsis Thermopylarum angustiis positum, tradidit. *Lucches.* S.] *Ex edit.* STOCK.

Δεκαδαρχίαν] Decemviratum nunc apud eos institutum. Philippum decuriones singulis civitatibus præfecisse intelligo, id quod et Lacedæmonii fecerunt. WOLF.

Δεκαδαρχίαν] Legendum potius (cum Harpocratione) τετραδαρχίαν. Thessalia quippe revera fuit divisa in quatuor regiones, quarum unicuique tyrannum præposuit Philippus. Et Demosthenes, de hac re in Philippica tertia locutus, disertis verbis dicit, ΤΕΤΡΑΔΑΡΧΙΑΣ κατέστησε παρ' αὐτοῖς. [Conciliat hæc Lelandus (V. Phil. Tom. II. p. 109) ponendo, Philippum universam primo Thessaliam in *quatuor* regiones, seu præfecturas, distribuisse; quibus deinde singulis *denos* homines præposuit. Ad hunc modum Lacedæmonios civitates sibi subjectas decemvirorum arbitrio permisisse, testis est Harpocratio, voce δεκαδαρχία. S.] *Ex edit.* STOCK.

Τὴν Πυλαίαν ἀποδόντα] Hinc apparet, eos Pylæam amissam recuperasse Philippi opera, cum et ipsi prius fuissent Pylagoræ. WOLF.

Τὴν Πυλαίαν ἀποδόντα] Per *Pylæam* hoc loco designari censet Lucchesinius, non senatoriam in Pylis auctoritatem, quam tum temporis obtinuisse Thessalos nemo dubitat, verum aliquam donorum partem, aut pecuniæ munus, quibus rex frueretur, ut Pythiorum ludorum præses. Rectius enim opponitur Thessalorum *vectigalibus* aliquod pecuniæ aut rerum emolumentum, quam Amphictyonica *dignitas.* STOCK.

θεωρεῖτε Φίλιππον, ἐξηπατηκότα δ' ἤδη καὶ παρακεκρουσμένον ἀπεύχεσθε, ἂν σωφρονῆτ', ἰδεῖν. Ἔστι τοίνυν νὴ Δί', ἔφην ἐγώ, παντοδαπὰ εὑρημένα ταῖς πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα καὶ τείχη καὶ τάφροι καὶ τἆλλα ὅσα τοιαῦτα. καὶ ταῦτα μέν ἐστιν ἅπαντα χειροποίητα καὶ [1] δαπάνης προσδεῖται· ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μέν ἐστ' ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους. τί οὖν [2] ἐστὶ τοῦτο; ἀπιστία. ταύτην φυλάττετε, ταύτης ἀντέχεσθε· ἐὰν ταύτην σώζητε, οὐδὲν δεινὸν μὴ πάθητε. [3] Τί ζητεῖτε; ἔφην. ἐλευθερίαν. εἶτ' οὐχ ὁρᾶτε Φίλιππον ἀλλοτριωτάτας ταύτῃ καὶ τὰς προσηγορίας ἔχοντα; βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸς ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος. οὐ φυλάξεσθ', ἔφην, ὅπως μὴ πολέμου ζητοῦντες ἀπαλλαγῆναι δεσπότην εὕρητε;

έ. Ταῦτ' ἀκούσαντες ἐκεῖνοι, καὶ θορυβοῦντες ὡς ὀρθῶς λέγεται, καὶ πολλοὺς ἑτέρους [4] λόγους παρὰ τῶν πρέσβεων καὶ παρόντος ἐμοῦ καὶ πάλιν [5] ὕστερον, ὡς ἔοικεν, οὐδὲν μᾶλλον ἀποσχήσονται τῆς Φιλίππου φιλίας οὐδ' ὧν ἐπαγγέλλεται. καὶ οὐ τοῦτό ἐστ' ἄτοπον, εἰ Μεσσήνιοι καὶ Πελοποννησίων τινὲς παρ' ἃ τῷ λογισμῷ βέλτισθ' ὁρῶσί [τι] πράξουσιν, ἀλλ' εἰ [6] ὑμεῖς οἱ καὶ συνιέντες αὐτοὶ καὶ τῶν λεγόντων ἀκούοντες ἡμῶν, ὡς ἐπιβουλεύεσθε, ὡς περιστοιχίζεσθε, ἐκ τοῦ μηδὲν ἤδη ποιεῖν [7] λήσεθ', ὡς ἐμοὶ δοκεῖ, [8] πάνθ' ὑπομείναντες· οὕτως ἡ παραυτίχ' ἡδονὴ καὶ ῥᾳστώνη μεῖζον ἰσχύει τοῦ ποθ' ὕστερον συνοίσειν μέλλοντος. Περὶ μὲν δὴ τῶν ὑμῖν πρακτέων καθ' ὑμᾶς αὐτοὺς ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε· ἃ δὲ νῦν ἀποκρινάμενοι τὰ δέοντ' ἂν εἴητ' ἐψηφισμένοι, ταῦτ' ἤδη λέξω.

[1] δαπάνης πολλῆς προσδεῖται [2] ἐστι [3] τί [οὖν] ζητεῖτε
[4] λόγους καὶ παρὰ [5] ὕστερον [ἀκούσαντες], ὡς [6] ὑμεῖς αὐτοὶ οἱ
[7] λήσετε [8] πάντα ταῦθ' ὑπομείναντες

Καὶ νόμοις ἐναντίος] Isocrates παραινέσει: ἰσχυρότατος νόμος ὁ τοῦ βασιλέως τρόπος. Wolf.

έ. Παρὰ τῶν πρέσβεων] *A legatis*, nempe ab iis qui una cum Demosthene ad Messenios legati fuerant, et quos Demosthenes illic reliquit prius discedens ob causam nobis ignotam. Auger.

Ἀποκρινάμενοι] Interpretatus sum quasi pro ἀποκρινάμενοι legeretur ἀνακρινάμενοι, *judicium habentes, quæstionem habentes*, aut ἀποκρινάμενοι posset eo sensu accipi. Idem.

Ταῦτ' ἤδη λέξω] Responsa hæc non sunt inserta huic orationi: sed illius loco insectatio legatorum. Wolf.

Ταῦτ' ἤδη λέξω] Etsi editorum nemo

ϛʹ. Ἦν μὲν οὖν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἐνεγκόντας τὰς ὑποσχέσεις, ἐφ᾽ αἷς ἐπείσθητε ποιήσασθαι τὴν εἰρήνην, καλεῖν· οὔτε γὰρ αὐτὸς ἄν ποτε ὑπέμεινα πρεσβεύειν, οὔτ᾽ ἂν [1] ὑμεῖς οἶδ᾽ ὅτι ἐπαύσασθε πολεμοῦντες, εἰ τοιαῦτα πράξειν τυχόντα εἰρήνης Φίλιππον ᾤεσθε· ἀλλ᾽ ἦν πολὺ τούτων ἀφεστηκότα τὰ τότε λεγόμενα. καὶ πάλιν γ᾽ ἑτέρους καλεῖν. τίνας; τοὺς ὅτ᾽ ἐγὼ γεγονυίας ἤδη τῆς εἰρήνης ἀπὸ τῆς ὑστέρας ἥκων πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, αἰσθόμενος φενακιζομένην τὴν πόλιν, προὔλεγον καὶ διεμαρτυρόμην καὶ οὐκ εἴων προέσθαι Πύλας οὐδὲ Φωκέας, λέγοντας ὡς ἐγὼ μὲν ὕδωρ πίνων εἰκότως δύσκολος καὶ δύστροπός εἰμί τις ἄνθρωπος, Φίλιππος δ᾽, ἅ περ εὔξαισθ᾽ ἂν ὑμεῖς, ἐὰν παρέλθῃ, πράξει, καὶ Θεσπιὰς μὲν καὶ Πλαταιὰς τειχιεῖ, Θηβαίους δὲ παύσει τῆς ὕβρεως, [2] Χεῤῥόνησον δὲ τοῖς [3] αὑτοῦ τέλεσι διορύξει, Εὔβοιαν δὲ καὶ τὸν Ὠρωπὸν ἀντ᾽ Ἀμφιπόλεως ὑμῖν ἀποδώσει· ταῦτα γὰρ ἅπαντα ἐπὶ τοῦ βήματος [4] ἐνταυθὶ μνημονεύετ᾽ οἶδ᾽ ὅτι ῥηθέντα, καί περ ὄντες οὐ δεινοὶ τοὺς ἀδικοῦντας μεμνῆσθαι. καὶ τὸ πάντων αἴσχιστον, καὶ τοῖς [5] ἐκγόνοις πρὸς τὰς ἐλπίδας τὴν αὐτὴν

[1] ὑμεῖς εὖ οἶδ᾽ [2] χεῤῥόννησον [3] αὐτοῦ [4] ἐνταυθοῖ μνημονεύετ᾽ εὖ οἶδ᾽· [5] ἐγγόνοις

hoc moneat, verisimile tamen videtur scribam hic loci de scripto recitasse Oratoris rogationem, juxta formulas: nisi credendum sit hanc orationem ad nos mutilam pervenisse: liquet enim inter hanc sententiam, et ea quæ sequuntur, nullum esse nexum. [Potuit utique Demosthenes sermonis filum abrumpere, ut isti adversariorum vellicationi aliquantum indulgeret; rogationem autem suam, peracta demum oratione, in medium proferre. S.] *Ex edit.* Stock.

ϛʹ. Καὶ πάλιν γ᾽ ἑτέρους] S. Δίκαιον ἂν ἦν. Wolf.

Ὡς ἐγὼ μὲν ὕδωρ πίνων] Orator quidam Philocrates, Philippi mercenarius, hujus scommatis auctor fuit. Res fusius narratur in oratione de falsa legatione. *Ex edit.* Stock.

Χεῤῥόνησον δὲ τοῖς αὐτοῦ τέλεσι διορύξει] Ταῖς ἰδίας δαπάναις. Cur vero? An ut Hellespontum immittat? an ad distinguendos Macedonum et Atheniensium limites? περὶ τῆς τοῦ ἰσθμοῦ διορυγῆς exstat Luciani libellus: et vetus oraculum:

Ἰσθμὸν δὲ μὴ πυργοῦτε, μήτ᾽ ὀρύσσετε.
Ὁ ζεύς γ᾽ ἔθηκε νῆσον, εἴγ᾽ ἐβούλετο.

Sed de Chersonesi perfossione vide orationem de Haloneso. Wolf.

Χεῤῥόνησον δὲ τοῖς αὑτοῦ τέλεσι διορύξει] Ut isthmus ille perfodiatur, e re fuit tum Atheniensium, quod perpetuis Thracum incursionibus viam muniret, tum Græcorum omnium, quibus litora semper legentibus difficile atque incommodum erat Athos et Chersonesi peninsulam navibus circuire. Stock.

Καίπερ ὄντες οὐ δεινοὶ μεμνῆσθαι] Ἐπιλανθάνεσθαι εἰωθότες. Wolf.

Πρὸς τὰς ἐλπίδας] Etiam posteros, ad quos pertinet ejus spei, quam vos habetis, hæreditas, isto fœdere obstrinxistis. Amplificatio dedecoris a longitudine temporis. Idem.

Πρὸς τὰς ἐλπίδας] *Propter has spes: hisce pollicitationibus adducti*—Wolfius vertit, *ad quos ejus spei, quam vos habetis, pertinet hæreditas.* Nos autem Lucchesinium et Olivetum sequimur. [Arbitror neque hos neque Wolfium sensum fuisse consecutos, qui idem est, ac si hoc modo instituta fuisset sententia: καὶ ταῖς τῶν ἐγγόνων ἐλπίσι προσεῖναι τὴν αὐτὴν εἰρήνην ταύτην προσεψηφίσασθε· *ut etiam nepotum vestrorum spei ca-*

εἰρήνην εἶναι ταύτην προσεψηφίσασθε· οὕτω τελέως ὑπήχθητε. Τί δὴ ταῦτα νῦν λέγω καὶ καλεῖν φημὶ δεῖν τούτους; ἐγὼ νὴ τοὺς θεοὺς τἀληθῆ μετὰ παῤῥησίας ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. οὐχ ἵν' εἰς λοιδορίαν ἐμπεσὼν ἐμαυτῷ μὲν ἐξ ἴσου λόγον παρ' ὑμῖν ποιήσω, τοῖς δ' ἐμοὶ προσκρούσασιν ἐξ ἀρχῆς [1] καὶ νῦν παράσχω πρόφασιν τοῦ [2] πάλιν τι λαβεῖν παρὰ Φιλίππου· οὐδ' ἵνα τηνάλλως ἀδολεσχῶ. ἀλλ' οἴομαί ποθ' ὑμᾶς λυπήσειν, ἃ Φίλιππος πράττει, μᾶλλον ἢ τὰ νυνί· τὸ γὰρ πρᾶγμα ὁρῶ προβαῖνον, καὶ οὐχὶ βουλοίμην μὲν ἂν εἰκάζειν ὀρθῶς, φοβοῦμαι δὲ μὴ λίαν ἐγγὺς ᾖ τοῦτ' ἤδη. ὅταν οὖν μηκέθ' ὑμῖν ἀμελεῖν ἐξουσία γίγνηται τῶν συμβαινόντων, μηδ' ἀκούηθ' ὅτι ταῦτ' ἐφ' ὑμᾶς ἐστὶν ἐμοῦ μηδὲ τοῦ δεῖνος, ἀλλ' αὐτοὶ πάντες ὁρᾶτε καὶ εὖ εἰδῆτε, ὀργίλους καὶ τραχεῖς ὑμᾶς ἔσεσθαι νομίζω. φοβοῦμαι [3] δὴ μὴ τῶν πρέσβεων σεσιωπηκότων ἐφ' οἷς αὑτοῖς συνίσασι δεδωροδοκηκόσι, τοῖς ἐπανορθοῦν τι πειρωμένοις τῶν διὰ τούτους ἀπολωλότων τῇ παρ' ὑμῶν ὀργῇ περιπεσεῖν συμβῇ· ὁρῶ γὰρ ὡς τὰ πολλὰ ἐνίους οὐκ εἰς τοὺς αἰτίους ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα μάλιστα τὴν ὀργὴν ἀφιέντας.

ζ΄. Ἕως οὖν ἔτι μέλλει καὶ συνίσταται τὰ πράγματα καὶ κατακούομεν ἀλλήλων, ἕκαστον ὑμῶν, καίπερ ἀκριβῶς εἰδότα, ὅμως ἐπαναμνῆσαι βούλομαι, τίς ὁ Φωκέας

[1] Desunt hæc καὶ νῦν, suffecto post πρόφασιν vocabulo καινὴν [2] πάλιν γέ τι [3] δὲ

dem ista pax tanquam pestis *adhæreat*, &c. Πρὸς τὰς ἐλπίδας εἶναι pro ταῖς ἐλπίσι προσεῖναι vulgatissima est apud optimæ notæ scriptores verborum compositorum resolutio. Quidam codd. habent ἐκγόνοις, sed male. Ἐγγόνοι enim, interprete Hesychio, sunt τὰ τέκνα τῶν τέκνων. S.] *Ex edit.* STOCK.

Πρὸς τὰς ἐλπίδας] Hoc intelligo quasi legeretur, ἐπὶ ταῖς ἐλπίσι, *vana spe, vanis promissis decepti.* AUGER.

Οὐχ ἵνα εἰς λοιδορίαν] Non tam ut passim dicatur in triviis: quam acriter insectatus est nos Demosthenes? quam est maledicus conviciator? quam, ut, ubi, quæ voluero, dixero, ea, quæ nolo, audiam. Nam Æschines vicissim pro concione Demosthenem insectatus fortassis esset. WOLF.

Οὐχ ἵνα . . . . ἐμαυτῷ μὲν] . . . *Non ut faciam ut ex æquo* (i. e. vicissim) *contra me apud vos dicatur.* AUGER.

Ἐξ ἀρχῆς κενὴν] *Inanem.* Alii καινὴν, *novam*, rectius, quam καὶ νῦν. et paulo post, pro τῶν αἰτίων σεσιωπηκότων, rectius legitur τῶν πρέσβεων. WOLF.

Ἢ τὰ νυνὶ] S. πεπαῤῥησιασμένα, *quam ea, quæ nunc a me sunt dicta liberius.* τὰ νῦν γιγνόμενα, vel τὰ νῦν, ἀντὶ τοῦ νῦν. *Aliquando ista vobis molestiora futura sunt, quam nunc sunt.* IDEM.

Εἰς τοὺς ὑπὸ χεῖρα] Hic locus facit, ut retinendam censeam in prima (tertia) Olynthiaca vocem ὑστάτους. ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας: ut significet, eos proxime dicta duntaxat meminisse: sicut vulgus nostrum, cum redit e concionibus. Sic in epistolis queritur, se ideo condemnatum esse, quod primus causam dixerit: impetu iracundiæ judicum in se effuso: in cæteris languefacto et restincto. IDEM.

[1] πείσας ὑμᾶς καὶ Πύλας προέσθαι, ὧν καταστὰς ἐκεῖνος κύριος τῆς ἐπὶ τὴν Ἀττικὴν ὁδοῦ καὶ τῆς εἰς Πελοπόννησον κύριος γέγονε, καὶ πεποίηχ᾽ ὑμῖν μηκέτι περὶ τῶν δικαίων [2] μηδ᾽ ὑπὲρ τῶν ἔξω πραγμάτων εἶναι τὴν βουλήν, ἀλλ᾽ ὑπὲρ τῶν ἐν τῇ χώρᾳ καὶ τοῦ πρὸς τὴν Ἀττικὴν πολέμου, ὃς λυπήσει μὲν ἕκαστον, ἐπειδὰν παρῇ, γέγονε δ᾽ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. εἰ γὰρ μὴ παρεκρούσθητε τόθ᾽ ὑμεῖς, οὐδὲν ἂν [3] ἦν τῇ πόλει πρᾶγμα· οὔτε γὰρ ναυσὶ δή που κρατήσας εἰς τὴν Ἀττικὴν ἦλθεν ἄν ποτε στόλῳ Φίλιππος, οὔτε πεζῇ βαδίζων ὑπὲρ τὰς Πύλας καὶ Φωκέας, ἀλλ᾽ ἢ τὰ δίκαι᾽ ἂν ἐποίει καὶ τὴν εἰρήνην ἄγων ἡσυχίαν εἶχεν, ἢ παραχρῆμ᾽ ἂν ἦν ἐν ὁμοίῳ πολέμῳ, δι᾽ ὃν τότε τῆς εἰρήνης ἐπεθύμησε. Ταῦτ᾽ οὖν, ὡς μὲν ὑπομνῆσαι, νῦν ἱκανῶς εἴρηται· ὡς δ᾽ ἂν ἐξετασθείη μάλιστ᾽ ἀκριβῶς, μὴ γένοιτο, ὦ πάντες θεοί. οὐδένα γὰρ βουλοίμην ἂν ἔγωγε, οὐδ᾽ εἰ δίκαιός ἐστ᾽ ἀπολωλέναι, μετὰ τοῦ πάντων κινδύνου καὶ τῆς ζημίας δίκην ὑποσχεῖν.

[1] καὶ Πύλας πείσας ὑμᾶς   [2] μήθ᾽   [3] ἦν νῦν τῇ

ζ. Περὶ τῶν δικαίων] Fortasse τῶν ἑλληνικῶν δικαίων, non de jure Græcorum tuendo, et exteris ditionibus defendendis. IDEM.

Ναυσὶ κρατήσας] Athenienses in mari fuerunt exercitatiores et melius instructi. IDEM.

Καὶ τῆς ζημίας] Μετὰ τῆς ζημίας τῶν ἁπάντων. IDEM.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΑΛΟΝΗΣΟΥ ΛΟΓΟΥ.

ΟΥΤΟΣ ὁ λόγος, ἐπιγράφεται μὲν, περὶ Ἁλοννήσου· τάχα δὲ ὀρθότερον ἐπιγράφειν, πρὸς τὴν ἐπιστολὴν τὴν Φιλίππου· πέπομφε γὰρ πρὸς τοῖς ἀθηναίοις ἐπιστολὴν περὶ πολλῶν διαλεγόμενος, ὧν ἕν ἐστι καὶ τὸ κατὰ τὴν Ἁλόννησον· ἥτις ἦν μὲν τῶν ἀθηναίων [1] κτῆμα, κατὰ δὲ τοὺς Φιλίππου καιροὺς, ὑπὸ λῃστῶν κατείχετο· οὓς ἐκβαλὼν ὁ Φίλιππος, ἀπαιτοῦσι μὲν τοῖς ἀθηναίοις τὴν νῆσον, οὐκ ἀποδίδωσιν· ἑαυτοῦ γὰρ εἶναί φησιν· αἰτοῦσι δὲ ὑπισχνεῖται δώσειν. ὁ δὲ λόγος οὐ δοκεῖ μοι Δημοσθένους εἶναι. δηλοῖ δὲ ἡ φράσις, καὶ ἡ τῆς συνθέσεως ἁρμονία, πολὺ τὸν δημοσθενικὸν πεφευγυῖα τύπον, ἀνειμένη τε, καὶ διαλελυμένη παρὰ τὴν ἰδέαν τούτου τοῦ ῥήτορος. καὶ μὴν καὶ τὸ ἐπὶ τέλει ῥηθὲν, οὐ μικρὸν μαρτύριον τοῦ νόθον εἶναι τὸν λόγον, εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις, καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε. ὁ μὲν γὰρ Δημοσθένης εἴωθε παῤῥησίᾳ χρῆσθαι, τοῦτο δὲ ὕβρις ἐστὶ, καὶ λοιδορία μέτρον οὐκ ἔχουσα. εὐτέλειά τε αὐτῷ δεινὴ πρόσεστι κατὰ τὴν ἑρμηνείαν. πρὸς δὲ τούτοις, καὶ εὔηθές τι νομίζεται, τὸ ἐν τοῖς κροτάφοις ἔχειν τοὺς ἀνθρώπους τὸν ἐγκέφαλον. ὑπώπτευσαν δὲ καὶ οἱ πρεσβύτεροι τὸν λόγον, ὡς οὐ τοῦ ῥήτορος. καὶ πεφωράκασί γέ τινες ὄντα Ἡγησίππου, καὶ ἀπὸ τῆς ἰδέας τῶν λόγων· τοιαύτῃ γὰρ κέχρηται· καὶ ἀπὸ τῶν πραγμάτων· κατὰ Καλλίππου γὰρ τοῦ παιανιέως φησὶν ὁ τὸν λόγον γεγραφὼς, ἀπενηνοχέναι γραφὴν παρανόμων. φαίνεται δὲ, οὐχ ὁ Δημοσθένης, ἀλλ' ὁ Ἡγήσιππος, τὴν κατὰ τοῦ Καλλίππου γραφὴν ἐνστησάμενος. νὴ δία, ἀλλ' ὁ λόγος συμβουλεύει περὶ τῆς Ἁλοννήσου τοῖς ἀθηναίοις μὴ λαμβάνειν αὐτὴν, ἀλλ' ἀπολαμβάνειν, καὶ διαφέρεται περὶ τῶν ὀνομάτων. ταῦτα δὲ Αἰσχίνης φησὶ τὸν Δημοσθένην συμβεβουλευκέναι τοῖς ἀθηναίοις. εἶτα τί τοῦτο; δύναται γὰρ τὴν αὐτὴν πεποιῆσθαι συμβουλὴν καὶ Δημοσθένης καὶ Ἡγήσιππος. ἐπεὶ καὶ τὰ ἄλλα τῆς αὐτῆς ἦσαν ἐν τῇ πολιτείᾳ προαιρέσεως, καὶ τοῖς φιλιππίζουσι τῶν ῥητόρων ἀντέλεγον. καὶ μέμνηται καὶ ὁ Δημοσθένης τοῦ Ἡγησίππου, ὡς καὶ πρεσβεύσαντος μεθ' ἑαυτοῦ, καὶ ἀντιταχθέντος τῷ μακεδόνι. δῆλον οὖν ὅτι, ὁ μὲν τοῦ Δημοσθένους λόγος ὁ περὶ τῆς Ἁλοννήσου ῥηθεὶς, οὐ σώζεται· ἐκείνου δὲ οὐκ ὄντος, τὸν εὑρεθέντα προσέθεσαν αὐτῷ, ἀφορμὴν ἔχοντες τὸ, περὶ Ἁλοννήσου λόγον εἰρῆσθαι τῷ ῥήτορι· οὐκέτι δὲ ἐξετάζοντες, εἰ τοῦτον εἰκὸς εἶναι τὸν ἐκείνου.

[1] ἀρχαῖον κτ.

Ἁλόννησος] *Insula salinarum*, ἀλωπεκόννησος, *vulpium*, μυόννησος, *murium*, προκόννησος, *cervorum*, πρὸξ γὰρ ἡ ἔλαφος. Wolf.

Ἀπαιτοῦσι μὲν] Observa argutias, αἰτεῖν, ἀπαιτεῖν, δοῦναι, ἀποδοῦναι, λαβεῖν, ἀπολαβεῖν. de quibus in vita Demosthenis diximus. Idem.

Εὐτέλειά τε αὐτῷ] S. τῷ λόγῳ. Idem.

Καὶ εὔηθες νομίζεται τὸ ἐν τοῖς κροτάφοις] Alii καὶ εὔηθες τὸ νομίζειν ἐν τοῖς κροτάφοις ἔχειν. Non usque adeo fortassis absurde dictum, cum priores duæ cerebri cavitates pene ad aures descendant. Profert autem animus, postquam efferbuit, ad ostendendam rei indignitatem, nonnunquam atrociora, cujusmodi fuit illud, quod Plutarchus refert ἔμμετρον Demosthenis jusjurandum : μὰ γῆν, μὰ κρήνας, μὰ ποταμοὺς, μὰ νάματα. Et senex ille apud Terentium exclamat : *O cœlum, o terra, o maria Neptuni!* Physici tradunt, sues et asinos cerebrum in temporibus habere : homines ibi duntaxat medullare cerebrum. Idem.

Ὡς οὐ τοῦ ῥήτορος] S. ὄντα, ἢ, ὅτι οὐκ ἔστι. Idem.

ΠΕΡΙ ΑΛΟΝΗΣΟΥ ΛΟΓΟΣ.

Ol. 109, 2.

ΆΝΔΡΕΣ Ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἱ αἰτίαι, ἃς Φίλιππος αἰτιᾶται τοὺς ὑπὲρ τῶν δικαίων πρὸς ὑμᾶς λέγοντας, κωλύσουσι, συμβούλους ἡμᾶς γίγνεσθαι ὑπὲρ τῶν ὑμῖν συμφερόντων· δεινὸν γὰρ ἂν εἴη, εἰ τὴν ἐπὶ τοῦ βήματος παῤῥησίαν αἱ παρ' ἐκείνου πεμπόμεναι ἐπιστολαὶ ἀνέλοιεν. ἐγὼ δ' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, βούλομαι, πρῶτον μὲν περὶ ὧν Φίλιππος ἐπέσταλκε, περὶ τούτων διεξελθεῖν· ὕστερον δὲ, περὶ ὧν οἱ πρέσβεις λέγουσι, καὶ ἡμεῖς λέξομεν· Φίλιππος γὰρ, ἄρχεται μὲν περὶ Ἁλοννήσου λέγων, ὡς ὑμῖν δίδωσιν ἑαυτοῦ οὖσαν· ὑμᾶς δὲ οὔ φησι δικαίως αὐτὸν ἀπαιτεῖν· οὐ γὰρ ὑμετέραν οὖσαν, οὔτε [1] λαβεῖν, οὔτε νῦν ἔχειν. ἔλεγε δὲ καὶ πρὸς ἡμᾶς τοιούτους λόγους, ὅτε πρὸς αὐτὸν ἐπρεσβεύσαμεν, ὡς λῃστὰς ἀφελόμενος ταύτην τὴν νῆσον κτήσαιτο, καὶ προσήκειν αὐτὴν ἑαυτοῦ εἶναι. τοῦτον δὲ τὸν λόγον ὡς οὐκ ἔστι δίκαιος, οὐ χαλεπόν ἐστιν αὐτοῦ ἀφελέσθαι· ἅπαντες γὰρ οἱ λῃσταί, τοὺς ἀλλοτρίους τόπους καταλαμβάνοντες, καὶ τούτους ὀχυροὺς ποιούμενοι, ἐντεῦθεν τοὺς ἄλλους κακῶς ποιοῦσιν. ὁ δὴ τοὺς λῃστὰς τιμωρησάμενος καὶ κρατήσας, οὐκ ἂν δήπου εἰκότα λέγοι, εἰ φαίη, ἃ ἐκεῖνοι ἀδίκως καὶ ἀλλότρια εἶχον, [2] ταῦτα ἑαυτοῦ γίγνεσθαι· εἰ γὰρ ταῦτα συγχωρήσετε, τί κωλύει, καὶ εἴ τινα τῆς Ἀττικῆς λῃσταὶ τόπον καταλάβοιεν, ἢ Λήμνου, ἢ Ἴμβρου, ἢ Σκύρου, καί τινες τούτους τοὺς λῃστὰς ἐκκόψαιεν, εὐθὺς καὶ τὸν τόπον τοῦτον οὗ ἦσαν οἱ λῃσταί, τὸν ὄντα ἡμέτερον, τῶν

[1] * τότε λαβ. [2] ταῦθ'

Οὔτε γὰρ ἡμετέραν οὖσαν, οὔτε λαβεῖν, οὔτε νῦν ἔχειν] Recte. Cur ea ignavia fuerunt Athenienses, ut nec sua tuerentur, nec mare pacatum redderent? Philippo certe gratia deberi, et sumtus in eam expeditionem facti restituendi videntur. Sed ignava superbia neutrum horum æquum esse censet. Wolf.

τιμωρησαμένων τοὺς λῃστὰς γίγνεσθαι. Φίλιππος δ᾽ οὐκ ἀγνοεῖ ταῦτα, οὐ δίκαια λέγων. ἀλλ᾽ εἰ καί τις ἄλλος ἐπιστάμενος, παρακρουσθῆναι ἂν ὑμᾶς οἴεται, ὑπὸ τῶν τὰ ἐνταῦθα διοικήσειν [1] μελλόντων, ὡς ἂν αὐτὸς ἐκεῖνος βούληται, καὶ πρὶν ὑπεσχημένων, καὶ νῦν δὲ πραττόντων. ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖνό γε λανθάνει αὐτὸν, ὅτι δι᾽ ἀμφοτέρων τῶν ὀνομάτων ὁποτέρῳ ἂν χρῆσθε ὑμεῖς, ἕξετε τὴν νῆσον, ἄν τε λάβητε, ἄν τ᾽ ἀπολάβητε. τί οὖν αὐτῷ διαφέρει, μὴ τῷ δικαίῳ ὀνόματι χρησάμενον ἀποδοῦναι ὑμῖν, ἀλλὰ δωρεὰν δεδωκέναι, τῷ ἀδίκῳ; οὐχ ἵν᾽ εὐεργέτημά τι καταλογίσηται πρὸς ὑμᾶς· γελοῖον γὰρ ἂν εἴη τοῦτό γε τὸ εὐεργέτημα· ἀλλ᾽ ἵν᾽ ἐνδείξηται πᾶσι τοῖς ἕλλησιν, ὅτι ἀθηναῖοι τὰ ἐν τῇ θαλάττῃ χωρία ἀγαπῶσι παρὰ τοῦ μακεδόνος λαμβάνοντες. τοῦτο δ᾽ ὑμῖν οὐ ποιητέον ἐστὶν, ὦ ἄνδρες Ἀθηναῖοι. ὅταν δὲ λέγῃ περὶ τούτων ὡς ἐθέλει διαδικάζεσθαι, οὐδὲν ἄλλο ἢ χλευάζει ὑμᾶς. πρῶτον μὲν ἀξιῶν ἀθηναίους ὄντας, πρὸς τὸν ἐκ πέλλης ὁρμώμενον περὶ τῶν νήσων διαδικάζεσθαι, πότερον ὑμέτεραι, ἢ ἐκείνου εἰσίν· ὁπότε γὰρ, ἡ μὲν δύναμις ἡ ὑμετέρα, ἡ ἐλευθερώσασα τοὺς ἕλληνας, μὴ [2] δύναται ὑμῖν τὰ χωρία τὰ ἐν τῇ θαλάττῃ διασώζειν· οἱ δὲ δικασταὶ οἷς ἂν ἐπιτρέψητε οἱ κύριοι τῆς ψήφου, οὗτοι ὑμῖν [3] σώζουσιν, ἐὰν μὴ Φίλιππος αὐτοὺς πρίηται, πῶς ὑμεῖς οὐχ ὁμολογουμένως, ὅταν ταῦτα διαπράττησθε, τῶν ἐν τῇ ἠπείρῳ ἁπάντων ἀφεστήκατε, καὶ [4] ἐπιδείκνυται ἅπασιν ἀνθρώποις, ὅτι οὐδὲ περὶ ἑνὸς ἂν αὐτῷ [5] διαγωνίζησθε, εἰ ὑπὲρ τῶν ἐν τῇ θαλάττῃ, οὗ φατὲ ἰσχύειν, μὴ διαγωνιεῖσθε, ἀλλὰ διαδικάσεσθε. ἔτι περὶ συμβόλων φησὶ πεπομφέναι πρὸς

[1] [μελλόντων] [2] δύνηται [3] σώζωσιν [4] ἐπιδείκνυτε [5] διαγωνίζοισθε, εἴγε

Ἀθηναίους ὄντας πρὸς τὸν ἐκ πέλλης] Vide ignavæ nobilitatis supercilium. Quæ enim olim vi potius, quam jure occupata, per socordiam amiserunt, stulta persuasione adhuc sua esse jactant. Idem.

Ἡ δύναμις ἡ ὑμετέρα] Ubi vero illa est? πάλαι ποτ᾽ ἦσαν ἄλκιμοι μιλήσιοι. Vide ultimam Æschinis epistolam. Idem.

Οἱ κύριοι τῆς ψήφου] Τῇ δυνάμει τὴν ψῆφον opponit: q. d. Si copiæ vestræ maris imperium tueri nequeunt, quomodo judices restituent? Vel: Turpe est, ea jure persequi, quæ armis recuperanda sunt. Idem.

Ἐὰν μὴ πρίηται αὐτοὺς] Χρήμασι διαφθείρῃ δωροδοκοῦντας, καὶ πιπράσκοντας ἑαυτούς. Nam πρίασθαί τινα est *corrumpere largitionibus*: πιπράσκειν ἑαυτὸν, *corrumpi*. Est enim merces autoramentum servitutis. Idem.

Τῶν ἐν τῇ ἠπείρῳ] Ἐν τῇ μεσογείᾳ. Lacedæmonii terra magis, mari Athenienses, tyrannidem in Græcos exercuerunt. Si ergo mari cedent Athenienses, quanto magis terra? Idem.

Ἔτι δὲ περὶ συμβόλων] Σύμβολα Suidas interpretatur συνθήκας, ἃς ἂν πρὸς ἀλλήλας αἱ πόλεις θέμεναι τάττωσι τοῖς πολίταις.

ὑμᾶς τοὺς ποιησομένους· ταῦτα δὲ κύρια ἔσεσθαι, οὐκ ἐπειδὰν ἐν τῷ δικαστηρίῳ τῷ παρ' ὑμῖν κυρωθῇ, ὡς ὁ νόμος κελεύει· ἀλλ' ἐπειδὰν ὡς ἑαυτὸν ἐπανενεχθῇ, ἐφέσιμον τὴν παρ' ὑμῶν γενομένην γνῶσιν ὡς ἑαυτὸν ποιούμενος· βούλεται γὰρ ὑμῶν τοῦτο προλαβεῖν, καὶ ὁμολογούμενον ἐν τοῖς συμβόλοις καταστῆσαι, ὅ τι τῶν περὶ Ποτίδαιαν γεγενημένων ἀδικημάτων, οὐδὲν ἐγκαλεῖτε αὐτῷ ὡς ἀδικούμενοι, ἀλλὰ βεβαιοῦτε δικαίως αὐτὴν ἐκεῖνον καὶ λαβεῖν καὶ κεκτῆσθαι. καίτοι ἀθηναίων οἱ ἐν Ποτιδαίᾳ κατοικοῦντες, οὐκ ὄντος αὐτοῖς πολέμου πρὸς Φίλιππον, ἀλλὰ συμμαχίας, καὶ ὅρκων ὀμωμοσμένων, οὓς Φίλιππος τοῖς οἰκοῦσιν ἐν Ποτιδαίᾳ ὤμοσεν, ἀφῃρέθησαν ὑπ' αὐτοῦ τὰ κτήματα. ταῦτα δὴ βούλεται τὰ ἀδικήματα, [1] πανταχόσε παρ' ὑμῖν βεβαιώσασθαι, ὅτι οὔτε ἐγκαλεῖτε αὐτῷ, οὔτε ἡγεῖσθε ἀδικεῖσθαι· ἐπεὶ ὅτι γε συμβόλων οὐδὲν δέονται μακεδόνες πρὸς ἀθηναίους, ὁ παρεληλυθὼς ὑμῖν χρόνος τεκμήριον γενέσθω· οὔτε γὰρ Ἀμύντας [2] πατὴρ ὁ Φιλίππου, οὔτε οἱ ἄλλοι Μακεδονίας βασιλεῖς, οὐδεπώποτε σύμβολα ἐποιήσαντο πρὸς τὴν πόλιν τὴν ἡμετέραν. καίτοι πλείους γε ἦσαν αἱ ἐπιμιξίαι τότε πρὸς ἀλλήλους, ἢ νῦν εἰσίν· ἐφ' ἡμῖν γὰρ ἦν ἡ Μακε-

[1] πανταχῶς

[2] ὁ πατ.

ὥστε διδόναι καὶ λαβεῖν τὰ δίκαια. Alias sunt tesseræ hospitales, theatrales, nummariæ, frumentariæ, castrenses: de quibus vide ea, quæ Robertus Constantinus in suo Lexico prolixe annotavit: præclara multis in locis navata opera. Idem.

Συμβόλων] Σύμβολον, proprie *tessera*, i. e. signum quo aliquid cognoscitur. Hic idem ac συμβόλαιον, *pactum*, *conventum*. σύμβολα, juxta Harpocrationem, sunt pacta quæ inter se faciunt civitates, et pro civibus constituunt, ut hi jus et æquum præstent et obtineant. Horum, inquit idem, sæpius meminit Demosthenes in septima Philippicarum. Ceterum non plane liquet quæ sit connexio inter hæc pacta et Potidæam quam mox dicet orator Atheniensium fuisse. Auger.

Ἐφέσιμον τὴν γνῶσιν] Ἔφεσις alias ἡ ἐπιθυμία. Sed hic, ἡ εἰς ἕτερον δικαστήριον ἐξ ἑτέρου μεταγωγὴ, ἡ καὶ ἔκκλητος καλουμένη. παρὰ τὸ ἐκκαλεῖσθαι καὶ παραιτεῖσθαι, καὶ φεύγειν τὸ ἔλαττον καὶ πρότερον δικαστήριον. Appellatio, provocatio. Hinc ἐφέσιμος, sicut ἀνύσιμος, ἀρόσιμος, ab ἄνυσις καὶ ἄροσις, *id quod ad alium superiorem refertur, illius autoritate confirmandum.* ἐφέσιμος δίκη, idem quod ἔφεσις, sicut παραινετικὸς, παρακλητικὸς, προτρεπτικὸς λόγος, idem quod παραίνεσις, παράκλησις, προτροπή. Wolf.

Ὅτι τῶν περὶ Ποτίδαιαν γεγενημένων ἀδικημάτων οὐδὲν ἐγκαλεῖτε αὐτῷ ὡς ἀδικούμενοι] Nescio, quomodo hæc cohæreant: Athenienses Philippum patiuntur confirmare tesseras. ergo, Potidæatis colonis suis, nullam ab eo esse factam injuriam confitentur: nisi forte confirmatio tesserarum constituat αὐτοκράτορα, cui quod libet liceat. Idem.

Ταῦτα δὴ βούλεται τὰ ἀδικήματα] Φίλιππος δὲ βούλεται βεβαιώσασθαι πανταχόσε παρ' ὑμῖν, ὅτι οὔτε ἐγκαλεῖτε αὐτῷ ταῦτα τὰ ἀδικήματα, οὔτε ἡγεῖσθε ἀδικεῖσθαι. Idem.

Ἐφ' ἡμῖν γὰρ ἦν ἡ Μακεδονία] Hoc nusquam me legere memini, nisi apud Demosthenem. Iphicrati quidem supplicem fuisse Eurydicen, Philippi matrem, scribit Æschines ἐν τῷ περὶ τῆς παραπρεσβείας. Idem.

δονία, καὶ φόρους ἡμῖν ἔφερε, καὶ τοῖς ἐμπορίοις τότε μᾶλλον ἢ νῦν, ἡμεῖς τε τοῖς ἐκεῖ, κἀκεῖνοι τοῖς παρ᾽ ἡμῖν ἐχρῶντο· καὶ ἐμπορικαὶ δίκαι οὐκ ἦσαν ὥσπερ νῦν ἀκριϐεῖς, αἱ κατὰ μῆνα ποιοῦσαι μηδὲν δεῖσθαι συμϐόλων τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας. ἀλλ᾽ ὅμως οὐδενὸς [1] τοιούτου ὄντος τότε, οὐκ ἐλυσιτέλει σύμϐολα ποιησαμένους, οὔτ᾽ ἐκ Μακεδονίας πλεῖν Ἀθήναζε δίκας ληψομένους, οὔθ᾽ ἡμῖν εἰς Μακεδονίαν. ἀλλ᾽ ἡμεῖς τε τοῖς ἐκεῖ νομίμοις, ἐκεῖνοί τε τοῖς παρ᾽ ἡμῖν τὰς δίκας ἐλάμβανον. μὴ οὖν ἀγνοεῖτε ὅτι τὰ σύμβολα ταῦτα γίγνεται, εἰς ὑποδοχὴν τοῦ μηδ᾽ ἀμφισβητῆσαι ὑμᾶς εὐλόγως ἔτι περὶ Ποτιδαίας. περὶ δὲ τῶν λῃστῶν, δίκαιόν φησιν εἶναι κοινῇ φυλάττειν τοὺς ἐν τῇ θαλάττῃ κακουργοῦντας, ὑμᾶς τε καὶ αὐτὸν, οὐδὲν ἄλλο ἢ τοῦτ᾽ ἀξιῶν, ὑφ᾽ ἡμῶν εἰς τὴν θάλατταν κατασταθῆναι, καὶ ὁμολογῆσαι ὑμᾶς ὡς ἄνευ Φιλίππου οὐδὲ τὴν ἐν τῇ θαλάττῃ φυλακὴν δυνατοί ἐστε φυλάττειν· ἔτι δὲ καὶ δοθῆναι αὐτῷ ταύτην τὴν ἄδειαν, περιπλέοντι καὶ ὁρμιζομένῳ εἰς τὰς νήσους ἐπὶ προφάσει τῇ τῶν λῃστῶν φυλακῇ, διαφθείρειν τοὺς νησιώτας καὶ ἀφιστάναι ἀφ᾽ ὑμῶν, καὶ μὴ μόνον τοὺς φυγάδας τοὺς παρ᾽ ἑαυτοῦ εἰς Θάσον [2] κεκομικέναι διὰ τῶν ὑμετέρων στρατηγῶν, ἀλλὰ καὶ τὰς ἄλλας νήσους οἰκειώσασθαι, συμπέμπων τοὺς συμπλευσομένους κατὰ τῶν στρατηγῶν τῶν ἡμετέρων, ὡς κοινωνήσοντας τῆς κατὰ θάλατταν φυλακῆς. καίτοι, οὔ φασί τινες αὐτὸν προσδεῖσθαι τῆς θαλάττης· ὁ δ᾽ οὐδὲν δεόμενος, τριήρεις κατασκευάζεται, καὶ νεωσοίκους οἰκοδομεῖται, καὶ ἀποστόλους ἀποστέλλειν βούλεται, καὶ δαπάνας οὐ μικρὰς δαπανᾷν εἰς τοὺς κατὰ θάλατταν κινδύνους, ὧν οὐδὲν προτιμᾷ. ταῦτα οὖν οἴεσθε, ὦ ἄνδρες Ἀθη-

[1] τοιούτου ὄντος

[2] διακεκομικέναι

Ἐμπορικαὶ δίκαι αἱ κατὰ μῆνα] S. γιγνόμεναι νῦν. Judicia, quæ propter mercatores constituebantur. Idem.

Ποιοῦσαι] Καὶ ποιοῦσι μηδὲν δεῖσθαι, ὅπως ἂν μηδὲν δέωνται. Idem.

Τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας] Μακεδόνας καὶ ἀθηναίους. Sed cur hanc clausulam addit? Quia Atheniensibus in Macedonia, Macedonibus Athenis jus suum persequi, grave erat. Macedo in Atheniensem Macedonia negotiantem Macedonicis legibus agat, nec necesse habeat Athenis illum accusare etc. Idem.

Δοθῆναι τὴν ἄδειαν κεκομικέναι] Ἀντὶ τοῦ κομίζειν. Idem.

Τοὺς παρ᾽ ἑαυτοῦ φυγάδας] Exules Macedonicos, vel, eos, qui ad Philippum, aliunde pulsi, confugerant. Nam cum Θάσος ἀγαθῶν in proverbium abierit:

Felix exilium quam locus ille fuit?
Sed fumus patriæ est alieno clarior igni.

Idem.

ναῖοι, Φίλιππον ἀξιῶσαι ἂν ὑμᾶς συγχωρῆσαι αὐτῷ, εἰ μὴ ὑμῶν μὲν κατεφρόνει, οὓς δ᾽ ἐνθάδε προῄρηται φίλους κεκτῆσθαι, τούτοις διεπίστευεν, οἳ οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες, καὶ οὐ τῇ ἑαυτῶν πατρίδι· καὶ τὰς παρ᾽ ἐκείνου δωρεὰς λαμβάνοντες, οἴονται οἴκαδε λαμβάνειν, τὰ οἴκοι πωλοῦντες; περὶ δὲ τῆς ἐπανορθώσεως τῆς εἰρήνης, ἣν ἔδοσαν ἡμῖν οἱ πρέσβεις οἱ παρ᾽ ἐκείνου πεμφθέντες ἐπανορθώσασθαι, ὅτι ἐπηνωρθωσάμεθα ὃ παρὰ πᾶσιν ἀνθρώποις ὁμολογεῖται δίκαιον εἶναι, ἑκατέρους τὰ ἑαυτῶν ἔχειν, ἀμφισβητεῖ μὴ δεδωκέναι, μηδὲ τοὺς πρέσβεις ταῦτα εἰρηκέναι πρὸς ὑμᾶς, οὐδὲν ἄλλο ἢ πεπεισμένος ὑπὸ τούτων οἷς χρῆται φίλοις, ὡς ὑμεῖς οὐ μνημονεύετε τὰ ἐν τῷ δήμῳ εἰρημένα. μόνον δὲ τοῦτο οὐχ οἷόν τέ ἐστιν ὑμῖν ἀμνημονῆσαι· ἐν γὰρ τῇ αὐτῇ ἐκκλησίᾳ καὶ οἱ πρέσβεις ὑμῖν οἱ παρ᾽ ἐκείνου ἥκοντες διελέγοντο, καὶ τὸ ψήφισμα ἐγράφη· ὥστε οὐχ οἷόν τέ ἐστι παραχρῆμα τῶν λόγων εἰρημένων, καὶ εὐθὺς τοῦ ψηφίσματος ἐπαναγιγνωσκομένου, τὴν καταψευδομένην γνώμην τῶν πρέσβεων, ταύτην ὑμᾶς χειροτονῆσαι. ὥστε τοῦτο μὲν οὐ κατ᾽ ἐμοῦ, ἀλλὰ καθ᾽ ὑμῶν ἐπέσταλκεν, ὡς ὑμεῖς περὶ ὧν οὐκ ἠκούσατε, περὶ τούτων ἀποκρινάμενοι, τὴν γνώμην ἀπεστείλατε. καὶ οἱ μὲν πρέσβεις αὐτοὶ, ὧν κατεψεύδετο τὸ ψήφισμα, ὅτε ἀπεκρίνασθε αὐτοῖς ἀναγινώσκοντες, καὶ ἐπὶ ξενίαν αὐτοῖς ἐκαλεῖτε, οὐκ ἐτόλμησαν παρελθεῖν, οὐδ᾽ εἰπεῖν ὅτι καταψεύδεσθε ἡμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φατὲ ἡμᾶς εἰρηκέναι ἃ οὐκ εἰρήκαμεν, ἀλλὰ σιωπῇ ἀπιόντες ᾤχοντο. βούλομαι δ᾽ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι· καὶ γὰρ εὐδοκίμησεν ὁ Πύθων παρ᾽ [1] ἡμῖν ἐν τῇ δημηγορίᾳ ὁ τότε πρεσβεύων· αὐτοὺς τοὺς λόγους οὓς ἔλεγεν ὑπομνῆσαι· οἶδα

[1] ὑμῖν

Οἴκαδε λαμβάνειν δωρεὰς] Intelligo, *dona accipere domum transferenda*. Auger.

Περὶ τῆς ἐπανορθώσεως, ἣν ἔδοσαν ἐπανορθώσασθαι] Ἐπανορθώσασθαι ἐπανόρθωσιν, notus Atticismus. Wolf.

Οὐδὲν ἄλλο ἢ πεπεισμένος] Διὰ subintelligitur, aut fortasse legendum οὐ δι᾽ ἄλλο. Idem.

Τὴν καταψευδομένην γνώμην τῶν πρέσβεων] Non, *ementitum decretum*, sed γνώμην· τὴν καταψευδομένην τῶν πρέσβεων, *decretum, quod de legatis mentitur*. sic infra αὐτοὶ, ὧν κατεψεύδετο τὸ ψήφισμα, *ipsi, in quos mentiebatur decretum*. hæc intelligenda sunt de confictis querelis, et falsis excusationibus Philippi, qui dicat, Athenienses alia perscripsisse in suo senatusconsulto, quam quæ legati sui habuerint in mandatis, aut Atheniensibus polliciti fuerint. Idem.

Ταύτην] Posset abesse salvo sensu, et hic tantum ponitur ad validius affirmandum. Auger.

γὰρ ὅτι μνησθήσεσθε. παραπλήσιοι δὲ ἦσαν οἷς καὶ νῦν ἐπέσταλκε Φίλιππος· ἐγκαλῶν γὰρ ἡμῖν τοῖς διαβάλλουσι τὸν Φίλιππον, καὶ ὑμῖν ἐμέμφετο, ὅτι ὡρμηκότος αὐτοῦ εὖ ποιεῖν ὑμᾶς, καὶ προῃρημένου μάλιστα τῶν ἑλλήνων φίλους κεκτῆσθαι, αὐτοὶ κωλύετε, ἀποδεχόμενοι τοὺς λόγους τῶν συκοφαντούντων, καὶ χρήματα ἐκεῖνον αἰτούντων καὶ διαβαλλόντων· τοὺς γὰρ τοιούτους λόγους ὅταν ἀπαγγελλόντων ἀκούῃ, ὅτι κακῶς ἤκουεν, ὑμεῖς δὲ [1] ἀποδέχεσθε, μεταβάλλειν [2] αὐτοῦ τὴν γνώμην, ὅταν ἄπιστος φαίνηται τούτοις, ὧν προῄρηται εὐεργέτης εἶναι. ἐκέλευσεν οὖν τοὺς λέγοντας ἐν τῷ δήμῳ, τῇ μὲν εἰρήνῃ μὴ ἐπιτιμᾶν· οὐ γὰρ ἄξιον εἶναι εἰρήνην λύειν· εἰ δέ τι μὴ καλῶς γέγραπται ἐν τῇ εἰρήνῃ, [3] τοῦτο ἐπανορθώσασθαι, ὡς ἅπαντα Φίλιππον ποιήσοντα, [4] ὅσα ἂν ὑμεῖς ψηφίσησθε. ἐὰν δὲ διαβάλλωσι μὲν, αὐτοὶ δὲ μηδὲν γράφωσι, δι' οὗ ἡ μὲν εἰρήνη ἔσται· παύσεται δὲ ἀπιστούμενος Φίλιππος, μὴ προσέχειν τὸν νοῦν τοῖς τοιούτοις ἀνθρώποις. καὶ τούτους τοὺς λόγους ὑμεῖς ἀκούοντες, ἀπεδέχεσθε, καὶ δίκαια ἔφατε τὸν Πύθωνα λέγειν, καὶ ἦν δίκαια. ἔλεγε δὲ τοὺς λόγους τούτους, οὐχ ὅπως λυθείη ἐκ τῆς εἰρήνης, ἃ ἦν ἐκείνῳ συμφέροντα, καὶ ὧν πολλὰ χρήματα ἀνηλώκει ὥστε γενέσθαι, ἀλλὰ ὑπὸ τῶν ἐνθάδε διδασκάλων προδεδιδαγμένος, οἳ οὐκ ᾤοντο εἶναι τὸν γράψοντα ἐναντία τῷ Φιλοκράτους ψηφίσματι, τῷ ἀπολλύντι Ἀμφίπολιν. ἐγὼ δὲ, ὦ ἄνδρες ἀθηναῖοι, παράνομον μὲν οὐδὲν ἐτόλμησα γράψαι· τῷ δὲ Φιλοκράτους ψηφίσματι, ὃ ἦν παράνομον, τἀναντία ἔγραψα, ὡς ἐγὼ ἐπιδείξω· τὸ γὰρ ψήφισμα τὸ [5] τοῦ Φιλοκράτους, καθ' ὃ ὑμεῖς ἀπώλλυτε ἀμφίπολιν, ἐναντίον ἦν τοῖς προτέροις ψηφίσμασι, καθ' ἃ ὑμεῖς ἐκτήσασθε ταύτην τὴν χώραν. τοῦτο μὲν οὖν παράνομον ἦν τὸ τοῦ ψήφισμα τὸ τοῦ Φιλοκράτους· καὶ οὐχ οἷόν τε ἦν, τὸν τὰ ἔννομα γράφοντα, [6] τὰ αὐτὰ τῷ παρανόμῳ ψηφίσματι γράφειν. ἐκείνοις δὲ τοῖς προτέροις ψηφίσμασι τοῖς οὖσιν ἐννόμοις καὶ σώζουσι τὴν ὑμετέραν χώραν τὰ αὐτὰ

[1] ἀποδέχεσθε   [2] αὐτοῦ   [3] τοῦτ'   [4] ὅσ' ἂν   [5] [τοῦ]   [6] ταὐτὰ

Ὑμεῖς δ' ἀποδέχεσθε] M. ἀπεδέχεσθε, παρατατικῷ. Idem.

Ὡς ἅπαντα Φίλιππον ποιήσοντα] Ἀντὶ τοῦ, ὡς, φιλίππου ποιήσοντος. Idem.

Μὴ προσέχειν τὸν νοῦν] Refer ad ἐκέλευσεν. Auger.

γράφων, ἔννομά τ᾽ ἔγραφον καὶ ἐξήλεγχον τὸν Φίλιππον. ὅτι ἐξηπάτα ὑμᾶς, καὶ οὐκ ἐπανορθώσασθαι ἐβούλετο τὴν εἰρήνην, ἀλλὰ τοὺς ὑπὲρ ὑμῶν λέγοντας ἀπίστους καταστῆσαι· καὶ ὅτι μὲν δοὺς τὴν ἐπανόρθωσιν, νῦν ἔξαρνός ἐστιν, ἅπαντες ἴστε. φησὶ δὲ Ἀμφίπολιν ἑαυτοῦ εἶναι· ὑμᾶς γὰρ ψηφίσασθαι ἐκείνου εἶναι, ὅτ᾽ ἐψηφίζεσθε ἔχειν αὐτὸν ἃ εἶχεν. ὑμεῖς δὲ, τὸ μὲν ψήφισμα τοῦτο ἐψηφίσασθε· οὐ μέντοι γε ἐκείνου εἶναι Ἀμφίπολιν· ἔστι γὰρ ἔχειν καὶ τἀλλότρια· καὶ οὐχ ἅπαντες οἱ ἔχοντες, τὰ ἑαυτῶν ἔχουσιν, ἀλλὰ πολλοὶ καὶ τἀλλότρια κέκτηνται. ὥστε τοῦτό γε τὸ σοφὸν αὐτοῦ, ἠλίθιόν ἐστι. καὶ τοῦ μὲν Φιλοκράτους ψηφίσματος μέμνηται· τῆς δὲ ἐπιστολῆς, ἣν πρὸς ὑμᾶς ἔπεμψεν ὅτε Ἀμφίπολιν ἐπολιόρκει, ἐπιλέλησται· ἐν ᾗ ὡμολόγει τὴν Ἀμφίπολιν ὑμετέραν εἶναι· ἔφη γὰρ ἐκπολιορκήσας ὑμῖν ἀποδώσειν, ὡς οὖσαν ὑμετέραν, καὶ οὐ τῶν ἐχόντων. κἀκεῖνοι μὲν ὡς ἔοικεν, οἱ πρότερον ἐν Ἀμφιπόλει οἰκοῦντες πρὶν Φίλιππον λαβεῖν, τὴν ἀθηναίων χώραν εἶχον. ἐπειδὴ δὲ Φίλιππος αὐτὴν εἴληφεν, οὐ τὴν ἀθηναίων χώραν, ἀλλὰ τὴν ἑαυτοῦ ἔχει; οὐδὲ Ὄλυνθόν γε, οὐδὲ Ἀπολλωνίαν, οὐδὲ Παλλήνην, οὐκ ἀλλοτρίας, ἀλλὰ τὰς ἑαυτοῦ χώρας κέκτηται; ἆρ᾽ ὑμῖν δοκεῖ πεφυλαγμένως ἅπαντα πρὸς ὑμᾶς ἐπιστέλλειν, ὅπως ἂν φαίνηται καὶ λέγων καὶ πράττων ἃ παρὰ πᾶσιν ἀνθρώποις ὁμολογεῖται δίκαια εἶναι, ἀλλ᾽ οὐ σφόδρα καταπεφρονηκέναι; ὃς τὴν χώραν ἣν οἱ ἕλληνες, καὶ ὁ βασιλεὺς ὁ περσῶν ἐψηφίσαντο καὶ ὡμολογήκασιν ὑμετέραν εἶναι, ταύτην φησὶν ἑαυτοῦ καὶ οὐχ ὑμετέραν εἶναι; περὶ δὲ τοῦ ἑτέρου ἐπανορθώματος, ὃ ὑμεῖς ἐν τῇ εἰρήνῃ ἐπηνωρθώσασθε, τοὺς ἄλλους ἕλληνας ὅσοι μὴ κοινωνοῦσι τῆς εἰρήνης, ἐλευθέρους καὶ αὐτονόμους εἶναι· καὶ ἐάν τις ἐπ᾽ αὐτοὺς στρατεύῃ, βοηθεῖν τοὺς κοινωνοῦντας τῆς εἰρήνης, ἡγούμενοι καὶ δίκαιον εἶναι τοῦτο καὶ φιλάνθρωπον, μὴ μόνον ἡμᾶς καὶ τοὺς ξυμμάχους τοὺς ἡμετέρους, καὶ Φίλιππον καὶ τοὺς ξυμμάχους τοὺς ἐκείνου ἄγειν τὴν εἰρήνην· τοὺς δὲ μήτε ἡμετέρους ὄντας,

Νῦν ἔξαρνός ἐστι] S. δεδωκέναι τὴν ἐπανόρθωσιν. Wolf.

Καταπεφρονηκέναι] Subaudiri debet ὑμῶν vel Ἀθηναίων. Auger.

Καὶ ὁ βασιλεὺς ὁ Περσῶν] De pace ab Antalcida facta hæc intelligenda sunt. Sic et Archidamus, ex Persico fœdere Lacedæmoniorum esse Messenam, affirmat. Vide Panegyricum Isocratis de autoritate Persæ inter Græcos. Wolf.

μήτε Φιλίππου ξυμμάχους[1] ἐν μέσῳ κεῖσθαι, καὶ ὑπὸ τῶν κρειττόνων ἀπόλλυσθαι, ἀλλὰ καὶ τούτοις διὰ τὴν ὑμετέραν εἰρήνην ὑπαρχεῖν σωτηρίαν, καὶ τῷ ὄντι εἰρήνην ἡμᾶς ἄγειν καταθεμένοις τὰ ὅπλα. τοῦτο δὲ τὸ ἐπανόρθωμα ὁμολογῶν ἐν τῇ ἐπιστολῇ ὡς ἀκούετε, δίκαιόν τε εἶναι καὶ δέχεσθαι, Φεραίων τε μὲν ἀφῄρηται τὴν πόλιν, καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν, ἵνα δὴ αὐτόνομοι ὦσιν. ἐπὶ δ' Ἀμβρακίαν στρατεύεται· τὰς δ' ἐν Κασσωπίᾳ τρεῖς Πανδοσίαν, καὶ Βούχεταν, καὶ Ἐλάτειαν, Ἠλείων ἀποικίας, κατακαύσας τὴν χώραν, καὶ εἰς τὰς πόλεις βιασάμενος, παρέδωκεν Ἀλεξάνδρῳ τῷ κηδεστῇ τῷ ἑαυτοῦ, δουλεύειν. [2]καὶ σφόδρα γε βούλεται τοὺς ἕλληνας ἐλευθέρους εἶναι, καὶ αὐτονόμους, ὡς δηλοῖ τὰ ἔργα. περὶ δὲ τῶν ὑποσχέσεων ὧν ὑμῖν διατελεῖ ὑπισχνούμενος, ὡς μεγάλα ὑμᾶς εὐεργετήσων, καταψεύδεσθαί μέ φησιν αὐτοῦ, διαβάλλοντα πρὸς τοὺς ἕλληνας· οὐδὲν γὰρ ἡμῖν πώποτέ φησιν ὑπεσχῆσθαι. οὕτως ἀναιδής ἐστιν, ὁ ἐν ἐπιστολῇ γεγραφὼς, ἥ ἐστι νῦν ἐν τῷ βουλευτηρίῳ, ὅτ' ἐπιστομιεῖν ἡμᾶς ἔφη τοὺς αὐτῷ ἀντιλέγοντας, ἐὰν [3]εἰρήνη γένηται. τοσαῦτα ἀγαθὰ ἡμᾶς ποιήσειν, ἃ γράφειν ἂν ἤδη, εἰ ᾔδει τὴν εἰρήνην ἐσομένην. δῆλον ὡς προκεχειρισμένων, καὶ ἑτοίμων ὄντων τῶν ἀγαθῶν ἃ ἐμέλλομεν πείσεσθαι, τῆς εἰρήνης [4]ἐσομένης· γενομένης δὲ τῆς εἰρήνης, ἃ μὲν ἡμεῖς ἐμέλλομεν ἀγαθὰ πείσεσθαι, ἐκποδών ἐστι. φθορὰ δὲ τῶν ἑλλήνων τοσαύτη γέγονεν ὅσην ὑμεῖς ἴστε. ὑμῖν δ' ἐν τῇ νῦν ἐπιστολῇ ὑπισχνεῖται, ἐὰν, τοῖς μὲν αὐτοῦ φίλοις καὶ ὑπὲρ αὐτοῦ λέγουσι πιστεύητε, ἡμᾶς δὲ τοὺς διαβάλλοντας αὐτὸν πρὸς ὑμᾶς τιμωρήσησθε, ὡς μεγάλα ὑμᾶς [5]εὐεργετήσειν. τὰ μέντοι εὐεργετήματα, τοιαῦτα ἔσται· οὔτε τὰ ὑμέτερα ὑμῖν ἀποδώσει· ἑαυτοῦ γάρ φησιν εἶναι· οὔτε ἐν τῇ οἰκουμένῃ αἱ δωρεαὶ ἔσονται, ἵνα μὴ διαβληθῇ πρὸς τοὺς ἕλληνας· ἀλλ' ἄλλη τις χώρα, καὶ ἄλλος τις ὡς ἔοικε τόπος φανήσεται, οὗ ὑμῖν αἱ δωρεαὶ δοθήσονται. περὶ

[1] *οὐκ ἐν μ. [2] Deest καὶ [3] ἡ εἰρ. [4] γενομένης [5] εὐεργετήσει

Τοῦτο δὲ τὸ ἐπανόρθωμα] Hic completur phrasis quæ incipit supra περὶ δὲ τοῦ, et δὲ post τοῦτο valet ad periodum resumendam longius circumductam. Auger.

Φεραίων τε μὲν] Τὸ τε abundare videtur. Wolf.

Ἥ ἐστι νῦν] Malim ἐστι καὶ νῦν.—Idem.

δὲ ὧν ἐν τῇ εἰρήνῃ εἴληφε χωρίων ὑμῶν ἐχόντων, παρασπονδῶν καὶ λύων τὴν εἰρήνην, ἐπειδὴ οὐκ ἔχει ὅ, τι εἴπῃ, ἀλλ' ἀδικῶν φανερῶς ἐξελέγχεται, ἐπιτρέπειν φησὶ περὶ τούτων ἕτοιμος εἶναι ἴσῳ καὶ κοινῷ δικαστηρίῳ, περὶ ὧν μόνων οὐδὲν δεῖ ἐπιτροπῆς, ἀλλ' ἀριθμὸς ἡμερῶν ἐστὶν ὁ κρίνων· ἅπαντες γὰρ ἴσμεν τίνι μηνὶ, καὶ ποίᾳ ἡμέρᾳ ἡ εἰρήνη ἐγένετο. ὥσπερ δὲ ταῦτα ἴσμεν, κἀκεῖνα ἴσμεν, τίνι μηνὶ καὶ τίνι ἡμέρᾳ Σέῤῥιον τεῖχος, καὶ Ἐργίσκη, καὶ ἱερὸν ὄρος ἑάλω. οὐ δὴ ἀφανῆ ἐστὶ ταῦτα οὕτω πραχθέντα, οὐδὲ κρίσεως δεόμενα, ἀλλὰ πᾶσι γνώριμα, πότερος πρότερος μήν ἐστιν, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο, ἢ ἐν ᾧ τὰ χωρία ἑάλω. φησὶ δὲ καὶ τοὺς αἰχμαλώτους ὑμῶν ὅσοι ἐν τῷ πολέμῳ ἑάλωσαν, ἀποδεδωκέναι· ὃς τὸν μὲν Καρύστιον τὸν πρόξενον τῆς ἡμετέρας πόλεως, ὑπὲρ οὗ ὑμεῖς τρεῖς πρεσβείας ἐπέμψατε [1] τοῦτον ἀπαιτοῦντες τὸν ἄνδρα, ἐκεῖνος οὕτω σφόδρα ὑμῖν ἐβούλετο χαρίσασθαι, ὥστε ἀπέκτεινε, καὶ οὐδὲ ἀναίρεσιν ἔδωκεν ἵνα ταφῇ. περὶ δὲ Χεῤῥονήσου, ἅ τε ἐπιστέλλει πρὸς ἡμᾶς ἄξιόν ἐστιν ἐξετάσαι· ἔτι δὲ καὶ ἃ πράττει, καὶ ταῦτ' εἰδέναι· τὸν μὲν γὰρ τόπον ἅπαντα τὸν ἔξω ἀγορᾶς, ὡς ἑαυτοῦ ὄντα, καὶ ὑμῖν οὐδὲν προσήκοντα, δέδωκε καρποῦσθαι Ἀπολλωνίδῃ τῷ Καρδιανῷ. καίτοι Χεῤῥονήσου οἱ ὅροι εἰσὶν, οὐκ ἀγορὰ, ἀλλ' ὁ βωμὸς τοῦ Διὸς τοῦ [2] ὁρείου· ὅς ἐστι μεταξὺ Πτελεοῦ, καὶ λευκῆς ἀκτῆς, οὗ ἡ διωρυχὴ ἔμελλε Χεῤῥονήσου ἔσεσθαι, ὡς τὸ ἐπίγραμμα τὸ ἐπὶ τοῦ βωμοῦ τοῦ Διὸς τοῦ ὀρείου δηλοῖ. ἔστι δὲ τουτί·

[3] "Τόνδε καθιδρύσαντο θεῷ περικαλλέα βωμὸν,
Λευκῆς καὶ Πτελεοῦ μέσσον ὅρον θέμενοι,

[1] ἀπαιτοῦντες, τοῦτον [2] ὁρίου bis. [3] Præcedit ἘΠΙΓΡΑΜΜΑΤΟΣ ΑΝΑΓΝΩΣΙΣ

Τὸν μὲν Καρύστιον] Carystus urbs Eubœæ, unde καρύστιος. Sed hic videtur proprium esse nomen. Idem.

Ἅτε ἐπιστέλλει] F. ἄγε, nisi forte sit Hegesippi idiotismus, inculcare, τὸ τε. Idem.

Ἅ τε] Correxi ἃ μὲν, ita postulante nexu phraseos. Auger.

Τὸν ἔξω ἀγορᾶς] Puto loci esse proprium nomen. Wolf.

Τοῦ Διὸς τοῦ ὀρείου] *Montani Jovis.* Fortasse, quod ejus fanum in monte situm esset, si ὁρίου legeretur παρὰ τὸν ὅρον, verterem, *terminalis* aut *finitoris Jovis.* Idem.

Πτελεοῦ, καὶ λευκῆς ἀκτῆς] Locorum Chersonesi propria nomina esse puto. Alias πτελεὸς *ulmum*, λευκὴ ἀκτὴ, *album littus*, vel *albam oram* significat. Idem.

Ἡ διωρυχὴ] Hinc illud intelligitur β'. φιλ. χεῤῥόνησον δὲ τοῖς αὐτοῦ τέλεσι διορύξει. Idem.

Ἐνναέται χώρης σημήϊον· ἀμμορίης δὲ
Αὐτὸς ἄναξ μακάρων ἐστὶ μέσος Κρονίδης."

Ταύτην μέντοι τὴν χώραν τοσαύτην οὖσαν, ὅσην οἱ πολλοὶ ὑμῶν ἴσασιν, ὡς ἑαυτοῦ οὖσαν, τὴν μὲν αὐτὸς καρποῦται, τὴν δὲ, ἄλλοις δωρεὰν δέδωκε· καὶ ἅπαντα τὰ κτήματα τὰ ὑμέτερα ὑφ᾽ ἑαυτῷ ποιεῖται· καὶ οὐ μόνον τὴν ἔξω ἀγορᾶς χώραν σφετερίζεται, ἀλλὰ καὶ πρὸς Καρδιανοὺς, οἳ οἰκοῦσιν [1] ἔξω ἀγορᾶς, ἐπιστέλλει ἐν τῇ νῦν ἐπιστολῇ, ὡς δεῖ ὑμᾶς διαδικάζεσθαι πρὸς Καρδιανοὺς τοὺς [2] οἰκοῦντας ἐν τῇ ὑμετέρᾳ, εἴ τι πρὸς αὐτοὺς διαφέρεσθε. διαφέρονται δὲ πρὸς ὑμᾶς, σκέψασθε εἰ περὶ μικροῦ. ἑαυτῶν φασὶ τὴν χώραν οὖσαν οἰκεῖν, καὶ οὐχ ὑμετέραν [3] εἶναι. καὶ τὰ μὲν ὑμέτερα εἶναι ἐγκτήματα φασὶν, ὡς ἐν ἀλλοτρίᾳ· τὰ δὲ αὐτῶν, κτήματα, ὡς ἐν οἰκείᾳ· καὶ ταῦτα ὑμέτερον πολίτην γράψαι ἐν ψηφίσματι Κάλλιππον Παιανιέα καὶ τοῦτό γε ἀληθὲς λέγουσιν· ἔγραψε γάρ· καὶ ἐμοῦ γε αὐτὸν γραψαμένου παρανόμων γραφὴν, ὑμεῖς ἀπεψηφίσασθε. τοιγάρτοι ἀμφισβητήσιμον ὑμῖν τὴν χώραν κατεσκεύακεν. ὁπότε δὲ περὶ τούτου τολμήσετε πρὸς Καρδιανοὺς διαδικάζεσθαι, εἴθ᾽ ὑμετέρα ἐστὶν εἴτ᾽ ἐκείνων ἡ χώρα, διὰ τί οὐ καὶ πρὸς τοὺς ἄλλους χεῤῥονησίτας τὸ αὐτὸ δίκαιόν [4] ἐστι. καὶ οὕτως ὑβριστικῶς ὑμῖν κέχρηται, ὥστε φησιν, ἐὰν μὴ θέλωσι διαδικάζεσθαι οἱ Καρδιανοὶ, αὐτὸς ἀναγκάσειν, ὡς ὑμῶν γε οὐκ ἂν δυναμένων οὐδὲ ἀναγκάσαι Καρδιανοὺς τὰ δίκαια πρὸς ὑμᾶς [5] ποιεῖσθαι. ἐπειδὴ δὲ ὑμεῖς οὐ δύνασθε, αὐτός φησι τοῦτο ἀναγκάσειν αὐτοὺς ποιῆσαι. ἆρ᾽ οὐ μεγάλα ὑμᾶς φαίνεται

[1] ἔσω [2] κατοικοῦντας [3] Deest εἶναι [4] ἔσται [5] ποιῆσαι

Ἐνναέται] *Habitatores.* Ἀμμορίης: subaudio ἕνεκα, et explico *discretionis causa,* i.e. ut agri discernantur. Auger.

Ἀμμορίης δὲ] Ἀμμοιρίαν καὶ ἀμμορίαν interpretantur τὴν κακὴν μοῖραν. Quo significatu intelligi potest, Jovem prohibere calamitatem, quod utrinque arceat hostiles impetus. Sed cum ἄμμορος idem sit, quod ἀμέτοχος, *expers, non particeps,* ut apud Homerum: ἄρκτος οἴη ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο. quid si ἀμμορίη sit ὁ ὅρος, *limes, terminus,* qui utrinque Chersonesitas excludat, ne ulterius progrediantur? Possit et scribi cum aspiratione ἁμμορίη, παρὰ τὸ ἅμα καὶ ὅρος. quasi ὁμορία, *confinium.* Wolf.

Οἳ οἰκοῦσιν ἔσω ἀγορᾶς] Alii ἔξω. sed hoc videtur rectius. Idem.

Ἐγκτήματα, κτήματα] Ipse autor discrimen satis declarat. Idem.

Ἐγκτήματα] Hoc est Ulpiani scholium: κτῆμα, inquit, ἐγκτήματος διαφέρει. Κτῆμα μὲν γάρ ἐστιν, ὅταν τις ἐν οἰκείᾳ γῇ κτήσηταί τι χωρίον· ἔγκτημα δὲ, ὅταν ἐν ἀλλοτρίᾳ. Auger.

Ὑμεῖς ἀπεψηφίσασθε] S. αὐτοῦ. Idem.

εὐεργετῶν; καὶ ταύτην τὴν ἐπιστολήν τινες εὖ ἔφασαν γεγράφθαι, οἳ πολὺ ἂν δικαιότερον ὑφ᾽ ὑμῶν, ἢ Φίλιππος μισοῖντο· ἐκεῖνος μὲν γὰρ ἑαυτῷ κτώμενος δόξαν καὶ μεγάλα ἀγαθὰ, ἅπαντα καθ᾽ ὑμῶν πράττει. ὅσοι δὲ Ἀθηναῖοι ὄντες, μὴ τῇ πατρίδι, ἀλλὰ Φιλίππῳ εὔνοιαν ἐνδείκνυνται, προσήκει αὐτοὺς ὑφ᾽ ὑμῶν κακοὺς κακῶς ἀπολωλέναι, εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις, καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε. ὑπόλοιπόν μοί ἐστιν ἔτι, πρὸς ταύτην τὴν ἐπιστολὴν [1] εὖ ἔχουσαν, καὶ τοὺς λόγους τῶν πρέσβεων, γράψαι τὴν ἀπόκρισιν, ἣν ἡγοῦμαι δικαίαν τε εἶναι καὶ συμφέρουσαν ὑμῖν.

[1] τὴν εὖ ἔχ.

Εὔνοιαν ἐνδείκνυνται] Supra, ἐμφατικώτερον, οἳ οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες, καὶ οὐ τῇ ἑαυτῶν πατρίδι. Wolf.

Εὖ ἔχουσαν] Εὖ γεγραμμένην. εἰρωνικῶς. Idem.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ.

Ὁ ΛΟ'ΓΟΣ οὗτος ὑπὲρ Διοπείθους εἴρηται καὶ ὧν ἐκεῖνος παρὰ Ἀθηναίοις κατηγόρητο. ἦν μὲν γὰρ Χεῤῥόνησος ἡ πρὸς Θρᾴκην τῶν Ἀθηναίων κτῆμα ἀρχαῖον, εἰς δὲ ταύτην ἀπέστειλαν κατὰ τοὺς Φιλίππου καιροὺς κληρούχους ἑαυτῶν. ἔθος δὲ ἦν τοῦτο παλαιὸν τοῖς Ἀθηναίοις, ὅσοι πένητες ἦσαν αὐτῶν καὶ ἀκτήμονες οἴκοι, τούτους πέμπειν ἐποίκους εἰς τὰς ἔξω πόλεις τὰς ἑαυτῶν· καὶ ἐλάμβανον πεμπόμενοι ὅπλα τε ἐκ τοῦ δημοσίου καὶ ἐφόδιον. καὶ νῦν τοίνυν τοῦτο γέγονε, καὶ πεπόμφασιν ἐποίκους εἰς τὴν Χεῤῥόνησον, στρατηγὸν αὐτοῖς δόντες Διοπείθη. οἱ μὲν οὖν ἄλλοι Χεῤῥονησῖται τοὺς ἐπελθόντας ἐδέξαντο καὶ μετέδωκαν αὐτοῖς καὶ οἰκιῶν καὶ γῆς, Καρδιανοὶ δὲ οὐκ ἐδέξαντο, λέγοντες ἰδίαν χώραν οἰκεῖν καὶ οὐκ Ἀθηναίων. ἐντεῦθεν οὖν Διοπείθης [1] ἐπολέμησε Καρδιανοῖς. οἱ δὲ παρὰ Φίλιππον καταφεύγουσι, καὶ ὃς ἐπιστέλλει τοῖς Ἀθηναίοις μὴ βιάζεσθαι Καρδιανοὺς ὡς αὐτῷ προσήκοντας, ἀλλὰ δικάσασθαι πρὸς αὐτούς, εἴ τί φασιν ἠδικῆσθαι. ὡς δὲ οὐκ ἤκουον τούτων οἱ Ἀθηναῖοι, βοήθειαν τοῖς Καρδιανοῖς ἔπεμψεν. ἐφ' οἷς ἀγανακτήσας ὁ Διοπείθης, τοῦ Φιλίππου περὶ τὴν μεσογείαν τὴν ἄνω Θρᾴκην πολεμοῦντος πρὸς τὸν Ὀδρυσῶν βασιλέα, τὴν παράλιον Θρᾴκην, ὑπήκοον οὖσαν τοῦ Μακεδόνος, κατέδραμε καὶ ἐπόρθησε, καὶ ἔφθη, πρὶν Φίλιππον ἐπανελθεῖν, ἀναχωρήσας εἰς τὴν Χεῤῥόνησον καὶ ἐν ἀσφαλεῖ γενόμενος. διό περ ὁ Φίλιππος οὐ δυνηθεὶς ὅπλοις αὐτὸν ἀμύνασθαι, πέπομφεν ἐπιστολὴν πρὸς τοὺς Ἀθηναίους, κατηγορῶν τοῦ στρατηγοῦ καὶ λέγων αὐτὸν παραβεβηκέναι τὴν εἰρήνην ἄντικρυς. καὶ οἱ φιλιππίζοντες τῶν ῥητόρων κατατρέχουσι τοῦ Διοπείθους, καὶ κολάζειν ἀξιοῦσιν αὐτόν. πρὸς οὓς ὁ Δημοσθένης ἐναντιούμενος διχῇ ὑπὲρ Διοπείθους ἵσταται. οὔτε γὰρ ἄδικά φησιν αὐτὸν πεποιηκέναι· Φιλίππου γὰρ πολὺ πρότερον παραβάντος τὴν εἰρήνην καὶ ἀδικοῦντος τὴν τῶν Ἀθηναίων πόλιν, εἰκότως καὶ τοῦτον ἔργα πολεμίου διαπράττεσθαι· οὔτε συμφέρειν λέγει τοῖς Ἀθηναίοις κολάσαι τὸν στρατηγὸν καὶ διαλῦσαι τὴν ὑπ' ἐκείνου δύναμιν, ᾗ τις νῦν ἀποκρούηται Χεῤῥονήσου Φίλιππον. τὸ δὲ ὅλον ἐπὶ πόλεμον παρακαλεῖ, καὶ τοῦ Φιλίππου πολλὴν ποιεῖται κατηγορίαν ὡς ἀδίκου καὶ παρασπόνδου καὶ τοῖς Ἀθηναίοις καὶ τοῖς Ἕλλησιν ἐπιβουλεύοντος.

[1] ἐπολέμει

Καὶ ὧν] Καὶ ὑπὲρ ἐκείνων, ὧν. Wolf.

Κληρούχους ἑαυτῶν] Id est, κληρούχους ἀθηναίους, vel κληρούχους, ὄντας πολίτας ἀθηναίους. κληροῦχον Suidas interpretatur γεωργὸν, *agricolam, colonum.* Rem declarat ipse Libanius. Dicuntur autem παρὰ τὸ κλῆρον ἔχειν, *ab habenda hæreditate seu sorte,* quod eis apud exteros prædia assignabantur: idque sortito fortasse factum est. Inter κληρούχους et ἀποίκους hoc interesse videtur, quod hi vel pulsis veteribus incolis terram occupabant, vel in vacua veniebant: illi, a veteribus recipiebantur in communionem opum, ut ex sequentibus Libanii verbis apparet. ἔποικον Phavorinus *inquilinum in urbe,* ex Thucydide interpretatur. Nos inopia verborum coacti κληροῦχον, ἔποικον, ἄποικον, *colonum* interpretamur sine discrimine: nisi *Agripetam* dicere libeat τὸν κληροῦχον, ut Cicero *Neoclem Epicuri patrem Samum venisse agripetam* scribit: et *agripetas ejectos atque concisos.* Idem.

Ἀκτήμονες] *Sine possessionibus, non prædiati,* quo nomine Apuleius utitur. quod propter autorem non repudiandum censeo, cum Cicero *Prædiatorium jus* dicat, horridiore etiam vocabulo. Idem.

Πεμπόμενοι] Ὅτε ἐπέμποντο. *Cum mittebantur,* sed malim addi articulum οἱ πεμπόμενοι, *qui mittebantur.* Idem.

Περὶ τὴν μεσόγειαν τὴν ἄνω Θρᾴκην] *In mediterraneis, superiore Thracia.* potest exponi sic κατ' ἐπεξήγησιν. Possit etiam legi τῆς ἄνω Θρᾴκης genitivo casu, *in superioris Thraciæ mediterraneis.* Idem.

Ἔφθη ἀναχωρήσας] *Antevertit reversus,* id est, prius recessit, quam, etc. a verbo φθάνω.

Ο ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ.

Ol. 109, 3.

ά. ἜΔΕΙ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς λέγοντας ἅπαντας ἐν ὑμῖν μήτε πρὸς ἔχθραν ποιεῖσθαι λόγον μηδένα μήτε πρὸς χάριν, ἀλλ᾿ ὃ βέλτιστον ἕκαστος ἡγεῖτο, τοῦτ᾿ ἀποφαίνεσθαι, ἄλλως τε καὶ περὶ κοινῶν πραγμάτων καὶ μεγάλων ὑμῶν βουλευομένων· ἐπειδὴ δ᾿ ἔνιοι τὰ μὲν φιλονεικίᾳ, τὰ δ᾿ ἡτινιδήποτ᾿ αἰτίᾳ προάγονται λέγειν, ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς πολλοὺς δεῖ πάντα τἄλλ᾿ ἀφέντας, ἃ τῇ πόλει νομίζετε συμφέρειν, ταῦτα καὶ ψηφίζεσθαι καὶ πράττειν. Ἡ μὲν οὖν σπουδὴ περὶ τῶν ἐν Χεῤῥονήσῳ πραγμάτων ἐστὶ καὶ τῆς στρατείας, ἣν ἑνδέκατον μῆνα τουτονὶ Φίλιππος ἐν Θρᾴκῃ ποιεῖται· τῶν δὲ λόγων οἱ

Ὁ περὶ τῶν ἐν χεῤῥονήσῳ] S. *στρατιωτῶν.* hoc enim nomen additur Philippica 3. Possis etiam interpretari de Chersonesitanis. Sic enim articuli substantivis locorum et gentium nominibus, et præpositionibus vel adverbiis additi, sæpe commode, interdum etiam necessario redduntur, ut οἱ ἐν ῥώμῃ, *Romani,* quod brevius est, quam si dicas, hi, qui Romæ sunt, οἱ πρὸς τοὺς ἔξω πόλεμοι, *externa bella* Ciceroni dicuntur. Χεῤῥόνησος peninsula est, quarum quatuor potissimum celebrantur, Thracica, de qua hic agitur, Taurica, Aurea, Cimbrica. Strabo et Peloponnesum annumerat, cum et ipsa peninsula sit, quamvis Chersonesus appellari non soleat. Wolf.

Ἔδει μὲν] Tale fere est exordium Cæsaris apud Sallustium: *Omnes homines, Patres conscripti, qui de rebus dubiis consultant, ab odio, amicitia, ira atque misericordia vacuos esse decet. Haud facile animus verum providet,* (malim pervidet) *ubi illa officiunt: neque quisquam omnium libidini simul et usui paruit.* Idem.

Τοὺς λέγοντας ἅπαντας ἐν ὑμῖν] Ordo est, ἅπαντας τοὺς λέγοντας ἐν ὑμῖν. Neque enim jungo ποιεῖσθαι ἐν ὑμῖν λόγον: etsi id quoque hic fieri posset. Verum aliquando fit, ut hujusmodi verborum trajectiones non animadversæ, diversam gignant sententiam. Sic paulo post: οὓς κατὰ τοὺς νόμους ἐφ᾿ ὑμῖν ἐστιν, ὅταν βούλησθε, κολάζειν: rectius jungitur κολάζειν κατὰ τοὺς νόμους, quam ἔστιν ἐφ᾿ ὑμῖν κατὰ τοὺς νόμους, *legibus vobis licet.* Idem.

Πρὸς ἔχθραν, πρὸς χάριν] Δι᾿ ἔχθραν, ἢ χάριν: ἔχθρας, ἢ χάριτος ἕνεκα. Idem.

Ὑμᾶς τοὺς πολλοὺς] *Vos multos,* id est, τὸν δῆμον, *vulgus, multitudinem, populum.* In latino sermone vel nomen vel pronomen videtur omittendum. Conjungi enim utrumque non potest. οἱ λέγοντες, id est οἱ ῥήτορες, οἱ σύμβουλοι, *oratores, consiliarii,* sunt quasi duces: οἱ πολλοὶ, id est, ὁ δῆμος, reliquus exercitus. Sed quid faciat τὸ ἄλογον, id est multitudo, si τὸ ἡγεμονικὸν, id est magistratus, vel erroribus, vel pravis affectibus, ducitur? Quidam Alexandri magni exercitum, illo sublato, Polyphemo excœcato non insulse comparavit. Idem.

Ἣν ἑνδέκατον] Posset intelligi, si verba sola spectes, *mense ab undecimo,* ut infra τρίτον ἢ τέταρτον τουτὶ ἔτος, *anno abhinc tertio aut quarto.* Sed sententia cogit, ut sic accipias: Philippum jam undecimum mensem versari in Thracia. Sequitur enim post, δέκα μῆνας ἀπογενομένου τἀνθρώπου. Idem.

Ἐν Θρᾴκῃ ποιεῖται] Odrysorum regi Amadoco, Cersobleptis fratri, bellum inferens. Leland. Vit. Phil. iv. §. 2. Stock.

πλεῖστοι περὶ ὧν Διοπείθης πράττει καὶ μέλλει ποιεῖν εἴρηνται. ἐγὼ δ' ὅσα μέν τις αἰτιᾶταί τινα τούτων, οὓς κατὰ τοὺς νόμους ἐφ' ὑμῖν ἐστίν, ὅταν βούλησθε, κολάζειν, κἂν ἤδη δοκῇ κἂν [1] σμικρὸν ἐπισχοῦσι περὶ αὐτῶν σκοπεῖν ἐγχωρεῖν ἡγοῦμαι, καὶ οὐ πάνυ [2] δεῖ περὶ τούτων οὔτ' ἐμὲ οὔτ' ἄλλον οὐδένα [3] ἰσχυρίζεσθαι· ὅσα δ' ἐχθρὸς ὑπάρχων τῇ πόλει Φίλιππος καὶ δυνάμει πολλῇ περὶ Ἑλλήσποντον ὢν πειρᾶται προλαβεῖν, κἂν ἅπαξ ὑστερήσωμεν, οὐκέθ' ἕξομεν σῶσαι, περὶ τούτων δ' οἶμαι τὴν ταχίστην συμφέρειν καὶ βεβουλεῦσθαι καὶ παρεσκευάσθαι καὶ μὴ τοῖς περὶ τῶν ἄλλων θορύβοις καὶ ταῖς κατηγορίαις ἀπὸ τούτων ἀποδρᾶναι.

β'. Πολλὰ δὲ θαυμάζων τῶν εἰωθότων λέγεσθαι παρ' ὑμῖν οὐδενὸς ἧττον, ὦ ἄνδρες Ἀθηναῖοι, τεθαύμακα ὃ καὶ πρώην τινὸς ἤκουσα εἰπόντος ἐν τῇ βουλῇ, ὡς ἄρα δεῖ τὸν συμβουλεύοντα ἢ πολεμεῖν ἁπλῶς ἢ [4] τὴν εἰρήνην ἄγειν συμβουλεύειν. ἔστι δέ —, εἰ μὲν ἡσυχίαν Φίλιππος ἄγει καὶ μήτε τῶν ἡμετέρων ἔχει παρὰ τὴν εἰρήνην μηδὲν μήτε συσκευάζεται πάντας ἀνθρώπους ἐφ' [5] ἡμᾶς, οὐδὲν δεῖ λέγειν, ἀλλ' ἁπλῶς εἰρήνην ἀκτέον· καὶ τά γε ἀφ' ὑμῶν ἑτοῖμα ὑπάρχονθ' ὁρῶ. εἰ δ' ἃ [6] μὲν ὠμόσαμεν καὶ ἐφ' οἷς τὴν εἰρήνην ἐποιησάμεθα, ἔστιν ἰδεῖν καὶ γεγραμμένα κεῖται, φαίνεται δ' ἀπ' ἀρχῆς ὁ Φίλιππος, πρὶν Διοπείθην ἐκπλεῦσαι καὶ τοὺς κληρούχους οὓς νῦν αἰτιῶνται πεποιηκέναι τὸν πόλεμον, πολλὰ μὲν τῶν ἡμετέρων ἀδίκως εἰληφώς, ὑπὲρ ὧν ψηφίσμαθ' ὑμέτερα ἐγκαλοῦντα κύρια ταυτί, πάντα δὲ

[1] μικρὸν [2] δεῖν [3] διϊσχυρίζεσθαι [4] ἄγειν τὴν εἰρήνην [5] ὑμᾶς [6] μὲν ἡμεῖς ὠμόσαμεν

Κἂν σμικρὸν ἐπίσχωσι] S. οἱ φιλιππίζοντες ῥήτορες. Felicianus, ἐπισχοῦσι dativo plurali, ut ad ὑμῖν referatur, *sive vobis jam eos punire, sive moram interponere visum fuerit.* Wolf.

Καὶ οὐ πάνυ δεῖ] Potest ita legi, ut a superiore periodo separetur: sed si legas δεῖν, pendebit a verbo ἡγοῦμαι, et erit, opinor, aptius. Idem.

Περὶ τούτων δ'] Particula δὲ non est adversativa, sed ἐμφατικὴ hoc loco, ut, *vero*, apud Latinos. Idem.

Ἀπὸ τούτων ἀποδρᾶναι] *Aufugere, subterfugere.* ἀντὶ τοῦ, ταῦτα παραδραμεῖν καὶ παραλιπεῖν, καταμελεῖν τούτων. Idem.

β'. Καὶ τάγε ἀφ' ὑμῶν] Ἀντὶ τοῦ, καὶ ὑμᾶς γε ἑτοίμους ὑπάρχοντας ὁρῶ τὴν εἰρήνην ἄγειν. Idem.

Κληρούχους] Non eos *milites* appellat, sed *colonos* (pacato nomine usus), quos Athenienses mittebant in urbes suæ ditionis, ut agros singulis assignarent. *Ex edit.* Stock.

Ὑπὲρ ὧν (scilicet ἀδικημάτων τοῦ Φιλίππου) ψηφίσμαθ' ὑμέτερα ἐγκαλοῦντα, κύρια ταυτὶ] Κύρια non sine causa additur. Multa enim fiebant irrita decreta. Vult Athenienses suo ipsorum gladio jugulare: quasi dicat: Vos ipsi decrevistis, pacem esse a Philippo violatam: et tamen du-

[1] τὸν χρόνον συνεχῶς τὰ τῶν ἄλλων Ἑλλήνων καὶ βαρβάρων λαμβάνων καὶ ἐφ' ἡμᾶς συσκευαζόμενος, τί τοῦτο λέγουσιν, ὡς [2] πολεμεῖν ἢ ἄγειν εἰρήνην δεῖ; οὐ γὰρ αἵρεσίς ἐστιν ἡμῖν τοῦ πράγματος, ἀλλ' ὑπολείπεται τὸ δικαιότατον καὶ ἀναγκαιότατον τῶν ἔργων, ὃ ὑπερβαίνουσιν ἑκόντες οὗτοι. τί οὖν ἐστὶ τοῦτο; ἀμύνεσθαι τὸν πρότερον πολεμοῦνθ' ἡμῖν. πλὴν εἰ μὴ τοῦτο λέγουσι νὴ Δία, [3] ὡς, ἂν ἀπέχηται τῆς Ἀττικῆς καὶ τοῦ Πειραιῶς ὁ Φίλιππος, οὔτ' ἀδικεῖ τὴν πόλιν οὔτε [4] ποιεῖ πόλεμον· εἰ δ' ἐκ τούτων τὰ δίκαια τίθενται καὶ τὴν εἰρήνην ταύτῃ ὁρίζονται, ὅτι μὲν δήπουθεν οὔτ' ἀνεκτὰ λέγουσιν οὔθ' ὑμῖν ἀσφαλῆ, δῆλόν ἐστιν ἅπασιν, οὐ μὴν ἀλλ' ἐναντία συμβαίνει ταῖς κατηγορίαις [5] αἷς Διοπείθους κατηγοροῦσι καὶ αὐτὰ ταῦτα λέγειν αὐτούς.

γ'. Τί γὰρ δή ποτε τῷ μὲν Φιλίππῳ πάντα τἄλλα ποιεῖν ἐξουσίαν δώσομεν, ἂν τῆς Ἀττικῆς ἀπέχηται· τῷ Διοπείθει δ' οὐδὲ βοηθεῖν τοῖς Θρᾳξὶν ἐξέσται, ἢ πόλεμον ποιεῖν αὐτὸν φήσομεν; Ἀλλὰ νὴ Δία ταῦτα μὲν ἐξελέγχονται, δεινὰ δὲ ποιοῦσιν οἱ ξένοι περικόπτοντες τὰ ἐν Ἑλλησπόντῳ, καὶ Διοπείθης ἀδικεῖ κατάγων τὰ πλοῖα, καὶ δεῖ μὴ ἐπιτρέπειν αὐτῷ; Ἔστω, γιγνέσθω ταῦτα, οὐδὲν ἀντιλέγω. οἴομαι μέντοι δεῖν, εἴ περ ὡς ἀληθῶς ἐπὶ

[1] τὸν ἄλλον χρόνον [2] πολεμεῖν ἁπλῶς ἢ [3] ἕως ἂν [4] ποιεῖ [τὸν] πόλεμον [5] ἃς

bitatis adhuc, an pro hoste sit habendus? Wolf.

Ψηφίσματα—κύρια] *Rata nondum, abrogata*: quæ adhuc γεγραμμένα κεῖται, ut supra. Stock.

Τὰ τῶν ἄλλων ἑλλήνων] Intelligi potest vel de inita cum illis societate, vel, Philippum, illis victis, factum potentiorem, bellum inferre cogitare Atheniensibus: id quod passim in Philippicis inculcatur. Wolf.

Νὴ Δία, ἕως ἂν] F. νὴ Δία, ὅτι, ἕως ἄν. Idem.

Καὶ τὴν εἰρήνην ταύτην] Rectius legitur ταύτῃ, hoc est, τουτονὶ τὸν τρόπον. Idem.

Οὐ μὴν ἀλλ' ἐναντία συμβαίνει] Verbum verbo: *Quin etiam ita fit, ut contraria accusationibus, quibus Diopithen invadunt, etiam hæc ipsa dicant*; hoc est, dum accusant, excusant hoc ipso, quod Philippum atrociora designantem non accusant. Idem.

Ταῖς κατηγορίαις, ἃς διοπείθους κατηγοροῦσι] Alibi lectum esse dandi casu, αἷς, Obsopœus: ut respondeat casui antecedenti. κατηγορεῖν κατηγορίας τινὸς, Atticismus satis notus. Idem.

γ'. Ἀλλὰ νὴ Δία] Μίμησις εἰρωνική. Idem.

Ταῦτα μὲν ἐξελέγχονται] *Hæc* (scilicet, ea quæ agit Philippus) *convincuntur, redarguuntur*, i. e. iniqua esse deprehenduntur. Auger.

Περικόπτοντες τὰ ἐν ἑλλησπόντῳ] Συλῶντες τοὺς ἑλλησποντίους, καὶ πορθοῦντες τὴν χώραν. Wolf.

Κατάγων τὰ πλοῖα] Ἐκ τῆς θαλάττης ἐπὶ τοὺς λιμένας ἄγων, καὶ διαρπάζων. Suidas citans octavum Philippicam, hoc est, Chersonesitanam hanc, exponit, ληΐζεσθαι καὶ κακοῦν, καὶ μὴ ἐᾶν τοὺς πλέοντας, ὅποι βούλοιντο, πλεῖν· ἀλλ' εἰς τὰ οἰκεῖα χωρία τοῖς λῃστεύουσι κατάγειν. Idem.

Ἐπὶ πᾶσι δικαίοις συμβουλεύουσι.] Δικαίως καὶ εἰλικρινῶς, ἀκιβδήλως, ἀδέκαστοι, ἀδωροδόκητοι ὑπάρχοντες. Idem.

πᾶσι δικαίοις ταῦτα συμβουλεύουσιν, ὥς περ τὴν ὑπάρχουσαν τῇ πόλει δύναμιν καταλῦσαι ζητοῦσι τὸν ἐφεστηκότα καὶ πορίζοντα χρήματα ταύτῃ διαβάλλοντες ἐν ὑμῖν, οὕτω τὴν Φιλίππου δύναμιν δεῖξαι διαλυθησομένην, ἂν ὑμεῖς ταῦτα πεισθῆτε. εἰ δὲ μή, σκοπεῖτε ὅτι οὐδὲν ἄλλο ποιοῦσιν ἢ καθιστᾶσι τὴν πόλιν εἰς τὸ αὐτὸν τρόπον δι' οὗ τὰ [1] παρόντα πράγματα ἅπαντ' [2] ἀπολώλεκεν. ἴστε γὰρ δή που τοῦθ', ὅτι οὐδενὶ τῶν [3] πάντων πλέον κεκράτηκε τῆς πόλεως Φίλιππος ἢ τῷ πρότερος πρὸς τοῖς πράγμασι γίγνεσθαι. ὁ μὲν γὰρ ἔχων δύναμιν συνεστηκυῖαν ἀεὶ περὶ αὑτόν, καὶ προειδὼς ἃ βούλεται πρᾶξαι, ἐξαίφνης ἐφ' οὓς ἂν αὐτῷ δόξῃ πάρεστιν· ἡμεῖς δ' ἐπειδὰν πυθώμεθά τι γιγνόμενον, τηνικαῦτα θορυβούμεθα καὶ παρασκευαζόμεθα. εἶτ', οἶμαι, συμβαίνει τῷ μέν, ἐφ' ἃ ἂν ἔλθῃ, ταῦτ' ἔχειν κατὰ πολλὴν ἡσυχίαν, ἡμῖν δ' ὑστερίζειν, καὶ ὅσα ἂν δαπανήσωμεν, ἅπαντα μάτην [4] ἀναλωκέναι, καὶ τὴν μὲν ἔχθραν καὶ τὸ βούλεσθαι κωλύειν ἐνδεδεῖχθαι, ὑστερίζοντας δὲ τῶν ἔργων αἰσχύνην προσοφλισκάνειν.

δʹ. Μὴ τοίνυν ἀγνοεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι καὶ νῦν τἆλλα μέν ἐστι λόγοι ταῦτα καὶ προφάσεις, πράττεται δὲ τοῦτο καὶ κατασκευάζεται, ὅπως ὑμῶν μὲν οἴκοι μενόντων, ἔξω δὲ μηδεμιᾶς οὔσης τῇ πόλει δυνάμεως μετὰ πλείστης ἡσυχίας [5] ἅπανθ' ὅσα βούλεται Φίλιππος διοικήσεται. θεωρεῖτε γὰρ τὸ παρὸν πρῶτον, ὃ γίγνεται. νυνὶ δύναμιν μεγάλην ἐκεῖνος ἔχων ἐν Θρᾴκῃ διατρίβει, καὶ μεταπέμπεται πολλήν, ὥς φασιν οἱ παρόντες, ἀπὸ Μακεδονίας καὶ Θετταλίας. ἐὰν οὖν περιμείνας τοὺς ἐτησίας ἐπὶ Βυζάντιον ἐλθὼν πολιορκῇ, πρῶτον μὲν οἴεσθε τοὺς Βυζαντίους

[1] παρελθόντα [2] ἀπόλωλεν [3] ἁπάντων [4] ἀνηλωκέναι [5] πάνθ'

Δύναμιν συνεστηκυῖαν] *Perpetuum exercitum*, quem alibi nominat συνεχῆ παρασκευήν. Idem.

Ὅτι καὶ νῦν τἆλλα μέν ἐστι λόγοι ταῦτα καὶ προφάσεις] Ὅτι τἆλλα ταῦτα, scilicet τὰ λεγόμενα, ἐστὶ λόγοι, ἤγουν ψεύδη ἀνύπαρκτα καὶ προφάσεις, τῆς προδοσίας προκαλύμματα. Idem.

δʹ. Ὡς φασιν οἱ παρόντες, ἀπὸ] *Ut ii dicunt, qui adsunt.* μεταπέμπεται ἀπὸ μακεδονίας, *accersit e Macedonia.* sic malo, quam οἱ παρόντες ἀπὸ μακεδονίας, *qui e Macedonia huc venerunt*, vel, qui apud Philippum fuerunt, ἀντὶ τῶν παραγενομένων, accipere. Idem.

Τοὺς ἐτησίας] S. ἀνέμους, quasi dicas, *annuos ventos*, de quibus supra. Idem.

Ἐπὶ τῆς αὐτῆς ἀνοίας] Defectionem in bello sociali intelligo. Idem.

Τοὺς Βυζαντίους μενεῖν ἐπὶ τῆς αὐτῆς ἀνοίας]

μενεῖν ἐπὶ τῆς αὐτῆς ἀνοίας [1]ὥς περ νῦν, καὶ οὔτε παρακαλέσειν ὑμᾶς οὔτε βοηθεῖν αὐτοῖς ἀξιώσειν; ἐγὼ μὲν οὐκ οἴομαι, ἀλλὰ καὶ εἴ τισι μᾶλλον ἀπιστοῦσιν ἢ ὑμῖν, καὶ τούτους εἰσφρήσεσθαι μᾶλλον ἢ ἐκείνῳ παραδώσειν τὴν πόλιν, ἄν περ μὴ φθάσῃ λαβὼν αὐτούς. οὐκοῦν ἡμῶν μὲν μὴ δυναμένων ἐνθένδ' ἀναπλεῦσαι, ἐκεῖ δὲ μηδεμιᾶς ὑπαρχούσης ἑτοίμου βοηθείας οὐδὲν αὐτοὺς ἀπολωλέναι κωλύσει. Νὴ Δία, κακοδαιμονοῦσι γὰρ [2]ἄνθρωποι καὶ ὑπερβάλλουσιν ἀνοίᾳ. Πάνυ γε, ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι· συμφέρει γὰρ τῇ πόλει. Καὶ μὴν οὐδ' ἐκεῖνό γε δῆλόν ἐστιν ἡμῖν, ὡς ἐπὶ Χερῥόνησον οὐχ ἥξει· ἀλλ' εἴ γε ἐκ τῆς ἐπιστολῆς δεῖ σκοπεῖν ἧς ἔπεμψε πρὸς ὑμᾶς, ἀμυνεῖσθαί φησι τοὺς ἐν Χεῤῥονήσῳ. ἂν μὲν τοίνυν ᾖ τὸ συνεστηκὸς τοῦτο στράτευμα, καὶ τῇ χώρᾳ βοηθῆσαι δυνήσεται καὶ τῶν ἐκείνου τι κακῶς ποιῆσαι· εἰ δ' [3]ἅπαξ διαλυθήσεται, τί ποιήσομεν, ἂν ἐπὶ Χεῤῥόνησαν ἴῃ; Κρινοῦμεν Διοπείθην νὴ Δία. Καὶ τί τὰ πράγματα ἔσται βελτίω; Ἀλλ' ἐνθένδε βοηθήσομεν αὐτοῖς. Ἂν δ' ὑπὸ τῶν πνευμάτων μὴ δυνώμεθα; Ἀλλὰ μὰ Δί' οὐχ ἥξει. Καὶ τίς ἐγγυητής ἐστι τούτου; ἆρ' ὁρᾶτε καὶ λογίζεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἐπιοῦσαν ὥραν τοῦ ἔτους, εἰς ἣν ἐρημόν τινες οἴονται δεῖν τὸν Ἑλλήσποντον ὑμῶν ποιῆσαι καὶ παραδοῦναι Φιλίππῳ; τί δ', ἂν ἀπελθὼν ἐκ Θρᾴκης καὶ

[1] ἥσπερ [2] ἄνθρωποι [3] ἅπαξ διαφθαρήσεται καὶ διαλυθήσεται

Anno tertio Olympiadis centesimæ quintæ, Byzantini ab Atheniensibus defecerant, et adversus eos fœdus cum Chiis, Cois, et Rhodiis inierant. (Huc spectat illud *μενεῖν ἐπὶ τῆς αὐτῆς ἀνοίας*, et paulo inferius *κακοδαιμονοῦσι γὰρ ἄνθρωποι*, &c.) Hac de causa haud immerito credebant infensos esse admodum pristinos suos dominos. Nihilominus dicit Orator eos vel ad Atheniensium præsidium confugere malle, quam in Philippi potestatem se dedere: quod et revera factum est. Byzantini quippe, urbe eorum a Philippo obsessa, auxilium ab Atheniensibus petierunt, qui Phocionis ductu eos obsidione liberarunt. Huc pertinet decretum Byzantinorum, de quo, in oratione *περὶ Στεφάνου*. *Ex edit.* Stock.

Ὥσπερ νῦν] Quid si ἥσπερ νῦν. Wolf.

Καὶ τούτους εἰσφρήσεσθαι] Τῇ πόλει ὑποδέξεσθαι ἐπὶ φρουρᾷ, ab εἰσφρέω, εἰσδέχομαι, εἰσάγω, καυχῶμαι, μετὰ σπουδῆς εἰσφέρω. Idem.

Εἰσφρήσεσθαι] Harpocratio videtur legisse εἰσφρήσειν. Εἰσφρήσειν, inquit, εἰσάξειν, εἰσδέξασθαι, Δημοσθένης ἐν ὀγδόῳ Φιλιππικῶν. Auger.

Νὴ Δία, κακοδαιμονοῦσι γὰρ ἄνθρωποι] Τῷ εὐδαιμονεῖν opponitur τὸ κακοδαιμονεῖν. Sed malim κακοδαιμονῶσι per ω, παρὰ τὸ κακοδαιμονᾷν: quod et Phrynichus probat. Significat autem τῷ θεῷ ἀπεχθῆ εἶναι, *Deo invisum esse, malis intemperiis agi.* Adversarius ait, recte eos perituros propter amentiam suam. Νὴ Δία, scilicet οὐδὲν κωλύσει αὐτοὺς ἀπολωλέναι. Wolf.

Ἔρημον ὑμῶν ποιῆσαι] Jubent vos Hellesponto cedere: Hellespontum a vobis deseri. Idem.

μηδὲ προσελθὼν Χεῤῥονήσῳ μηδὲ Βυζαντίῳ — καὶ γὰρ ταῦτα λογίζεσθε — ἐπὶ Χαλκίδα ἢ Μέγαρα ἥκῃ τὸν αὐτὸν τρόπον ὅν περ ἐπ' Ὠρεὸν [1] πρώην, πότερον κρεῖττον ἐνθάδε αὐτὸν [2] ἀμύνεσθαι καὶ προσελθεῖν τὸν πόλεμον πρὸς τὴν Ἀττικὴν ἐᾶσαι, ἢ κατασκευάζειν ἐκεῖ τιν' ἀσχολίαν αὐτῷ; ἐγὼ μὲν οἴομαι τοῦτο.

έ. Ταῦτα τοίνυν ἅπαντας εἰδότας καὶ λογιζομένους χρὴ μὰ Δί' οὐχ ἣν Διοπείθης πειρᾶται τῇ πόλει δύναμιν [3] παρασκευάζειν, ταύτην βασκαίνειν καὶ [4] διαλῦσαι πειρᾶσθαι, ἀλλ' ἑτέραν αὐτοὺς προσπαρασκευάζειν καὶ συνευποροῦντας ἐκείνῳ χρημάτων καὶ τἆλλα οἰκείως συναγωνιζομένους. εἰ γάρ τις ἔροιτο Φίλιππον, Εἰπέ μοι, πότερ' ἂν βούλοιο τούτους τοὺς στρατιώτας οὓς Διοπείθης νῦν ἔχει, τοὺς ὁποιουστινασοῦν—οὐδὲν γὰρ ἀντιλέγω—[5] εὐθενεῖν καὶ παρ' Ἀθηναίοις εὐδοξεῖν καὶ πλείους γίγνεσθαι τῆς πόλεως συναγωνιζομένης, ἢ διαβαλλόντων τινῶν καὶ κατηγορούντων διασπασθῆναι καὶ διαφθαρῆναι; [6] ταῦτ' ἄν, οἶμαι, φήσειεν. εἶθ' ἃ Φίλιππος ἂν εὔξαιτο τοῖς θεοῖς, ταῦθ' ἡμῶν τινὲς [7] ἐνθάδε πράττουσιν; εἶτα ἔτι ζητεῖτε πόθεν τὰ τῆς πόλεως ἀπόλωλεν ἅπαντα;

ς'. Βούλομαι τοίνυν [8] [πρὸς] ὑμᾶς μετὰ παῤῥησίας ἐξετάσαι τὰ παρόντα πράγματα τῇ πόλει, καὶ σκέψασθαι τί ποιοῦμεν αὐτοὶ νῦν καὶ ὅπως χρώμεθ' αὐτοῖς. Ἡμεῖς οὔτε χρήματα εἰςφέρειν βουλόμεθα, οὔτε αὐτοὶ στρατεύεσθαι τολμῶμεν, οὔτε τῶν κοινῶν ἀπέχεσθαι δυνάμεθα, οὔτε τὰς συντάξεις Διοπείθει δίδομεν, οὔθ' ὅσ' ἂν αὐτὸς αὑτῷ πο-

[1] πρώην ἐπ' Ὠρεὸν [2] ἀμύνασθαι [3] κατασκευάζειν [4] διαλύειν [5] εὐθηνεῖν [6] τοῦτ' [7] ἐνθάδε τινὲς [8] Absunt unci.

Ἐπ' Ὠρεὸν] Qua ratione Philippus hanc EubϾ urbem adeptus sit, oratio proxima declarabit. Stock.

έ. Συνευπορεῖν] *Suppeditare de nostro, opes et vires ejus augere.* Wolf.

Τἆλλα οἰκείως] Ἐν τοῖς ἄλλοις, ὡς δεῖ, *in cæteris, ut usus postulat.* Idem.

Τοὺς ὁποιουστινασοῦν (οὐδὲν γὰρ ἀντιλέγω)] Hinc apparet, milites illos fuisse rapacissimos et insolentissimos. Idem.

ς'. Καὶ ὅπως χρώμεθα αὐτοῖς] Τοῖς παροῦσι πράγμασι τῇ πόλει. Idem.

Τῶν κοινῶν ἀπέχεσθαι] S. χρημάτων, quæ in Olynthiacis θεωρικὰ nominantur, vel *abstinere a gerenda republica.* Quam παῤῥησίαν erga totum populum, etsi fortasse nec Demosthenes usurparet, nec populus pateretur: tamen, quod sequitur οὔτε τὰ ἡμέτερα αὐτῶν πράττειν ἐθέλομεν, sic fateor posse intelligi, ut certos quosdam homines importunos perstringat: nisi τὰ ἡμέτερα αὐτῶν πράττειν intelligendum sit, ut etiam in republica suo quisque munere fungatur, et alios non impediat. Idem.

Τὰς συντάξεις] *Tributa* intelligo, ut etiam alibi οἱ φόροι hoc nomine appellantur. Idem.

ρίσηται ἐπαινοῦμεν, ἀλλὰ βασκαίνομεν καὶ σκοποῦμεν πόθεν καὶ τί μέλλει ποιεῖν καὶ πάντα τὰ τοιαῦτα, οὔτ' ἐπειδή περ οὕτως ἔχομεν, τὰ ἡμέτερ' αὐτῶν πράττειν ἐθέλομεν, ἀλλ' ἐν μὲν τοῖς λόγοις τοὺς τῆς πόλεως λέγοντας ἄξια ἐπαινοῦμεν, ἐν δὲ τοῖς ἔργοις τοῖς ἐναντιουμένοις τούτοις συναγωνιζόμεθα. ὑμεῖς μὲν τοίνυν εἰώθατε ἑκάστοτε τὸν παριόντα ἐρωτᾷν, τί οὖν χρὴ ποιεῖν; ἐγὼ δ' ὑμᾶς ἐρωτῆσαι βούλομαι, τί οὖν χρὴ λέγειν; εἰ γὰρ μήτε εἰσοίσετε, μήτε αὐτοὶ στρατεύσεσθε, μήτε τῶν κοινῶν ἀφέξεσθε, μήτε τὰς συντάξεις Διοπείθει δώσετε, μήτε ὅσ' ἂν αὐτὸς αὑτῷ πορίσηται ἐάσετε, μήτε τὰ ὑμέτερ' αὐτῶν πράττειν ἐθελήσετε, οὐκ ἔχω τί λέγω. εἰ γὰρ ἤδη τοσαύτην ἐξουσίαν τοῖς αἰτιᾶσθαι καὶ διαβάλλειν βουλομένοις δίδοτε, ὥςτε καὶ περὶ [1] ὧν φασὶ μέλλειν αὐτὸν ποιεῖν, καὶ περὶ τούτων προκατηγορούντων ἀκροᾶσθαι, τί ἄν τις λέγοι;

ζ'. Ὅ τι τοίνυν δύναται ταῦτα ποιεῖν, ἐνίους μαθεῖν ὑμῶν δεῖ. λέξω δὲ μετὰ παῤῥησίας· καὶ γὰρ οὐδ' ἂν ἄλλως δυναίμην. [3] Πάντες ὅσοι πώποτ' ἐκπεπλεύκασι παρ' ὑμῶν στρατηγοί, ἢ ἐγὼ πάσχειν ὁτιοῦν τιμῶμαι, καὶ παρὰ Χίων καὶ παρὰ Ἐρυθραίων καὶ παρ' ὧν ἂν ἕκαστοι δύνωνται, τούτων τῶν τὴν Ἀσίαν οἰκούντων λέγω, χρήματα λαμβάνουσι. λαμβάνουσι δὲ οἱ μὲν ἔχοντες μίαν ἢ δύο ναῦς ἐλάττονα, οἱ δὲ μείζω δύναμιν πλείονα. καὶ διδόασιν οἱ διδόντες οὔτε τὰ μικρὰ οὔτε τὰ πολλὰ ἀντ' οὐδενός—οὐ γὰρ οὕτω μαίνονται—ἀλλ' [4] ὠνούμενοι μὴ ἀδικεῖσθαι τοὺς παρ' αὐτῶν ἐκπλέοντας ἐμπόρους, [5] μὴ συλᾶσθαι, [6] παραπέμπεσθαι τὰ πλοῖα τὰ αὐτῶν, τὰ τοιαῦτα· φασὶ δ' [7] εὐνοίας διδόναι καὶ

[1] ὧν ἂν φασι [2] ὑμῶν μαθεῖν [3] ἅπαντες [4] ὠνούμενοι τὸ μὴ
[5] μηδὲ [6] παραπέμπεσθαι δὲ τὰ [7] εὐνοίᾳ

Ὡς καὶ περὶ ὧν, etc. καὶ περὶ τούτων] *Ut et quas res*, etc. *iis etiam de rebus.* Observa hunc usum particulæ καί. Idem.

ζ'. Ὅ, τι τοίνυν δύναται] *Quidnam ista valeant:* articulus compositus est, non conjunctio. Idem.

Ἐρυθραίων] Non sinus Persici accolæ, sed cives Erythræ urbis Ionicæ. Stephanus varias Erythras recenset, ut hanc Ionicam, aliam Libyæ, aliam Locridis, aliam Bœotiæ, aliam Cypri, quæ nunc Paphus dicatur. Idem.

Ἀντ' οὐδενὸς] *Pro nullo, re nulla, nihilo*, id est, nihil gratis aut temere largiuntur. Idem.

Τὰ τοιαῦτα] Scilicet χρήματα διδόασιν, *eam pecuniam dant.* Vel, quod malo, τὰ τοιαῦτα, scilicet ἐστὶ τὰ πράγματα, *ita se res habent*, vel διὰ τὰ τοιαῦτα, *propter ejus generis alia, si qua sunt ejus generis alia.* Idem.

Τὰ τοιαῦτα] *Cetera hujusmodi*, scilicet, emunt commoda. Auger.

τοῦτο τοὔνομα ἔχει τὰ λήμματα ταῦτα. καὶ δὴ καὶ νῦν τῷ Διοπείθει στράτευμ' ἔχοντι σαφῶς ἐστὶ τοῦτο δῆλον ὅτι δώσουσι χρήματα πάντες οὗτοι· πόθεν γὰρ οἴεσθε ἄλλοθεν τὸν μήτε λαμβάνοντα παρ' ὑμῶν μηδὲν μήτε αὐτὸν ἔχοντα ὁπόθεν μισθοδοτήσει, στρατιώτας τρέφειν; ἐκ τοῦ οὐρανοῦ; οὐκ ἔστι ταῦτα· ἀλλ' ἀφ' ὧν ἀγείρει καὶ προσαιτεῖ καὶ δανείζεται, ἀπὸ τούτων διάγει. οὐδὲν οὖν ἄλλο ποιοῦσιν οἱ κατηγοροῦντες ἐν ὑμῖν ἢ προλέγουσιν ἅπασι μηδ' ὁτιοῦν ἐκείνῳ διδόναι, ὡς καὶ τοῦ μελλῆσαι δώσοντι δίκην, μή τι ποιήσαντί γε ἢ συγκαταπραξαμένῳ. τοῦτ' εἰσὶν οἱ λόγοι· μέλλει πολιορκεῖν, τοὺς Ἕλληνας ἐκδίδωσι· μέλει γάρ τινι τούτων τῶν τὴν Ἀσίαν οἰκούντων Ἑλλήνων, ἀμείνους μέντ' ἂν εἶεν τῶν ἄλλων ἢ τῆς πατρίδος κήδεσθαι, καὶ τό γε εἰς τὸν Ἑλλήσποντον ἐκπέμπειν ἕτερον στρατηγὸν τοῦτ' ἐστίν. εἰ γὰρ δεινὰ ποιεῖ Διοπείθης καὶ κατάγει τὰ πλοῖα, μικρόν, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν πινάκιον ταῦτα πάντα κωλῦσαι δύναιτ' ἄν, καὶ λέγουσιν οἱ νόμοι ταῦτα, τοὺς ἀδικοῦντας εἰςαγγέλλειν, [1] οὐ μὰ Δία δαπάναις καὶ τριήρεσι τοσαύταις ἡμᾶς αὐτοὺς φυλάττειν, ἐπεὶ τοῦτό γ' ἐστὶν ὑπερβολὴ μανίας· ἀλλ' ἐπὶ μὲν τοὺς ἐχθρούς, οὓς οὐκ ἔστι λαβεῖν ὑπὸ τοῖς νόμοις, καὶ στρατιώτας τρέφειν καὶ τριήρεις ἐκπέμπειν καὶ χρήματα εἰςφέρειν δεῖ καὶ ἀναγκαῖόν ἐστιν, ἐπὶ δ' ἡμᾶς

[1] οὐ μὰ δί' οὐ

Ἀπὸ τούτων διάγει] S. τοὺς στρατιώτας, *de ea sustentat milites*, vel *ipse victitat cum suis*. Usurpatur enim hoc verbum et active et absolute, ut in Nicocle Isocrates: χρὴ τοὺς ὀρθῶς βασιλεύοντας, τὰς πόλεις ἐν ὁμονοίᾳ πειρᾶσθαι διάγειν. WOLF.

Ὡς καὶ τοῦ μελλῆσαι] Hoc est, περὶ ὧν φασὶ μέλλειν αὐτὸν ποιεῖν, ut supra dixit. IDEM.

Μή τί γε] Pro quo alias μὴ ὅτι, *nedum*. pro συγκαταπραξαμένῳ, quod ad dativum ἐκείνῳ refertur, malim, ut Fel. habet, καταπραξαμένῳ. IDEM.

Τοῦτ' εἰσὶν οἱ λόγοι] Hoc est, τοῦτο δύνανται, quo verbo supra usus est. IDEM.

Μέλει γάρ τινι τούτων] Τῶν διαβαλλόντων Διοπείθην. IDEM.

Ἀμείνους κήδεσθαι] Ut Virgilius:

Et cantare pares et respondere parati. IDEM.

Καὶ τό γε εἰς Ἑλλήσποντον] Εἰρωνείαν esse puto, quasi dicat: Egregiam vero sollicitudinem de Græcis. Diopithen, strenuum et fortunatum ducem, revocare volunt: alium ignavum et futilem illi successorem dare, qui evertat omnia. IDEM.

Πινάκιον] Libellus est accusatorius, rei nomen et crimina continens, quem actor magistratui, apud quem scripta erat dica, tradere tenebatur. Cave autem putes tabellam intelligi, cui sententiæ judicum inscriptæ erant: *calculis* enim, non *tabellis*, utebantur Athenienses in sententiis ferendis. STOCK.

Λέγουσιν] Id est, κελεύουσιν ἡμᾶς φυλάττειν αὐτούς, scilicet τοὺς ἀδικοῦντας. WOLF.

Εἰσαγγέλλειν] Εἰσαγγελία fuit judicium, in magnis et publicis criminibus, in quo tum accusatio tum defensio viva voce peragebatur coram senatu, vel populo,

αὐτοὺς ψήφισμα, εἰσαγγελία, πάραλος, ταῦτ' ἐστὶν ἱκανά. ταῦτ' ἦν εὖ φρονούντων ἀνθρώπων, ἐπηρεαζόντων δὲ καὶ διαφθειρόντων τὰ πράγματα, ἃ νῦν οὗτοι ποιοῦσι.

η'. Καὶ τὸ μὲν τούτων τινὰς εἶναι τοιούτους δεινὸν ὂν οὐ δεινόν ἐστιν· ἀλλ' ὑμεῖς οἱ καθήμενοι οὕτως ἤδη διάκεισθε, ὥστε ἂν μέν τις εἴπῃ παρελθὼν ὅτι Διοπείθης ἐστὶ τῶν κακῶν [1] πάντων αἴτιος ἢ Χάρης ἢ Ἀριστοφῶν ἢ ὃν ἂν τῶν πολιτῶν [2] εἴπῃ τις, εὐθέως φατὲ καὶ θορυβεῖτε ὡς ὀρθῶς λέγει· ἂν δὲ παρελθὼν λέγῃ τις τἀληθῆ, ὅτι Ληρεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι· πάντων τῶν κακῶν καὶ τῶν πραγμάτων τούτων Φίλιππός ἐστιν αἴτιος· εἰ γὰρ ἐκεῖνος ἦγεν ἡσυχίαν, οὐδὲν ἂν ἦν πρᾶγμα τῇ πόλει· ὡς μὲν οὐκ ἀληθῆ ταῦτ' ἐστὶν οὐκ ἔχετε ἀντιλέγειν, ἄχθεσθαι δέ μοι δοκεῖτε καὶ ὥς περ ἀπολλύναι τι νομίζειν. Αἴτιον δὲ τούτων — καί μοι πρὸς θεῶν, ὅταν ἕνεκα τοῦ βελτίστου λέγω, ἔστω παῤῥησία —· παρεσκευάκασιν ὑμᾶς ἐκ πολλοῦ τῶν πολιτευομένων ἔνιοι ἐν μὲν ταῖς ἐκκλησίαις φοβεροὺς καὶ χαλεπούς, ἐν δὲ ταῖς παρασκευαῖς ταῖς τοῦ πολέμου ῥαθύμους καὶ εὐκαταφρονήτους. ἂν μὲν οὖν τὸν αἴτιον εἴπῃ τις ὃν ἴστε ὅτι λήψεσθε παρ' ὑμῖν αὐτοῖς, φατὲ καὶ βούλεσθε· ἂν δὲ τοιοῦτον λέγῃ τις ὃν κρατήσαντας τοῖς ὅπλοις, ἄλλως δ' οὐκ ἔστι κολάσαι, οὐκ ἔχετ', οἶμαι, τί ποιήσετε, ἐξελεγχόμενοι δὲ ἄχθεσθε. ἐχρῆν [3] γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοὐναντίον ἢ νῦν, ἅπαντας τοὺς πολιτευομένους ἐν μὲν ταῖς ἐκ-

[1] πάντων τῶν κακῶν [2] εἴπῃ τις τῶν πολιτῶν [3] δὲ

vel interdum Archonte. *Ex edit.* Stock.

Πάραλος] Πάραλον sacram triremem fuisse scribit Suidas, tum ad alios publicos usus accommodatum: tum vero etiam ad duces peregre accersendos. Phavorinus a Paralo, quodam heroë, nominatam esse ait, et remiges ejus navis παράλους vocari. Vulgata Lexica (nescio quo autore) addunt, fuisse judicia per tribus facta. quod si cui *tributa judicia* (sic enim Latine *tributa comitia* dicimus) displicent, is πάραλον *revocatimem* interpretetur licet. Wolf.

Πάραλος] Duæ fuerunt Atheniensibus naves sacræ, Salaminia et Paralus, quæ jussa populi deferebant; atque adeo imperatoribus, male rem gerentibus, inserviebant revocandis. Stock.

η'. Ὥσπερ ἀπολλύναι τι] Eum, qui verum dicat, rempublicam lædere. Et coargui se, et opinionem sibi præconceptam extorqueri, jacturam quandam esse putant. Tenerius amant opiniones suas quam pecunias. Wolf.

Ἐκ πολλοῦ] S. χρόνου. Idem.

Ὃν ἴστε ὅτι λήψεσθε] *Quem vos capturos scitis*, id est, si civis aliquis accusetur, qui vobis elabi non potest. Idem.

Ὃν κρατήσαντας τοῖς ὅπλοις] Sententia est: Philippum malorum omnium autorem, non minis aut decretis, sed armis vincendum esse et puniendum. Idem.

Ἐχρῆν τοὺς πολιτευομένους ἐθίζειν ὑμᾶς εἶναι πράους, etc. et ἐπιδεικνύναι ὑμᾶς, etc.] Sic verba ordinanda sunt. M. ἀποδεικνύναι. Idem.

κλησίαις πράους καὶ φιλανθρώπους ὑμᾶς ἐθίζειν εἶναι· πρὸς γὰρ ὑμᾶς αὐτοὺς καὶ τοὺς συμμάχους ἐν ταύταις ἐστὶ τὰ δίκαια· ἐν δὲ ταῖς παρασκευαῖς ταῖς τοῦ πολέμου φοβεροὺς καὶ χαλεποὺς ἐπιδεικνύναι· πρὸς γὰρ τοὺς ἐχθροὺς καὶ τοὺς ἀντιπάλους ἐν ἐκείναις ἔσθ' ὁ ἀγών. νῦν δὲ δημαγωγοῦντες ὑμᾶς καὶ χαριζόμενοι καθ' ὑπερβολὴν οὕτω διατεθείκασιν, ὥστ' ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾷν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούοντας, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν.

θ'. Φέρε γὰρ πρὸς Διός, εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νυνὶ [1] παρείκατε καιρῶν διὰ ῥᾳθυμίαν, καὶ ἔροινθ' [2] ὑμᾶς, Ἄνδρες Ἀθηναῖοι, πέμπετε ὡς ἡμᾶς ἑκάστοτε πρέσβεις, καὶ λέγετε ὡς ἐπιβουλεύει Φίλππιος ἡμῖν καὶ ἅπασι τοῖς Ἕλλησι, καὶ ὡς φυλάττεσθαι δεῖ τὸν ἄνθρωπον — καὶ [3] πάντα τὰ τοιαῦτα ἀνάγκη φάσκειν καὶ ὁμολογεῖν· ποιοῦμεν γὰρ ταῦτα —. εἶτ', ὦ πάντων ἀνθρώπων φαυλότατοι, δέκα μῆνας ἀπογενομένου τἀνθρώπου καὶ νόσῳ καὶ χειμῶνι καὶ πολέμοις ἀποληφθέντος, ὥστε μὴ ἂν δύνασθαι ἐπανελθεῖν οἴκαδε, οὔτε τὴν Εὔβοιαν ἠλευθερώσατε οὔτε τῶν ὑμετέρων αὐτῶν οὐδὲν ἐκομίσασθε, ἀλλ' ἐκεῖνος μὲν ὑμῶν οἴκοι μενόντων, σχολὴν ἀγόντων, ὑγιαινόντων (εἰ [4] δὴ τοὺς τὰ τοιαῦτα ποιοῦντας ὑγιαίνειν [5] φήσαιεν) δύο ἐν Εὐβοίᾳ κατέστησε τυράννους, τὸν μὲν ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπιτειχίσας, τὸν δ' ἐπὶ Σκιάθῳ· ὑμεῖς δ' οὐδὲ ταῦτ'

[1] παρήκατε [2] ·ὑμεῖς [3] ἅπαντα τὰ τοιαῦτα, ἃ ἀνάγκη [4] δεῖ [5] φῆσαι δύο μὲν ἐν

θ'. Εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες] Expugnata Olyntho, Athenienses tandem bellum Philippo indixere, et legationes miserunt, quæ singulas Græciæ civitates hortarentur ad arma cum iis consocianda. Hinc occasione sumpta, prosopopœiam hanc pulcerrimam instituit, in qua, citra offensionem increpat acerrime civium socordiam et imprudentiam. *Ex edit.* Stock.

Ἀνάγκη φάσκειν] S. ἡμᾶς. *necesse erit, nos assentiri, et fateri,* legatos mitti a nobis. Wolf.

Ποιοῦμεν γὰρ ταῦτα] Est ambiguum, dicaturne μιμητικῶς, *facere nos,* an vero αἰτιολογικῶς, *facimus enim ita.* Quæ sequuntur, εἶτ' ὦ πάντων, iterum sub persona sociorum dicuntur. Idem.

Ὑγιαίνειν] Correctio nascens e polysemia verbi, quod tam ad mentis integritatem, quam ad valetudinem corporis refertur, ὑγίεια καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύο. Idem.

Δύο ἐν Εὐβοίᾳ] Philistidem nempe Orei, et Clitarchum Eretriæ. Eretria spectabat Atticam : Oreum vero fuit e regione Sciathi, insulæ finitimæ in ditione Atheniensium. *Ex edit.* Stock.

Ἐπὶ Σκιάθῳ] Sciathus insula e regione Magnesiæ. Stephanus : σκίαθος νῆσος εὐβοίας. F. ἄντικρυς εὐβοίας. Wolf.

Ἐπὶ Σκιάθῳ] *Ad Sciathum,* ut Wolfius reddit. Hoc est, non *apud,* sed *adversus Sciathum.* Nam ἐπὶ Σκιάθῳ idem est ac ἐπιτειχίσας in eadem sententia. *Ex edit.* Stock.

ἀπελύσασθε, εἰ μηδὲν ἄλλο ἐβούλεσθε, ἀλλ᾽ εἰάκατε καὶ ἀφέστατε δῆλον ὅτι αὐτῷ, καὶ φανερὸν πεποιήκατε ὅτι οὐδ᾽ ἂν δεκάκις ἀποθάνῃ, οὐδὲν μᾶλλον ὑμεῖς γε κινήσεσθε. τί οὖν πρεσβεύεσθε καὶ κατηγορεῖτε καὶ πράγμαθ᾽ ἡμῖν παρέχετε; Ἂν ταῦτα λέγωσι, τί ἐροῦμεν ἢ τί φήσομεν, ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ.

ί. Εἰσὶ τοίνυν τινὲς οἳ τότ᾽ ἐξελέγχειν τὸν παριόντα οἴονται, ἐπειδὰν ἐρωτήσωσι τί οὖν χρὴ ποιεῖν; οἷς ἐγὼ μὲν τὸ δικαιότατον καὶ ἀληθέστατον τοῦτο ἀποκρινοῦμαι, ταῦτα μὴ ποιεῖν ἃ νυνὶ ποιεῖτε· οὐ μὴν ἀλλὰ καὶ καθ᾽ ἕκαστον ἀκριβῶς ἐρῶ. καὶ ὅπως, ὥς περ ἐρωτῶσι προθύμως, οὕτω καὶ ποιεῖν [1] ἐθελήσουσι! Πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, [2] τοῦτο παρ᾽ ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκε — καὶ παύσασθε περὶ [3] τούτου κατηγοροῦντες ἀλλήλων — καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πόλεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει πᾶσιν ἀνθρώποις, καὶ τοῖς μάλιστ᾽ οἰομένοις αὐτῷ χαρίζεσθαι (εἰ δὲ μή, σκεψάσθωσαν [4] Εὐθυκράτη καὶ Λασθένη τοὺς Ὀλυνθίους, οἳ δοκοῦντες οἰκειότατ᾽ αὐτῷ διακεῖσθαι, ἐπειδὴ τὴν πόλιν προὔδοσαν, πάντων κάκιστ᾽ ἀπολώλασιν), οὐδενὶ μέντοι μᾶλλον ἢ τῇ πολιτείᾳ πολεμεῖ οὐδ᾽ ἐπιβουλεύει, καὶ σκοπεῖ μᾶλλον οὐδὲ ἓν τῶν πάντων ἢ ὅπως ταύτην [5] καταλύσει. Καὶ τοῦτ᾽ εἰκότως τρόπον [6] τινὰ πράττει· οἶδε γὰρ ἀκριβῶς ὅτι οὐδ᾽ ἂν πάντων τῶν ἄλλων γένηται κύριος, οὐδὲν [7] ἔστ᾽ αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν ὑμεῖς δημοκρα-

[1] ἐθελήσωσι [2] τοῦτο δεῖ παρ᾽ [3] τούτων [4] Εὐθυκράτην καὶ Λασθένην
[5] καταλύσῃ [6] τινὰ νῦν γε δὴ πράττει [7] ἔσται

ί. Τὸν παριόντα] *Progressum*, eum, qui concionaturus est. qui σύμβουλος, et συμβουλεύων, et λέγων, etsi pluraliter fere οἱ λέγοντες, ut et cætera participia, et δημήγορος et δημηγορῶν nominatur. Wolf.

Καὶ ὅπως ὥσπερ] *Et ut velint, modo velint.* ἐλλειπτικὸν est, ut subintelligatur ὁρᾶν χρὴ, vel πειρατέον: vel ὅπως ἐθελήσωσιν accipiendum pro ἐθελέτωσαν. Idem.

Γνῶναι] Pendet a verbo χρή. etsi fortasse id non incommode repeteretur: χρὴ τοῦτο παρ᾽ ὑμῖν αὐτοῖς βεβαίως γνῶναι. Idem.

Ἀπολώλασιν] Notum est dictum Philippi in Olynthi proditores, qui Macedones homines rusticos esse dicebat, quod scapham scapham nominarent, et ficum ficum. Idem.

Ἀπολώλασι] Propter ignominiam, ut opinor, de qua vide orationem falsæ legationis. Etsi nihil vetat, ac potius consentaneum est, eos exitio factis suis digno periisse. Idem.

Ἂν γένηται] Non est δυνητικὸν ἂν, sed pro ἐὰν capitur, ut sæpe alias. Cave igitur, ne fallaris. Idem.

τῆσδε, ἀλλ᾿ ἐάν ποτε συμβῇ τι πταῖσμα, ἃ πολλὰ γένοιτ᾿ ἂν ἀνθρώπῳ, ἥξει πάντα τὰ νῦν συμβεβιασμένα καὶ καταφεύξεται πρὸς ὑμᾶς. ἔστε γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες, ἀλλ᾿ ἕτερον λαβεῖν κωλῦσαι καὶ ἔχοντ᾿ ἀφελέσθαι δεινοί, καὶ ὅλως ἐνοχλῆσαι τοῖς ἄρχειν βουλομένοις καὶ πάντας ἀνθρώπους εἰς ἐλευθερίαν ἐξαφελέσθαι ἕτοιμοι. οὔκουν βούλεται τοῖς ἑαυτοῦ καιροῖς τὴν παρ᾿ ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐδὲ πολλοῦ δεῖ, οὐ κακῶς οὐδ᾿ ἀργῶς ταῦτα λογιζόμενος.

ιά. Πρῶτον μὲν δὴ διὰ τοῦτο δεῖ ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον· εἰ γὰρ μὴ τοῦτο πεισθήσεσθε ταῖς ψυχαῖς, οὐκ ἐθελήσετε ὑπὲρ τῶν πραγμάτων σπουδάζειν· δεύτερον δ᾿ εἰδέναι σαφῶς ὅτι πάνθ᾿ ὅσα πραγματεύεται καὶ κατασκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν [1] παρασκευάζεται, καὶ ὅπου τις ἐκεῖνον ἀμύνεται, ἐνταῦθ᾿ ὑπὲρ ἡμῶν ἀμυνεῖται. οὐ γὰρ οὕτω γ᾿ εὐήθης ἐστὶν ὑμῶν οὐδείς, [2] ὃς ὑπολαμβάνει τὸν Φίλιππον τῶν μὲν ἐν Θράκῃ κακῶν — τί γὰρ ἄλλο τις ἂν εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστειραν καὶ ἃ νῦν ἐξαιρεῖ καὶ κατασκευάζεται; — τούτων μὲν ἐπιθυμεῖν, καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν καὶ πόνους καὶ χειμῶνας καὶ τοὺς ἐσχάτους κινδύνους ὑπομένειν, τῶν δὲ Ἀθήνησι λιμένων καὶ νεωρίων καὶ [3] τριήρων καὶ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοσούτων προσόδων οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν ἐάσειν [4] ὑμᾶς ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις σιροῖς ἐν τῷ βαράθρῳ χειμάζειν. οὐκ ἔστι ταῦτα,

[1] κατασκευάζεται [2] ὥστε ὑπολαμβάνειν [3] τριηρῶν [4] ὑμᾶς ἐάσειν

Οὐδὲ πολλοῦ δεῖ] S. λόγου. *neque multis est opus.* Alii interpretantur, quasi esset, πολλοῦ γε καὶ δεῖ, *multum certe abest.* Huic similem locutionem, οὐδ᾿ ὀλίγου δεῖ, eodem modo intelligo, scilicet λόγου. *Ne paucis quidem verbis opus est,* hoc est, supervacaneum prorsus est, hac de re dicere. *Es bedarf nicht viel wort. Es bedarf nicht red.* IDEM.

ιά. Δρογγίλον, καὶ Καβύλην, καὶ Μάστειραν] Fuere ignobiles in Thracia urbes, quarum Cabylem solum ab historicorum aliquo et a geographis memoratam vidi, distabatque triginta millia passuum ab ostio ponti Euxini, ut est apud Stephanum. *Lucches.* STOCK.

Τῶν ἔργων τῶν ἀργυρείων] Atheniensibus erant argentifodinæ apud montem Laurium in Attica. *Ex edit.* STOCK.

Μελίνη] *Semen leguminis.* Vide Harpocrationem in hoc verbum. AUGER.

Ἐν τοῖς Θρᾳκίοις σιροῖς] De his Varro de re rustica, I. 57. *Quidam granaria habent sub terris, uti speluncas, quas vocant* σειροὺς, *ut in Cappadocia ac Thracia.* Adde Q. Curtium, VII. 4. Siros *vocabant barbari: quos ita solerter abscondunt, ut nisi qui defoderunt, invenire non possint. In iis conditæ fruges erant.* STOCK.

Ἐν τῷ βαράθρῳ] Locus Athenis, in quem præcipitabantur malefici, ut Spartæ κεάδας, Romæ Scalæ Gemoniæ. Sic appellat

ἀλλὰ κἀκεῖνα ὑπὲρ τοῦ τούτων γενέσθαι κύριος καὶ τἄλλα πάντα πραγματεύεται. Τί οὖν εὖ φρονούντων ἀνθρώπων ἐστίν; εἰδότας ταῦτα καὶ ἐγνωκότας τὴν μὲν ὑπερβάλλουσαν καὶ ἀνήκεστον ταύτην ῥαθυμίαν ἀποθέσθαι, χρήματα δ' εἰςφέρειν καὶ τοὺς συμμάχους ἀξιοῦν, καὶ ὅπως τὸ συνεστηκὸς τοῦτο συμμενεῖ στράτευμα ὁρᾶν καὶ πράττειν, ἵν' ὥσπερ ἐκεῖνος ἑτοίμην ἔχει δύναμιν τὴν ἀδικήσουσαν καὶ καταδουλωσομένην ἅπαντας τοὺς Ἕλληνας, [1] οὕτω τὴν σώσουσαν ὑμεῖς καὶ βοηθήσουσαν ἅπασιν ἑτοίμην ἔχητε. οὐ γάρ ἐστι βοηθείαις χρωμένους οὐδέποτ' οὐδὲν τῶν δεόντων πρᾶξαι, ἀλλὰ κατασκευάσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας καὶ ταμίας καὶ δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν χρημάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι, οὕτω ποιήσαντας, τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβάνειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ. κἂν οὕτω ποιήσητε καὶ ταῦτ' ἐθελήσητε ὡς ἀληθῶς, ἄγειν εἰρήνην δικαίαν καὶ μένειν ἐπὶ τῆς αὑτοῦ Φίλιππον ἀναγκάσετε, οὗ μεῖζον οὐδὲν ἂν γένοιτ' ἀγαθόν, ἢ πολεμήσετ' ἐξ ἴσου.

ιϐ΄. Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης μεγάλης καὶ πόνων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ· ἀλλ' ἐὰν [2] λογίζηται τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα, ἂν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσιτελοῦν τὸ [3] ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς ὑμῖν θεῶν (οὐ γὰρ ἀνθρώπων γ' οὐδεὶς ἂν γένοιτο ἀξιόχρεως τηλικούτου πράγματος), ὡς ἂν ἄγηθ' ἡσυχίαν καὶ ἅπαντα πρόησθε, οὐκ ἐπ' αὐτοὺς ὑμᾶς τελευτῶν ἐκεῖνος ἥξει, αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάντας τοὺς θεούς! καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ πόλει καὶ πεπραγμένων τοῖς

[1] οὕτω καὶ τὴν [2] λογίσηται [3] ἑκόντα

Thracici cœli inclementiam per translationem, οἷον ἐν τῷ ὀλέθρῳ, perinde ac si *in peste* vel *interitu* dixisset, ut Suidas annotat. WOLF.

Ἐν τῷ βαράθρῳ] Caverna quædam fuit Athenis, in quam capitis damnatos præcipitabant. Animadvertit Interpres Gallicus, (nescio an non subtiliter magis, quam vere) metaphoram hancce non tantum Thracici inclementiam cœli depingere, verum etiam animos nostros ad Philippi, tanquam scelesti fœdissimo supplicio digni, considerationem traducere. STOCK.

Βοηθείαις] Tumultuarium et subitarium exercitum ita vocat. WOLF.

ιβ΄. Εἰ μὲν γάρ ἐστί τις] Malim εἴη. IDEM.

Τελευτῶν ἐκεῖνος ἥξει] *Tandem, denique.* IDEM.

Καὶ τῶν ὑπαρχόντων τῇ πόλει] Τοῦ ἀξιώματος καὶ τῆς δυνάμεως τῆς πόλεως. Sunt enim τὰ ὑπάρχοντά τινι, ea omnia orna-

προγόνοις, τῆς ἰδίας [1] ἕνεκεν ῥᾳθυμίας τοὺς ἄλλους πάντας [2] Ἕλληνας εἰς δουλείαν προέσθαι, καὶ ἔγωγε [3] αὐτὸς μὲν τεθνάναι μᾶλλον ἂν ἢ ταῦτ᾽ εἰρηκέναι βουλοίμην· οὐ μὴν ἀλλ᾽ εἴ τις ἄλλος λέγει καὶ ὑμᾶς πείθει, ἔστω, μὴ ἀμύνεσθε, ἅπαντα πρόεσθε. εἰ δὲ [4] μηδενὶ τοῦτο δοκεῖ, τοὐναντίον δὲ προΐσμεν ἅπαντες ὅτι ὅσῳ ἂν πλειόνων ἐκεῖνον ἐάσωμεν γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθα ἐχθρῷ, ποῖ ἀναδυόμεθα; ἢ τί μέλλομεν; ἢ πότε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δέοντα ποιεῖν ἐθελήσομεν; ὅταν νὴ Δί᾽ ἀνάγκη τις ᾖ; ἀλλ᾽ ἣν μὲν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, οὐ μόνον ἤδη πάρεστιν, ἀλλὰ καὶ πάλαι παρελήλυθε· τὴν δὲ τῶν δούλων ἀπεύχεσθαι δή που μὴ γενέσθαι δεῖ. διαφέρει δὲ τί; ὅτι ἔστιν ἐλευθέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη ἡ ὑπὲρ τῶν [5] γιγνομένων αἰσχύνη, καὶ μείζω ταύτης οὐκ οἶδ᾽ ἥν τιν᾽ ἂν εἴποι τις· δούλῳ δὲ πληγαὶ καὶ ὁ τοῦ σώματος αἰκισμός, ἃ μήτε γένοιτ᾽ οὔτε λέγειν ἄξιον.

ιγ΄. Πάντα τοίνυν τἄλλ᾽ εἰπὼν ἂν ἡδέως, καὶ δείξας ὃν τρόπον ὑμᾶς ἔνιοι καταπολιτεύονται, τὰ μὲν ἄλλα ἐάσω· ἀλλ᾽ ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμπέσῃ, εὐθὺς ἀναστάς τις λέγει τὸ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθόν, καὶ τὸ τρέφειν δύναμιν μεγάλην ὡς χαλεπόν, καὶ διαρπάζειν τινὲς τὰ χρήματα βούλονται, καὶ τοιούτους λόγους, ἐξ ὧν ἀναβάλλουσι μὲν ὑμᾶς, ἡσυχίαν δὲ ποιοῦσιν ἐκείνῳ πράττειν [6] ὅ τι βούλεται. ἐκ δὲ τούτων περιγίγνεται ὑμῖν μὲν ἡ σχολὴ καὶ τὸ μηδὲν ἤδη ποιεῖν, ἃ δέδοιχ᾽ ὅπως μή ποθ᾽ [7] ἡγήσεσθε ἐπὶ πολλῷ γεγενῆσθαι, τούτοις δὲ αἱ χάριτες καὶ ὁ μισθὸς

[1] ἕνεκα [2] ἕλληνας ἅπαντας [3] αὐτὸς ἂν τεθνάναι μᾶλλον ἢ [4] μηδενὶ μὲν τοῦτο [5] πραγμάτων [6] ὅ, τι καὶ βούλεται [7] ἡγήσησθε

menta et præsidia et facultates, quibus aliquis nititur: itidemque in malam partem incommoda et impedimenta omnia: etsi de his τὰ ἐνόντα, τουτέστι, τὰ δυνατὰ sæpius dicuntur. IDEM.

Ποῖ ἀναδυόμεθα] *Quo subterfugimus?* id est, quem receptum habituri sumus? Suidas ἀναδύομαι, φεύγω, ἀναβάλλομαι, μεταβουλεύω. Varinus: ῥᾳθυμῶν ὑπερτίθεμαι, προΐεμαι τὸν ἐπιτήδειον καιρὸν τῶν πράξεων, ἐνδύομαι, προανακρούομαι, μέλλω. IDEM.

Ἀπεύχεσθαι] Respondet voci Latinæ *deprecari*, i. e. precari ne aliquid eveniat. Itaque abundant eæ quæ sequuntur voces μὴ γενέσθαι. AUGER.

ιγ΄. Καὶ τοιούτους λόγους] Subaudi λέγει, vel λέγουσι: nam orator abrupte transit a singulari numero ad pluralem. IDEM.

Ἐξ ὧν ἀναβάλλουσι μὲν ὑμᾶς] Ὀκνεῖν καὶ ἀναδύεσθαι ποιοῦσι, καὶ τῶν καιρῶν ὑστερεῖν. WOLF.

Ἐπὶ πολλῷ] Nempe τόκῳ vel διαφόρῳ, *multo fœnore* vel *detrimento*. AUGER.

Αἱ χάριτες] S. Παρ᾽ ὑμῶν. WOLF.

Ὁ μισθὸς] Παρὰ Φιλίππου. IDEM.

ὁ τούτων. ἐγὼ δ᾽ οἴομαι τὴν μὲν εἰρήνην ἄγειν οὐχ ὑμᾶς δεῖν πείθειν, οἳ πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γ᾽ ἀφ᾽ ὑμῶν ἕτοιμα ὑπάρχει· νομίζειν δ᾽ εἶναι χαλεπὰ οὐχ ὅσ᾽ ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ᾽ ἃ πεισόμεθα, ἂν ταῦτα μὴ ἐθέλωμεν ποιεῖν· καὶ τὸ διαρπασθήσεται τὰ χρήματα τῷ φυλακὴν εἰπεῖν, δι᾽ ἧς σωθήσεται, κωλύειν, οὐχὶ τῷ τοῦ συμφέροντος ἀφεστάναι. Καί τοι ἔγωγ᾽ ἀγανακτῶ καὶ αὐτὸ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν χρήματα λυπεῖ τινὰς ὑμῶν, εἰ διαρπασθήσεται, ἃ καὶ φυλάττειν καὶ κολάζειν τοὺς ἀδικοῦντας ἐφ᾽ ὑμῖν ἐστί· τὴν δὲ Ἑλλάδα πᾶσαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων οὐ λυπεῖ, καὶ ταῦτ᾽ ἐφ᾽ ὑμᾶς ἁρπάζων.

ιδ΄. Τί ποτ᾽ οὖν ἐστὶ τὸ αἴτιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ τὸν μὲν οὕτω φανερῶς στρατεύοντα, ἀδικοῦντα, πόλεις καταλαμβάνοντα μηδένα πώποτε [1] τούτων εἰπεῖν ὡς ἀδικεῖ καὶ πόλεμον ποιεῖ, τοὺς δὲ μὴ ἐπιτρέπειν μηδὲ προΐεσθαι ταῦτα συμβουλεύοντας, τούτους τὸν πόλεμον ποιεῖν αἰτιᾶσθαι; ἐγὼ διδάξω· ὅτι τὴν ὀργὴν ἣν εἰκός ἐστι [2] γενέσθαι παρ᾽ ὑμῶν, ἄν τι λυπῆσθε τῷ πολέμῳ, εἰς τοὺς ὑπὲρ ὑμῶν λέγοντας τὰ βέλτιστα τρέψαι βούλονται, ἵνα τούτους κρίνητε, μὴ Φίλιππον ἀμύνησθε, καὶ κατηγορῶσι μέν, αὐτοὶ δὲ μὴ δίκην δῶσιν ὧν ποιοῦσι νῦν. τοῦτ᾽ αὐτοῖς δύναται τὸ λέγειν ὡς ἄρα βούλονταί πόλεμόν τινες ποιῆσαι παρ᾽ ὑμῖν, καὶ περὶ [3] τούτου ἡ διαδικασία αὕτη ἐστίν. Ἐγὼ δ᾽ οἶδα ἀκριβῶς ὅτι οὐ γράψαντος Ἀθηναίων οὐδενὸς πόλεμον καὶ ἄλλα πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως καὶ νῦν εἰς Καρδίαν πέπομφε βοήθειαν. εἰ μέντοι βουλόμεθ᾽ ἡμεῖς μὴ προσποιεῖσθαι πολεμεῖν αὐτὸν ἡμῖν, ἀνοητότατος πάντων ἂν εἴη τῶν

[1] τοῦτον [2] γίγνεσθαι [3] τούτων

Ὁ τούτων] S. Τῶν λόγων, id est, διὰ τούτους. Idem.

Κωλύειν] Pendet a verbis οἶμαι δεῖν. Idem.

ιδ΄. Ἵνα τούτους κρίνητε] Ut defensores vestrorum commodorum, apud vos accusati, periclitentur, capitis periculum adeant. Idem.

Ἡ διαδικασία] *Disceptatio, intercessio*: sic appellare videtur criminationes proditorum, Philippi commoda propugnantium. Hesychius: ἀμφισβήτησις, κρίσις, ἐπίκρισις τοῦ ἐπιτηδείου πρὸς λειτουργίαν, καὶ πρὸς τὰ ἄλλα. Idem.

Εἰ μὲν τοίνυν βουλόμεθ᾽ ἡμεῖς μὴ προσποιεῖσθαι] Id est, *non simulare*, hoc est, *dissimulare*. sic Æschines κατὰ κτησιφ. ἐὰν δὲ μὴ προσποιῆται ὑμᾶς ἀκούειν, *quod si verba hæc vestra audire se dissimulet*. Simile est huic οὐκ ἀξιῶ, pro *indignum*

ὄντων ἀνθρώπων εἰ τοῦτ᾽ ἐξελέγχοι. ἀλλ᾽ ἐπειδὰν [1] ἐπ᾽ αὐτοὺς ἡμᾶς ἴῃ, τί φήσομεν [2] [τότε]; ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν [3] ἡμῖν, ὥς περ οὐδ᾽ Ὠρείταις τῶν στρατιωτῶν ὄντων ἐν τῇ χώρᾳ, οὐδὲ Φεραίοις πρότερον πρὶν ἢ πρὸς τὰ τείχη προςβαλεῖν αὐτῶν, οὐδ᾽ Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων. ἢ καὶ τότε τοὺς ἀμύνεσθαι κελεύοντας πόλεμον ποιεῖν φήσομεν; οὐκοῦν ὑπόλοιπον δουλεύειν· οὐ γὰρ ἄλλο γ᾽ οὐδέν ἐστι μεταξὺ τοῦ μήτ᾽ ἀμύνεσθαι μήτ᾽ ἄγειν ἡσυχίαν ἐᾶσθαι. Καὶ μὴν οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν τε καὶ τοῖς ἄλλοις ἔσθ᾽ ὁ κίνδυνος· οὐ γὰρ ὑφ᾽ αὑτῷ τὴν πόλιν ποιήσασθαι βούλεται Φίλιππος, ἀλλ᾽ ὅλως ἀνελεῖν. οἶδε γὰρ ἀκριβῶς ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτ᾽ ἐθελήσετε οὔτ᾽, ἂν ἐθελήσητε, [4] ἐπιστήσεσθε· ἄρχειν γὰρ εἰώθατε· πράγματα δ᾽ αὐτῷ παρασχεῖν, ἂν καιρὸν λάβητε, πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάντων δυνήσεσθε.

ιέ. Ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ὄντος τοῦ ἀγῶνος προςήκει οὕτω γιγνώσκειν, καὶ τοὺς πεπρακότας αὑτοὺς ἐκείνῳ [5] μισεῖν καὶ ἀποτυμπανίσαι. οὐ γάρ ἔστιν, οὐκ ἔστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητ᾽ ἐχθροὺς ὑπηρετοῦντας ἐκείνῳ, ἀλλ᾽ ἀνάγκη τούτοις ὥς περ προβόλοις προσπταίοντας ὑστερίζειν ἐκείνων. Πόθεν γὰρ οἴεσθε νῦν αὐτὸν [6] ὑβρίζειν ὑμᾶς—οὐδὲν γὰρ ἄλλο ἔμοιγε δοκεῖ ποιεῖν ἢ τοῦτο—καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾶν, ὑμῖν δ᾽ ἀπειλεῖν ἤδη; οἷον Θετταλοὺς πολλὰ δοὺς ὑπηγάγετο εἰς τὴν νῦν παροῦσαν δουλείαν· οὐδ᾽ ἂν εἰπεῖν δύναιτ᾽ οὐδείς, ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους πρότερον δοὺς Ποτίδαιαν [7] ἐξηπάτησε καὶ πόλλ᾽ ἕτερα· Θηβαίους [8] τὰ νῦν ὑπάγεται τὴν Βοιωτίαν αὐτοῖς παραδοὺς καὶ ἀπαλλάξας πολέμου πολλοῦ καὶ χαλεποῦ. ὥςτε καρπωσάμενοί τινα ἑκα-

[1] ἐφ᾽ ἡμᾶς αὐτοὺς [2] Absunt unci. [3] ἡμῖν ἐρεῖ, ὥςπερ [4] ἐπίστασθε [5] μισεῖν τε καὶ [6] ὑβρίζειν εἰς ὑμᾶς [7] ἐξηπάτησε, Ποτίδαιαν, [8] Deest articulus

censeo, &c. *Ex edit.* WOLF.

Εἰ τοῦτ᾽ ἐξελέγχοι] Hoc est, si, nostra de pace opinione refutata, palam profiteretur, se bellum nobis intulisse. WOLF.

ιέ. Προβόλοις] Πρόβολοι, juxta Harpocrationem, sunt scopuli incumbentes in mare, et quædam veluti littora. AUGER.

Εἰ μηδὲν ἄλλο, ἐξαπατᾶν] *Si nihil aliud, decipere:* si non evertit, decipit tamen. WOLF.

Καὶ πόλλ᾽ ἕτερα] Nimirum δούς. AUGER.

Πολέμου πολλοῦ] Phocense seu sacrum intelligendum. πολλοῦ, ἀντὶ τοῦ μακροῦ. WOLF.

στοι τούτων πλεονεξίαν οἱ μὲν ἤδη πεπόνθασιν ἃ δὴ πάντες ἴσασιν, οἱ δ᾽ ὅ τι ἂν ποτε συμβῇ πείσονται. ὑμεῖς δὲ ὧν μὲν ἀπεστέρησθε, σιωπῶ· ἀλλ᾽ ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι πόσα ἐξηπάτησθε! πόσων ἀπεστέρησθε! οὐχὶ Φωκέας, οὐ Πύλας, οὐχὶ τὰ ἐπὶ Θρᾴκης, Δορίσκον, Σέρριον, τὸν Κερσοβλέπτην αὐτόν, οὐ νῦν τὴν πόλιν τὴν Καρδιανῶν ἔχει καὶ ὁμολογεῖ; Τί ποτ᾽ οὖν ἐκείνως τοῖς ἄλλοις καὶ οὐ τὸν αὐτὸν τρόπον ὑμῖν προςφέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ [1] ὑμετέρᾳ ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται, καὶ λαβόντα χρήματ᾽ αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ᾽ ὑμῖν, κἂν ἀφῃρημένοι τὰ ὑμέτερα αὐτῶν ἦτε. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου, μὴ συνευπεπονθότων τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι· οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου, μὴ συνευπεπονθότος τοῦ πλήθους τοῦ Θετταλῶν τῷ τοὺς τυράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς καὶ τὴν Πυλαίαν ἀποδοῦναι· οὐκ ἦν ἐν Θήβαις ἀσφαλές, πρὶν τὴν Βοιωτίαν ἀπέδωκε καὶ τοὺς Φωκέας ἀνεῖλεν. ἀλλ᾽ Ἀθήνῃσιν οὐ μόνον Ἀμφίπολιν καὶ τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ καὶ κατασκευάζοντος ὑμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν καὶ νῦν ἐπὶ Βυζάντιον παριόντος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ Φιλίππου. Τοιγάρτοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ πλούσιοι [2] γίγνονται καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδοξοι καὶ γνώριμοι, ὑμεῖς δὲ τοὐναντίον ἐκ μὲν ἐνδόξων ἄδοξοι, ἐκ δ᾽ εὐπόρων ἄποροι· πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι συμμάχους, πίστιν, εὔνοιαν, ὧν ἁπάντων ἐσθ᾽ ὑμεῖς ἄποροι. ἐκ δὲ τοῦ τούτων ὀλιγώρως ὑμᾶς ἔχειν καὶ ἐᾷν ταῦτα φέρεσθαι ὁ μὲν εὐδαίμων καὶ μέγας καὶ φοβερὸς

[1] ἡμετέρᾳ

[2] γεγόνασι

Οἱ δ᾽ ὅ, τι ἂν ποτε συμβῇ, πείσονται] Id est, non dubium est, quin eos male tractaturus sit: quo autem modo, id est incertum. IDEM.

Κερσοβλέπτην αὐτὸν] Qui, postquam anno 4. Olymp. 106. Chersonesum in Atheniensium fidem dederat, et socius pop. Ath. nominatus fuerat, tandem anno 2. Olymp. 108. sub Philippi ditionem venit, eique vectigal pendere coactus est. STOCK.

Οὐκ ἦν ἀσφαλὲς] Fortassis οὐκ ἂν ἦν, *non fuisset*. συνευπεπονθότων, id est, εἰ μὴ συνευεπεπόνθεισαν. sed potest etiam simpliciter intelligi. *Non fuit tutum, priusquam, &c.* καίτοι τῆς ὑποθετικῆς φράσεως τὸ δυνητικὸν μόριον ἀπαιτεῖν δοκούσης. WOLF.

Καὶ ἐᾷν τούτων στέρεσθαι] S. ὑμᾶς. Annotatum est legi, καὶ ἐᾷν ταῦτα φέρεσθαι. S. τὸν Φίλιππον, ἢ Φέρεσθαι ταῦτα κατὰ ῥοῦν, καὶ μὴ κωλύειν. IDEM.

Φέρεσθαι] i. e. Οἴχεσθαι, ἀπιέναι. Ταῦτα intellige τὰ κοινὰ πράγματα. AUGER.

πᾶσιν Ἕλλησι καὶ βαρβάροις γέγονεν, ὑμεῖς δ' ἔρημοι καὶ ταπεινοί, τῇ μὲν τῶν ὠνίων ἀφθονίᾳ λαμπροί, τῇ δ' ὧν προσῆκε παρασκευῇ καταγέλαστοι.

ις'. Οὐ τὸν αὐτὸν δὲ τρόπον περί τε ὑμῶν καὶ περὶ αὐτῶν ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομένους· ὑμᾶς μὲν γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ, αὐτοὶ δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυχίαν ἄγειν οὐδενὸς αὐτοὺς ἀδικοῦντος. Εἶτά φησιν ὃς ἂν τύχῃ παρελθών, Οὐ γὰρ ἐθέλεις γράφειν οὐδὲ κινδυνεύειν, ἀλλ' ἄτολμος εἶ καὶ μαλακός. Ἐγὼ δὲ θρασὺς μὲν καὶ βδελυρὸς καὶ ἀναιδὴς οὔτ' εἰμὶ μήτε γενοίμην, ἀνδρειότερον μέντοι πολλῷ πάνυ τῶν ἰταμῶς πολιτευομένων παρ' ὑμῖν ἐμαυτὸν ἡγοῦμαι. ὅς τις μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, παριδὼν ἃ συνοίσει τῇ πόλει, κρίνει, δημεύει, δίδωσι, κατηγορεῖ, οὐδεμιᾷ ταῦτ' ἀνδρίᾳ ποιεῖ, ἀλλ' ἔχων ἐνέχυρον τῆς αὑτοῦ σωτηρίας τὸ πρὸς χάριν ὑμῖν λέγειν καὶ πολιτεύεσθαι ἀσφαλῶς θρασύς ἐστιν· ὅς τις δ' ὑπὲρ τοῦ βελτίστου πολλὰ τοῖς ὑμετέροις ἐναντιοῦται βουλήμασι, καὶ μηδὲν λέγει πρὸς χάριν ἀλλὰ τὸ βέλτιστον ἀεί, καὶ τὴν τοιαύτην πολιτείαν προαιρεῖται ἐν ᾗ πλειόνων ἡ τύχη κυρία γίγνεται ἢ οἱ λογισμοί, τούτων δ' ἀμφοτέρων ἑαυτὸν [1] ὑπεύθυνον ὑμῖν παρέχει, οὗτός ἐστ' ἀνδρεῖος, καὶ χρήσιμός γε πολίτης ὁ τοιοῦτός ἐστιν, οὐχ οἱ τῆς παρ' ἡμέραν χάριτος τὰ μέγιστα τῆς πόλεως ἀπολωλεκότες, οὓς ἐγὼ τοσούτου δέω ζηλοῦν ἢ νομίζειν ἀξίους πολίτας τῆς πόλεως εἶναι, ὥστ' εἴ τις ἔροιτό με Εἰπέ μοι, σὺ δὲ δὴ τί τὴν πόλιν ἡμῖν ἀγαθὸν πεποίηκας; ἔχων, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τριηραρχίας εἰπεῖν καὶ χορηγίας καὶ χρημάτων εἰσφορὰς καὶ λύσεις αἰχμαλώτων καὶ τοιαύτας ἄλλας φιλανθρωπίας, οὐδὲν ἂν τούτων εἴποιμι, ἀλλ' ὅτι τῶν τοιούτων πολιτευμάτων οὐδὲν πεπολίτευμαι, ἀλλὰ δυνάμενος ἂν ἴσως, ὥς περ καὶ ἕτεροι, κατηγορεῖν καὶ

[1] ὑπεύθυνον ὑμῖν ἑαυτὸν

Τῇ μὲν τῶν ὠνίων] Vilitatem annonæ et copiam intelligo, quæ populo gratior est, quam decus et laus. Sic Cicero: *Nihil prorsus aliud curant, nisi agros, nisi villulas, nisi nummulos suos.* Wolf.

ις'. Τούτων δ' ἀμφοτέρων] Τῆς τε τύχης καὶ τῶν λογισμῶν. Idem.

Λύσεις αἰχμαλώτων] Civium aliquot sua pecunia se redemisse testatur Demosthenes in orat. de fals. leg. Nam cum primo legatus de pace in Macedoniam perrexit, quibusdam captivis Atheniensibus recepit, se cum pretio rediturum, ut eos vinculis eximeret: idcirco secundam obiisse legationem dicit, ut fidem suam liberaret. *Lucches.* Stock.

χαρίζεσθαι καὶ δημεύειν καὶ τἆλλ' ἃ ποιοῦσιν οὗτοι ποιεῖν, οὐδ' ἐφ' ἑνὶ τούτων πώποτ' ἐμαυτὸν ἔταξα οὐδὲ προήχθην οὔθ' ὑπὸ κέρδους οὔθ' ὑπὸ φιλοτιμίας, ἀλλὰ διαμένω λέγων ἐξ ὧν ἐγὼ μὲν πολλῶν ἐλάττων εἰμὶ παρ' ὑμῖν, ὑμεῖς δέ, εἰ πείθοισθέ μοι, μείζους ἂν εἴητε· οὕτω γὰρ ἂν ἴσως ἀνεπίφθονον εἰπεῖν. οὐδέ γ' ἐμοὶ δοκεῖ δικαίου τοῦτ' εἶναι πολίτου, τοιαῦτα πολιτεύμαθ' εὑρίσκειν, ἐξ ὧν ἐγὼ μὲν πρῶτος ὑμῶν ἔσομαι εὐθέως, ὑμεῖς δὲ τῶν ἄλλων ὕστατοι· ἀλλὰ συναυξάνεσθαι δεῖ τὴν πόλιν τοῖς τῶν ἀγαθῶν πολιτῶν πολιτεύμασι, καὶ τὸ βέλτιστον ἀεί, μὴ τὸ ῥᾷστον ἅπαντας λέγειν· ἐπ' ἐκεῖνο μὲν γὰρ ἡ φύσις αὐτὴ βαδιεῖται, ἐπὶ τοῦτο δὲ τῷ λόγῳ δεῖ προάγεσθαι διδάσκοντα τὸν ἀγαθὸν πολίτην.

ιζ'. Ἤδη τοίνυν τινὸς ἤκουσα καὶ τοιοῦτόν τι λέγοντος, ὡς ἄρα ἐγὼ λέγω μὲν ἀεὶ τὰ βέλτιστα, ἔστι δ' οὐδὲν [1] ἀλλ' ἢ λόγοι τὰ παρ' ἐμοῦ, δεῖ δ' ἔργων τῇ πόλει καὶ πράξεώς τινος. Ἐγὼ δ' ὡς ἔχω περὶ τούτων, λέξω πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. [2] οὐδ' εἶναι νομίζω τοῦ συμβουλεύοντος ὑμῖν ἔργον οὐδὲν πλὴν εἰπεῖν τὰ βέλτιστα. καὶ τοῦθ' ὅτι τοῦτον ἔχει τὸν τρόπον, ῥᾳδίως οἴομαι δείξειν. ἴστε γὰρ δή που τοῦθ', ὅτι Τιμόθεός ποτ' ἐκεῖνος ἐν ὑμῖν ἐδημηγόρησεν, ὡς δεῖ βοηθεῖν καὶ τοὺς Εὐβοέας σώζειν, ὅτε Θηβαῖοι κατεδουλοῦντο αὐτούς. καὶ λέγων εἶπεν οὕτω πως· Εἰπέ μοι, βουλεύεσθε, ἔφη, Θηβαίους ἔχοντες ἐν νήσῳ, τί χρήσεσθε καὶ τί δεῖ ποιεῖν; οὐκ ἐμπλήσετε τὴν θάλατταν, ὦ ἄνδρες Ἀθηναῖοι, τριήρων; οὐκ ἀναστάντες ἤδη πορεύσεσθε εἰς τὸν Πειραιᾶ; οὐ καθέλξετε τὰς ναῦς; Οὐκοῦν εἶπε μὲν ταῦτα ὁ Τιμόθεος, ἐποιήσατε δ' ὑμεῖς· ἐκ δὲ τούτων ἀμφοτέρων τὸ πρᾶγμα ἐπράχθη. εἰ δ' ὁ μὲν εἶπεν ὡς οἷόν τε τὰ ἄριστα, ὥς περ εἶπε τότε, ὑμεῖς δ' ἀπεῤῥᾳθυμήσατε καὶ μηδὲν ὑπηκούσατε, ἆρ' ἂν ἦν γεγονός τι τῶν τότε συμβάντων τῇ πόλει; οὐχ οἷόν τε. Οὕτω τοίνυν καὶ περὶ ὧν ἂν ἐγὼ

[1] ἄλλ'

[2] οὐκ

Προάγεσθαι] Active sumitur, et regit, verbi gratia, τοὺς ἀκούοντας, quæ voces debent subaudiri. AUGER.

ιζ'. Καὶ τοὺς Εὐβοέας σώζειν] Vide Not. in Philippicam I. §. ζ'. STOCK.

Εἰπέ μοι] *Agedum*, in singulari numero, licet ad plures oratio habeatur, ut millies alibi. AUGER.

Ὑμεῖς δ' ἀπεῤῥᾳθυμήσατε] *Vos autem ignavia et socordia rem transmisistis, languore et desidia affecti fuistis.* Opponitur enim verbum ἀποῤῥᾳθυμῶ, τῷ διατείνασθαι, quod est, *intentare, obniti, contendere,* &c. *Ex ed.* WOLF.

λέγω νυνὶ καὶ περὶ ὧν ἂν ὁ δεῖνα εἴπῃ, τὰ μὲν ἔργα παρ' ὑμῶν αὐτῶν ζητεῖτε, τὰ δὲ βέλτιστα ἐπιστήμῃ λέγειν παρὰ τοῦ παριόντος.

ιή. Ἐν κεφαλαίῳ δ' ἃ λέγω φράσας καταβῆναι βούλομαι. Χρήματα εἰςφέρειν φημὶ δεῖν, τὴν ὑπάρχουσαν δύναμιν συνέχειν, ἐπανορθοῦντας εἴ τι δοκεῖ μὴ καλῶς ἔχειν, μὴ οἷς ἄν τις αἰτιάσηται τὸ ὅλον καταλύοντας· πρέσβεις ἐκπέμπειν πανταχοῖ τοὺς διδάξοντας, νουθετήσοντας, πράξοντας ὅσα ἂν δύνωνται τῇ πόλει· παρὰ πάντα ταῦτα τοὺς ἐπὶ τοῖς πράγμασι δωροδοκοῦντας κολάζειν καὶ μισεῖν ἀεὶ καὶ πανταχοῦ, ἵν' οἱ μέτριοι καὶ δικαίους ἑαυτοὺς παρέχοντες εὖ βεβουλεῦσθαι δοκῶσι [1] καὶ τοῖς ἄλλοις καὶ ἑαυτοῖς. Ἂν οὕτω τοῖς πράγμασι χρῆσθε καὶ παύσησθε ὀλιγωροῦντες ἁπάντων, ἴσως ἄν, ἴσως καὶ νῦν ἔτι βελτίω [2] τὰ λοιπὰ γένοιτο. εἰ μέντοι καθεδεῖσθε, ἄχρι τοῦ θορυβῆσαι καὶ ἐπαινέσαι σπουδάζοντες, ἐὰν δὲ δέῃ τι ποιεῖν ἀναδυόμενοι, οὐχ ὁρῶ λόγον ὅς τις ἄνευ τοῦ ποιεῖν ὑμᾶς ἃ προςήκει δυνήσεται τὴν πόλιν σῶσαι.

[1] κἂν

[2] τὰ λοιπὰ βελτίω

Τὰ δὲ βέλτιστα ἐπιστήμῃ λέγειν] Accipi fortasse potest pro ἐπιστημόνως. sed malim hunc locum sic legere: τὸ δὲ τὰ βέλτιστα λέγειν παρὰ, omisso nomine ἐπιστήμῃ, et τὸ articulo addito. Wolf.

Ἐπιστήμῃ] *Cum scientia, scienter, perite.* Ceterum sic phrasim construe, ζητεῖτε (τὸ) τὰ βέλτιστα λέγειν ε. π. τ. π. Plenius et clarius sic dixisset orator, τὸ δὲ τὰ βέλτιστα. Auger.

ιή. Οἷς] Accipe quasi ἐφ' οἷς, et ἐφ' οἷς resolve in ἐπὶ τούτοις ἅ. Idem.

Ἄχρι τοῦ θορυβῆσαι] *Usque ad applausum et laudationem rebus intenti*, hoc est, si tantum laudabitis oratorem, ejus vero consilium non sequemini. Wolf.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΦΙΛΙΠΠΙΚΟΥ Γ.

῾ΑΠΛΗ῀ τοῦ λόγου τούτου ἡ ὑπόθεσις. Φιλίππου γὰρ λόγῳ μὲν εἰρήνην ἄγοντος, ἔργῳ δὲ πολλὰ ἀδικοῦντος, συμβουλεύει τοῖς Ἀθηναίοις ὁ ῥήτωρ ἀναστῆναι καὶ ἀμύνασθαι τὸν βασιλέα, ὡς κινδύνου μεγάλου καὶ αὐτοῖς ἐπικρεμαμένου καὶ πᾶσι κοινῇ τοῖς Ἕλλησιν.

ΦΙΛΙΠΠΙΚΟΣ Γ.

Ol. 109, 3.

ά. ΠΟΛΛΩ῀Ν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων ὀλίγου δεῖν καθ᾽ ἑκάστην ἐκκλησίαν περὶ ὧν Φίλιππος, ἀφ᾽ οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας ἀδικεῖ, καὶ [1] πάντων οἶδ᾽ ὅτι φησάντων γ᾽ ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν δεῖν καὶ πράττειν [2] [ἃ πᾶσι προσήκει], ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦθ᾽ ὑπηγμένα πάντα τὰ πράγματα καὶ προειμένα ὁρῶ, ὥστε δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δ᾽ ᾖ· εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ παριόντες καὶ χειροτονεῖν ὑμεῖς, ἐξ ὧν ὡς φαυλότατ᾽ ἔμελλε τὰ πράγμαθ᾽ ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι χεῖρον ἢ νῦν αὐτὰ διατεθῆναι. Πολλὰ μὲν οὖν ἴσως ἐστὶν αἴτια τοῦ ταῦθ᾽ οὕτως ἔχειν, καὶ οὐ παρ᾽ ἓν οὐδὲ δύο εἰς τοῦτο τὰ πράγματα ἀφῖκται· μάλιστα δ᾽, ἄν περ ἐξετάζητε ὀρθῶς, εὑρήσετε διὰ τοὺς χαρίζεσθαι μᾶλλον ἢ τὰ βέλτιστα λέγειν προαιρουμένους, ὧν τινὲς μέν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύνανται, ταῦτα φυλάττοντες οὐδε-

[1] πάντων εὖ οἶδ᾽

[2] Absunt unci.

Ὀλίγου δεῖν] Vox δεῖν reciditur a Dionysio hunc ipsum locum citante. AUGER.

Φησάντων γ᾽ ἂν] *Et cum satis sciam, neminem negare posse.* S. si serio rogetur, et, quod sentit, verbis præ se ferat. WOLF.

μίαν περὶ τῶν μελλόντων πρόνοιαν ἔχουσιν, [1]οὔκουν οὐδ' ὑμᾶς οἴονται δεῖν ἔχειν· ἕτεροι δέ, τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιώμενοι καὶ διαβάλλοντες, οὐδὲν ἄλλο ποιοῦσιν ἢ ὅπως ἡ μὲν πόλις αὐτὴ παρ' αὑτῆς δίκην λήψεται καὶ περὶ τοῦτ' ἔσται, Φιλίππῳ δ' ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ τι βούλεται. αἱ δὲ τοιαῦται πολιτεῖαι συνήθεις μέν εἰσιν ὑμῖν, αἴτιαι δὲ τῆς ταραχῆς καὶ τῶν ἁμαρτημάτων.

β΄. [2]Ἀξιῶ δ', ὦ ἄνδρες Ἀθηναῖοι, ἐάν τι τῶν ἀληθῶν μετὰ παῤῥησίας λέγω, μηδεμίαν μοι διὰ τοῦτο παρ' ὑμῶν ὀργὴν γενέσθαι. σκοπεῖτε γὰρ ὡδί. ὑμεῖς τὴν παῤῥησίαν ἐπὶ μὲν τῶν ἄλλων οὕτω κοινὴν οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει, ὥστε καὶ τοῖς ξένοις καὶ τοῖς δούλοις αὐτῆς μεταδεδώκατε, καὶ πολλοὺς ἄν τις οἰκέτας ἴδοι παρ' ὑμῖν μετὰ πλείονος ἐξουσίας ὅ τι βούλονται λέγοντας ἢ πολίτας ἐν ἐνίαις τῶν ἄλλων πόλεων, ἐκ δὲ τοῦ συμβουλεύειν παντάπασιν ἐξεληλάκατε. εἶθ' ὑμῖν συμβέβηκεν ἐκ τούτου ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾷν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούουσιν, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν. εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε, οὐκ ἔχω τί λέγω· εἰ δ' ἃ [3]συμφέρει χωρὶς κολακείας ἐθελήσετε ἀκούειν, ἕτοιμος λέγειν. καὶ γὰρ εἰ πάνυ φαύλως τὰ πράγματα ἔχει καὶ πολλὰ προεῖται, ὅμως ἔστιν, ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθ' ἔτι, πάντα ταῦτα ἐπανορθώσασθαι. καὶ παράδοξον μὲν ἴσως ἐστίν, ὃ μέλλω λέγειν, ἀληθὲς δέ· τὸ χείριστον ἐν τοῖς παρεληλυθόσι, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν ἐστὶ τοῦτο; ὅτι οὔτε μικρὸν οὔτε μέγα οὐδὲν τῶν δεόντων ποιούντων ὑμῶν κακῶς τὰ πράγματα ἔχει, ἐπεί τοί γε, εἰ πάνθ' ἃ [4]προςῆκε πραττόντων οὕτω διέκειτο, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ γενέσθαι βελτίω. νῦν δὲ τῆς μὲν ῥᾳθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀμελείας κεκράτηκε Φίλιππος,

[1] οὐκοῦν [2] ἀξιῶ δ' ὑμᾶς, ὦ [3] συμφέρει τοῖς πράγμασι χωρὶς
[4] προσήκει, πραττόντων ὑμῶν οὕτω

Ἕτεροι δέ, τοὺς ἐπὶ τοῖς πράγμασιν] Accusatores Diopithis perstringit. Videas orationem de Chers. *Ex edit.* Stock.

β΄. Καὶ τοῖς δούλοις αὐτοῖς] M. αὐτῆς. S. τῆς παῤῥησίας. Wolf.

Ἐξεληλάκατε] S. Τὴν παῤῥησίαν. Idem.

Εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε] S. ὥστε τρυφᾷν καὶ κολακεύεσθαι βούλεσθαι. *Si his animis estis: si hæc vobis cordi sunt: si in hac sententia permanetis*: nisi aliam audiendi rationem inieritis. Idem.

Ἕτοιμος λέγειν] S. εἰμὶ, ὑπάρχω. Idem.

τῆς πόλεως δ' οὐ κεκράτηκεν, οὐδ' ἥττησθε ὑμεῖς, ἀλλ' οὐδὲ κεκίνησθε.

γ'. Εἰ μὲν οὖν ἅπαντες ὡμολογοῦμεν Φίλιππον τῇ πόλει πολεμεῖν καὶ τὴν εἰρήνην παραβαίνειν, οὐδὲν ἄλλο ἔδει τὸν παριόντα λέγειν καὶ συμβουλεύειν ἢ [1] ὅπως ἀσφαλέστατα καὶ ῥᾷστα αὐτὸν ἀμυνούμεθα· ἐπειδὴ δὲ οὕτως ἀτόπως ἔνιοι διάκεινται, ὥστε πόλεις καταλαμβάνοντος ἐκείνου καὶ πολλὰ τῶν ὑμετέρων ἔχοντος καὶ πάντας ἀνθρώπους ἀδικοῦντος, ἀνέχεσθαί τινων ἐν ταῖς ἐκκλησίαις λεγόντων πολλάκις ὡς ἡμῶν τινές εἰσιν οἱ ποιοῦντες τὸν πόλεμον, ἀνάγκη φυλάττεσθαι καὶ διορθοῦσθαι περὶ τούτου· ἔστι γὰρ δέος, μή ποθ' ὡς ἀμυνούμεθα γράψας τις καὶ συμβουλεύσας εἰς τὴν αἰτίαν ἐμπέσῃ τοῦ πεποιηκέναι τὸν πόλεμον. ἐγὼ δὴ τοῦτο πρῶτον ἁπάντων λέγω καὶ διορίζομαι, εἰ ἐφ' ἡμῖν ἐστὶ τὸ βουλεύεσθαι περὶ τοῦ πότερον εἰρήνην ἄγειν ἢ πολεμεῖν δεῖ. εἰ μὲν οὖν ἔξεστιν εἰρήνην ἄγειν τῇ πόλει καὶ ἐφ' ἡμῖν ἐστὶ τοῦτο, ἵν' ἐντεῦθεν ἄρξωμαι, φημὶ ἔγωγε ἄγειν ἡμᾶς δεῖν, καὶ τὸν ταῦτα λέγοντα γράφειν καὶ πράττειν καὶ μὴ φενακίζειν ἀξιῶ· εἰ δ' ἕτερος τὰ ὅπλα ἐν ταῖς χερσὶν ἔχων καὶ δύναμιν πολλὴν περὶ αὑτὸν τοὔνομα μὲν τὸ τῆς εἰρήνης ὑμῖν προβάλλεται, τοῖς δ' ἔργοις αὐτὸς τοῖς τοῦ πολέμου χρῆται, τί λοιπὸν ἄλλο πλὴν ἀμύνεσθαι; φάσκειν δὲ εἰρήνην ἄγειν, εἰ βούλεσθε, ὥσπερ ἐκεῖνος, οὐ διαφέρομαι. εἰ δέ τις ταύτην εἰρήνην ὑπολαμβάνει, ἐξ ἧς ἐκεῖνος πάντα τἆλλα λαβὼν ἐφ' ἡμᾶς ἥξει, πρῶτον μὲν μαίνεται, ἔπειτα ἐκείνῳ παρ' ὑμῶν, οὐχ ὑμῖν παρ' ἐκείνου τὴν [2] εἰρήνην λέγει· τοῦτο δ' ἐστὶν ὃ τῶν ἀναλισκομένων χρημάτων ἁπάντων Φίλιππος ὠνεῖται, αὐτὸς μὲν πολεμεῖν ὑμῖν, ὑφ' ὑμῶν δὲ μὴ πολε-

[1] ὅπως ὡς ἀσφαλέστατα

[2] εἰρήνην [ἄγειν] λέγει

γ'. Εἰ μὲν οὖν ἅπαντες ὁμολογοῦμεν] Supra, πάντων εὖ οἶδ' ὅτι φησάντων γ' ἄν. Videntur ὑποθετικῶς dici. quare malim ὡμολογοῦμεν, *si confiteremur, consentiremus*, in præterito imperfecto per ω, quam in præsenti per ο. IDEM.

Ἀνάγκη φυλάττεσθαι καὶ διορθοῦσθαι περὶ τούτου] *Cautione vehementer est opus, et ut hoc recte constituatur.* quod hic διορθοῦσθαι, paulo post διορίζεσθαι *distinguere*, dicit. IDEM.

Καὶ τὸν ταῦτα λέγοντα] Sententia est: proditores dicere quidem, et simulare, pacem esse: sed non ea decernere et agere, quæ ad veram pacem pertineant. IDEM.

Ἐκείνῳ παρ' ὑμῶν] Id est, nos servare pacem cum Philippo jubet: Philippo nostri oppugnandi dat potestatem. Feliciani editio εἰρήνην λέγει habet, verbo ἄγειν omisso, quod non magno sane discrimine sententiæ vel adesse vel abesse posse puto: etsi pro eo legere malim, εἶναι. IDEM.

μεῖσθαι. Καὶ μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν ἡμῖν ὁμολογήσῃ πολεμεῖν, πάντων ἐσμὲν εὐηθέστατοι· οὐδὲ γὰρ ἂν ἐπὶ τὴν Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ, τοῦτ' ἐρεῖ, εἴ περ οἷς πρὸς τοὺς ἄλλους πεποίηκε δεῖ τεκμαίρεσθαι. τοῦτο μὲν γὰρ Ὀλυνθίοις τετταράκοντ' ἀπέχων τῆς πόλεως στάδια εἶπεν ὅτι δεῖ δυοῖν θάτερον, ἢ ἐκείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν ἢ αὑτὸν ἐν Μακεδονίᾳ, πάντα τὸν ἄλλον χρόνον, εἴ τις αὐτὸν αἰτιάσαιτό τι τοιοῦτον, ἀγανακτῶν καὶ πρέσβεις πέμπων τοὺς ἀπολογησομένους· τοῦτο δ' εἰς Φωκέας ὡς πρὸς [1]συμμάχους ἐπορεύετο, καὶ πρέσβεις Φωκέων ἦσαν οἳ παρηκολούθουν αὐτῷ πορευομένῳ, καὶ παρ' ἡμῖν ἤριζον πολλοὶ Θηβαίοις οὐ λυσιτελήσειν τὴν ἐκείνου πάροδον. καὶ μὴν καὶ Φερὰς πρῴην ὡς φίλος καὶ σύμμαχος εἰς Θετταλίαν ἐλθὼν ἔχει καταλαβών. καὶ τὰ τελευταῖα τοῖς ταλαιπώροις Ὠρείταις [2]τουτοισὶ ἐπισκεψομένους ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ' εὔνοιαν· πυνθάνεσθαι γὰρ αὐτούς, ὡς νοσοῦσι καὶ στασιάζουσιν ἐν αὑτοῖς, συμμάχων δ' εἶναι καὶ φίλων ἀληθινῶν ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι. Εἶτ' οἴεσθε, οἳ μὲν οὐδὲν ἂν αὐτὸν ἐδυνήθησαν ποιῆσαι κακόν, μὴ παθεῖν δ' ἐφυλάξαντ' ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δ' ἐκ προῤῥήσεως πολεμήσειν, καὶ ταῦθ' ἕως ἂν ἑκόντες ἐξαπατᾶσθε; Οὐκ ἔστι ταῦτα· καὶ γὰρ ἂν ἀβελτερώτατος εἴη πάντων ἀνθρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν ἐγκαλούντων αὐτῷ, ἀλλ' ὑμῶν αὐτῶν τινὰς αἰτιωμένων καὶ κρίνειν βουλομένων, ἐκεῖνος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν ὑμῶν καὶ φιλονεικίαν ἐφ' ἑαυτὸν προείποι τρέπεσθαι, καὶ τῶν παρ' ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο οἷς ἀναβάλλουσιν ὑμᾶς, λέγοντες ὡς ἐκεῖνός γε οὐ πολεμεῖ τῇ πόλει. Ἀλλ' ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅς τις εὖ φρονῶν ἐκ

[1] συμμάχους καὶ φίλους ἐπορεύετο

[2] τουτοισὶν

Τὴν πάροδον] S. εἴσω τῶν πυλῶν, ingressum intra Pylas. IDEM.

Πυνθάνεσθαι γὰρ αὐτοὺς, ὡς νοσοῦσι] Ἀντὶ τοῦ, πυνθάνεσθαι, ὡς νοσοῦσιν, ἤ, νοσεῖν αὐτούς. IDEM.

Μὴ παθεῖν] S. ὥστε μὴ κακόν τι παθεῖν. IDEM.

Οἷς ἀναβάλλουσιν ἡμᾶς (ὑμᾶς), &c.] Id est, *quibus remorantur nos (vos) et differre cogunt.* nam et activa voce dicitur ἀναβάλλω, pro eo quod est, εἰς ἀναβολὰς καθίστημι, id est, *remoror, protraho, prolutationibus implico. Ex edit.* WOLF.

τῶν ὀνομάτων μᾶλλον ἢ τῶν πραγμάτων τὸν ἄγοντ' εἰρήνην ἢ πολεμοῦνθ' ἑαυτῷ σκέψαιτ' ἄν; οὐδεὶς δή που.

δ'. Ὁ τοίνυν Φίλιππος ἐξ ἀρχῆς, ἄρτι τῆς εἰρήνης γεγονυίας, οὔπω Διοπείθους στρατηγοῦντος οὐδὲ τῶν ὄντων [1] ἐν Χεῤῥονήσῳ νῦν ἀπεσταλμένων, Σέῤῥιον καὶ Δορίσκον κατελάμβανε καὶ τοὺς ἐκ Σεῤῥίου τείχους καὶ Ἱεροῦ ὄρους στρατιώτας ἐξέβαλλεν, οὓς ὁ ὑμέτερος στρατηγὸς ἐγκατέστησε. καί τοι ταῦτα πράττων τί ἐποίει; εἰρήνην μὲν γὰρ [2] ὀμωμόκει. Καὶ μηδεὶς εἴπῃ, τί δὲ ταῦτ' ἐστίν, ἢ τί τούτων μέλει τῇ πόλει; εἰ μὲν γὰρ μικρὰ ταῦτά ἐστιν ἢ μηδὲν ὑμῖν αὐτῶν ἔμελεν, ἄλλος ἂν εἴη λόγος οὗτος· τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον ἄν τ' ἐπὶ μικροῦ τις ἄν τ' ἐπὶ μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν. Φέρε δὴ νῦν, ἡνίκ' εἰς Χεῤῥόνησον, ἣν βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἐγνώκασιν εἶναι, ξένους [3] εἰςπέμπει καὶ βοηθεῖν ὁμολογεῖ καὶ ἐπιστέλλει ταῦτα, τί ποιεῖ; φησὶ μὲν γὰρ οὐ πολεμεῖν ὑμῖν, ἐγὼ δὲ τοσούτου δέω ταῦτα ποιοῦντα ἐκεῖνον ἄγειν [4] ὁμολογεῖν τὴν πρὸς ὑμᾶς εἰρήνην, ὥστε καὶ Μεγάρων ἁπτόμενον καὶ ἐν Εὐβοίᾳ τυραννίδα κατασκευάζοντα καὶ νῦν ἐπὶ Θρᾴκην παριόντα καὶ τὰ ἐν Πελοποννήσῳ σκευωρούμενον καὶ πάνθ', ὅσα πράττει μετὰ τῆς δυνάμεως, ποιοῦντα λύειν φημὶ τὴν εἰρήνην καὶ πολεμεῖν ὑμῖν, εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσαγάγωσιν. ἀλλ' οὐ φήσετε· ὁ γάρ, οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ. τίσιν οὖν ὑμεῖς κινδυνεύσαιτ' ἄν, [5] εἴ τι γέ-

[1] ἐν Χεῤῥονήσῳ νῦν ὄντων [2] ὠμωμόκει [3] εἰσπέμπειν
[4] ὁμολογεῖν ἄγειν [5] εἰ γίγνοιτο

δ'. Σέῤῥιον καὶ Δορίσκον——καὶ ἱεροῦ ὄρους] Serrium et Doriscum Thraciæ sunt castella, obscura quidem et vilia, si modo Æschines audiendus est, in Ctesiph. §. 30. Mons ille sacer quoque in Thracia situs est, juxta Propontidem. *Ex edit.* STOCK.

Τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον] Hinc Stoicorum παράδοξον, ὅτι ἴσα τὰ ἁμαρτήματα καὶ κατορθώματα. WOLF.

Καὶ τὰ ἐν Πελοποννήσῳ σκευωρούμενον] Hoc est, *struentem, molientem, machinantem.* idem est enim fere σκευωροῦμαι quod συσκευάζομαι: et σκευώρημα καὶ σκευωρία, hujusmodi *molitio*, et *fraudulenta rerum machinatio.* Cicero σκευωρεῖσθαι *telam texere* dicit lib. 3. de Oratore. et Interpres Demosth. illud σκευωρούμενον interpretatur κατὰ μικρὸν ὑφαντοποιούμενον. Sic Plaut. in Bacchidib. *Exorsa hæc tela non male est omnino mihi.* Demosth. alibi, ἀλλὰ εἶναι τοῦτο πλάσμα εὑρήσετε καὶ σκευώρημα ὅλον, id est, *molimen fraudulentum, et captiosum.* Item alibi, περιγενομένου μου τῆς τούτων σκευωρίας, *cum ego absolutus essem ab eorum calumniosis actionibus, et quadruplatoriis persecutionibus. Ex edit.* WOLF.

νοιτο; τῷ τὸν Ἑλλήσποντον ὑμῶν ἀλλοτριωθῆναι, τῷ Μεγάρων καὶ τῆς Εὐβοίας τὸν πολεμοῦνθ' ὑμῖν γενέσθαι κύριον, τῷ Πελοποννησίους τἀκείνου φρονῆσαι. εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν [1] ἱστάντα καὶ κατασκευάζοντα, τοῦτον εἰρήνην ἄγειν ἐγὼ φῶ πρὸς ὑμᾶς; πολλοῦ γε καὶ δέω, ἀλλ' ἀφ' ἧς ἡμέρας ἀνεῖλε Φωκέας, ἀπὸ ταύτης ἔγωγ' αὐτὸν πολεμεῖν ὑμῖν ὁρίζομαι. ὑμᾶς δέ, ἐὰν μὲν ἀμύνησθε ἤδη, σωφρονήσειν φημί· ἐὰν δὲ ἀναβάλλησθε, οὐδὲ τοῦθ' [2] ὅταν βούλησθε [3] δυνήσεσθε ποιῆσαι. καὶ τοσοῦτον [4] ἔγωγ' ἀφέστηκα τῶν ἄλλων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν συμβουλευόντων, ὥστε οὐδὲ δοκεῖ μοι περὶ Χερρονήσου νῦν σκοπεῖν οὐδὲ Βυζαντίου, ἀλλ' ἐπαμῦναι [5] μὲν τούτοις, καὶ διατηρῆσαι μή τι πάθωσι, καὶ τοῖς οὖσιν ἐκεῖ νῦν στρατιώταις πάνθ' ὅσων ἂν δέωνται ἀποστεῖλαι, βουλεύεσθαι μέντοι περὶ πάντων τῶν Ἑλλήνων ὡς ἐν κινδύνῳ μεγίστῳ [6] καθεστώτων. βούλομαι δ' εἰπεῖν πρὸς ὑμᾶς, ἐξ ὧν ὑπὲρ τῶν πραγμάτων οὕτω φοβοῦμαι, ἵν' εἰ μὲν ὀρθῶς λογίζομαι, μετάσχητε τῶν λογισμῶν καὶ πρόνοιάν τιν' ὑμῶν γ' αὐτῶν, εἰ [7] μὴ καὶ τῶν ἄλλων ἄρα βούλεσθε, ποιήσησθε· ἂν δὲ ληρεῖν καὶ τετυφῶσθαι δοκῶ, μήτε νῦν μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε.

έ. Ὅτι μὲν δὴ μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ τὸ κατ' ἀρχὰς ὁ Φίλιππος ηὔξηται, καὶ ἀπίστως καὶ στασιαστικῶς ἔχουσι πρὸς αὑτοὺς οἱ Ἕλληνες, καὶ ὅτι πολλῷ παραδοξότερον ἦν τοσοῦτον αὐτὸν ἐξ ἐκείνου γενέσθαι ἢ νῦν, ὅθ' οὕτω πολλὰ προείληφε, καὶ τὰ λοιπὰ ὑφ' αὑτῷ ποιήσασθαι, καὶ πάνθ' ὅσα τοιαῦτ' ἂν ἔχοιμι διεξελθεῖν παραλείψω. ἀλλ' ὁρῶ συγκεχωρηκότας ἅπαντας ἀνθρώπους, ἀφ' ὑμῶν ἀρξαμένους, αὐτῷ, ὑπὲρ οὗ τὸν ἄλλον ἅπαντα χρόνον ἅπαντες οἱ πόλεμοι γεγόνασιν οἱ Ἑλληνικοί. τί οὖν ἐστὶ

[1] ἐφιστάντα [2] ὅταν τοῦτο [3] δυνήσεσθαι [4] ἐγώ γε
[5] μὲν καὶ τούτοις [6] καθεστηκότων [7] καὶ μὴ

Τετυφῶσθαι] *Attonitum, mente captum esse.* Harpocration hujusce vocis etymon ducit, vel a fulminibus in gigantem Typhonem conjectis, vel a vento Typhone qui vortices excitat. Alia quoque etyma ab aliis assignantur. *Ex edit.* Stock.

Τετύφωμαι] Ἀντὶ τοῦ ἐμβεβρόντημαι, inquit Harpocratio, quem vide ad hanc vocem. Auger.

έ. Προείληφε] *Jam tenet.* legi posset etiam προσείληφε, *cæteris adjunxit.* Wolf.

Ἀφ' ὑμῶν ἀρξαμένους] Id est, inter quos primi vos estis, τουτέστιν, ὑμῶν τούτου ἀρξαμένων. Idem.

τοῦτο; τὸ ποιεῖν ὅ τι βούλεται, καὶ καθ' ἕνα ἕκαστον οὑτωσὶ περικόπτειν καὶ λωποδυτεῖν τῶν Ἑλλήνων, καὶ καταδουλοῦσθαι τὰς πόλεις ἐπιόντα. καί τοι προστάται μὲν ὑμεῖς ἑβδομήκοντα ἔτη καὶ τρία τῶν Ἑλλήνων ἐγένεσθε, προστάται δὲ τριάκοντα ἑνὸς δέοντα Λακεδαιμόνιοι. ἴσχυσαν δέ τι καὶ Θηβαῖοι τοὺς τελευταίους τουτουσὶ χρόνους μετὰ τὴν ἐν Λεύκτροις μάχην. ἀλλ' ὅμως οὔθ' ὑμῖν οὔτε Θηβαίοις οὔτε Λακεδαιμονίοις οὐδεπώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, συνεχωρήθη τοῦθ' ὑπὸ τῶν [1] Ἑλλήνων, ποιεῖν ὅ τι [2] βούλοισθε· οὐδὲ πολλοῦ δεῖ, ἀλλὰ τοῦτο μὲν ὑμῖν, μᾶλλον δὲ τοῖς τότ' οὖσιν Ἀθηναίοις, ἐπειδή τισιν οὐ μετρίως ἐδόκουν προσφέρεσθαι, πάντες ᾤοντο δεῖν, καὶ οἱ μηδὲν ἐγκαλεῖν ἔχοντες αὐτοῖς, μετὰ τῶν ἠδικημένων πολεμεῖν, καὶ πάλιν Λακεδαιμονίοις ἄρξασι καὶ παρελθοῦσιν εἰς [3] τὴν αὐτὴν δυναστείαν ὑμῖν, ἐπειδὴ πλεονάζειν ἐπεχείρουν καὶ πέρα τοῦ μετρίου τὰ καθεστηκότα ἐκίνουν, [4] πάντες εἰς πόλεμον κατέστησαν, καὶ οἱ μηδὲν ἐγκαλοῦντες αὐτοῖς. καὶ τί δεῖ τοὺς ἄλλους λέγειν; ἀλλ' ἡμεῖς αὐτοὶ καὶ Λακεδαιμόνιοι,

[1] ἑλλήνων, τὸ ποιεῖν [2] βούλεσθε [3] τὴν δυναστείαν τὴν αὐτὴν ταύτην [4] ἅπαντες

Ἑβδομήκοντα ἔτη καὶ τρία] Principatum Atheniensium alii diuturniorem faciunt, alii breviorem. et facilis lapsus est in numeris. IDEM.

Ἑβδομήκοντα ἔτη καὶ τρία] Dixit alibi, Athenienses principatum obtinuisse 45 annis. Vide Not. in Olynth. secundam, §. θ'. ubi hæc inter se minime repugnare cernes. *Ex ed.* STOCK.

Ἑνὸς δέοντα] Pro δέοντος. *κατ' ἀντίπτωσιν καὶ ἐναλλαγὴν ἀριθμοῦ*: quale est illud Comici: *vereor, ne quid absente nobis turbatum sit.* WOLF.

Τριάκοντα ἑνὸς δέοντα] Nempe, ab anno 4. Olymp. 93. quo tempore Lysander muros Athenarum diruit, ad initium belli, quod Athenienses sub Conone instaurarunt, ad liberandos jugo Spartanorum sese reliquosque Græcos, anno 4. Olymp. 100. *Ex edit.* STOCK.

Ἐν Λεύκτροις] De celebri hac pugna dicere nil opus est. Thebanorum principatus exinde duravit usque ad mortem Epaminondæ, quo apud Mantineam occiso, corruerunt simul eorum opes. *Ibid.*

Ἀλλ' ὅμως οὔθ' ὑμῖν οὔτε Θηβαίοις, &c. οὐδὲ πολλοῦ δεῖ] Hæc verba nihil aliud significant, quam geminatam negationem. una illæ duæ dictiones πολλοῦ δεῖ, ornatus gratia ponuntur atque idiomatis, ut eandem habeat vim οὐδὲ πολλοῦ δεῖ, quod apud Latinos, *imo multum abest ut ita se res habeat*, vel, *nihil inquam rei est ut ita fiat*, quemadmodum et *περὶ τῆς παραπρεσβ. οὐ γὰρ ταῦτα ἀντ' ἐκείνων γέγονεν, οὐδὲ πολλοῦ δεῖ*, *neque enim illorum loco hæc nobis obtigerunt, multumque abest ut ita sit*, &c. neque retulerit, si in hoc sermone οὐδὲ πολλοῦ δεῖ, negationem auferas, ut pro Ctesiphonte, οὐδὲ γ' ἡττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου, πολλοῦ γε καὶ δεῖ. *Ex edit.* WOLF.

Ἀλλὰ τοῦτο μὲν ὑμῖν, etc. καὶ πάλιν, etc.] Pro τοῦτο δέ. Sic Isocrates in Evagora: τοῦτο μὲν γὰρ Αἰακὸς, etc. postea sequitur, τοῦτο δὲ παῖδες ἦσαν. Ita vides, τοῦτο δὲ non semper respondere τῷ τοῦτο μέν. WOLF.

Πέρα τοῦ μετρίου] Πλεονάζειν, *insolescere, plus sibi, quam oportebat, arrogare.* Sic Isocrates de sophistis: εἰ καὶ νῦν πλεονάζουσι: *tametsi nunc insolenter sese jactant.* IDEM.

Τὰ καθεστηκότα ἐκίνουν] Ἀναγκάζοντες τοὺς συμμάχους ἐπιτηδείως σφίσι πολιτεύεσθαι, τουτέστιν, ὀλιγαρχεῖσθαι, μᾶλλον δὲ δεκαδαρχίας καθιστάντες. Vide Isocratis Paneg. et Panath. IDEM.

οὐδὲν ἂν εἰπεῖν ἔχοντες ἐξ ἀρχῆς [1]ὅ τι ἠδικούμεθ' ὑπ' ἀλλήλων, ὅμως ὑπὲρ ὧν τοὺς ἄλλους ἀδικουμένους ἑωρῶμεν πολεμεῖν ᾠόμεθα δεῖν. Καί τοι πάνθ' ὅσα ἐξημάρτηται καὶ Λακεδαιμονίοις ἐν τοῖς τριάκοντ' ἐκείνοις ἔτεσι καὶ τοῖς ἡμετέροις προγόνοις ἐν τοῖς ἑβδομήκοντα, ἔλαττόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν Φίλιππος ἐν τρισὶ καὶ δέκα οὐχ ὅλοις ἔτεσιν οἷς ἐπιπολάζει ἠδίκηκε τοὺς Ἕλληνας· μᾶλλον δὲ οὐδὲ πολλοστὸν μέρος τούτων ἐκεῖνα. καὶ τοῦτο ἐκ βραχέος λόγου ῥᾴδιον δεῖξαι.

ϛʹ. Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ, ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν, ὥστε μηδένα μηδ' εἰ πώποτ' ᾠκήθησαν προσελθόντ' [2] εἶναι ῥᾴδιον εἰπεῖν· καὶ τὸ Φωκέων ἔθνος τοσοῦτον ἀνῃρημένον σιωπῶ. ἀλλὰ Θετταλία πῶς ἔχει; οὐχὶ [3] τὰς πολιτείας καὶ τὰς πόλεις αὐτῶν [4] παρῄρηται καὶ τετραρχίας κατέστησε παρ' αὐτοῖς, ἵνα μὴ μόνον κατὰ πόλεις ἀλλὰ καὶ κατ' ἔθνη δουλεύωσιν; αἱ δ' ἐν Εὐβοίᾳ πόλεις οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦτα ἐν νήσῳ πλησίον Θηβῶν καὶ Ἀθηνῶν; οὐ διαρρήδην ἐν ταῖς ἐπιστολαῖς γράφει Ἐμοὶ δ' ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν ἐμοῦ βουλομένους; καὶ οὐ γράφει μὲν ταῦτα, [5] τοῖς δ' ἔργοις οὐ ποιεῖ, ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται, πρότερον ἧκεν ἐπ' Ἀμβρα-

[1] ὅτι [2] εἶναι ῥᾴδιον προσελθόντα [3] τὰς πόλεις καὶ τὰς πολιτείας
[4] περιῄρηται καὶ τετραδαρχίας καθέστακε [5] τοῖς ἔργοις δὲ

Ἐν τρισὶ καὶ δέκα οὐχ ὅλοις ἔτεσιν οἷς ἐπιπολάζει] Anno regni sui octavo Philippus, debellatis tandem finitimis barbaris, Methonen expugnavit, tyrannos Pheræos ejecit, exercitumque Phocensem cum duce ipsorum Onomarcho delevit. Hinc Græcis cœpit esse formidandus: indeque supputat Orator 13 annos inchoatos, quibus Philippum eminuisse dicit. *Ex edit.* Stock.

Οἷς ἐπιπολάζει] Id est, *quibus emersit.* ἐπιπολάζειν enim dicuntur, qui ex obscuro emergunt, et ex ignotis nobiles et illustres evadunt, eadem videlicet ratione, qua etiam ἐπιπολάζοντα dicunt, pro *manifestis* et *in promptu positis.* et ἐπιπόλαια, *quæ non intus latent, sed per summa apparent. Ex edit.* Wolf.

ϛʹ. Μηδένα προσελθόντα εἶναι ῥᾴδιον εἰπεῖν] Pro μηδενὶ προσελθόντι, ἐὰν προσέλθῃ. Wolf.

Οὐχὶ τὰς πόλεις] Per urbes intelligo Pagasas et Magnesiam: per πολιτείας libertatem. Idem.

Καὶ τετραρχίας] Totam Thessaliam in quatuor præfecturas divisit, ut non modo oppidatim, sed etiam regionatim, (ut ita dicam) serviant. Vide calumniam. Athenæ divisæ fuerunt non servitutis, sed boni ordinis causa in decem tribus, et municipia, seu curias complures. Idem.

Ἵνα μὴ μόνον κατὰ πόλεις ἀλλὰ καὶ κατ' ἔθνη] Thessaliam totam in quatuor præfecturas divisit, ut non modo urbes primariæ, sed et populi undique adjacentes, et ab hisce urbibus in clientelam recepti, sibi parerent. Hoc quippe significat ἔθνος. *Ex edit.* Stock.

Κατ' ἔθνη] Ἔθνος, juxta Harpocrationem, non modo magnum et frequens hominibus genus vocatur, sed etiam peculiari notione pars quædam civitatis; et hunc ipsum locum commemorat cum alio loco ex ejusdem Demosthenis oratione contra Aristocratem. Auger.

κίαν, Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ, Μεγάροις ἐπεβούλευσε πρῴην, οὔθ᾽ ἡ Ἑλλὰς οὔθ᾽ ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου. Καὶ ταῦθ᾽ ὁρῶντες οἱ Ἕλληνες ἅπαντες καὶ ἀκούοντες οὐ πέμπομεν πρέσβεις περὶ τούτων πρὸς ἀλλήλους καὶ ἀγανακτοῦμεν, οὕτω δὲ κακῶς διακείμεθα καὶ διορωρύγμεθα κατὰ πόλεις, ὥστ᾽ ἄχρι τῆς τήμερον ἡμέρας οὐδὲν οὔτε τῶν συμφερόντων οὔτε τῶν δεόντων πρᾶξαι δυνάμεθα, οὐδὲ συστῆναι, οὐδὲ κοινωνίαν βοηθείας καὶ φιλίας οὐδεμίαν ποιήσασθαι, ἀλλὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον περιορῶμεν, τὸν χρόνον κερδᾶναι τοῦτον ὃν ἄλλος ἀπόλλυται ἕκαστος ἐγνωκώς, ὥς [1] γ᾽ ἐμοὶ δοκεῖ, οὐχ ὅπως σωθήσεται τὰ τῶν Ἑλλήνων σκοπῶν οὐδὲ πράττων· ἐπεί, ὅτι γε ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ ἢ τινος ἄλλου κακοῦ καὶ τῷ πάνυ πόῤῥω δοκοῦντι νῦν ἀφεστάναι προσέρχεται, οὐδεὶς ἀγνοεῖ δή που.

ζ΄. Καὶ μὴν κἀκεῖνό γε ἴστε, ὅτι ὅσα μὲν ὑπὸ Λακεδαιμονίων ἢ ὑφ᾽ ἡμῶν ἔπασχον οἱ Ἕλληνες, ἀλλ᾽ οὖν ὑπὸ γνησίων γε ὄντων τῆς Ἑλλάδος ἠδικοῦντο, καὶ τὸν αὐτὸν τρόπον ἄν τις ὑπέλαβε τοῦθ᾽, ὥσπερ ἂν εἴ τις υἱὸς ἐν οὐ-

[1] γέ μοι

Ἦλιν ἔχει] Non armis, sed societate, hanc sibi urbem adscivit. Amphictyonico quippe concilio contributa erat Elis, cujus concilii princeps fuit Philippus. *Ex edit.* Stock.

Ἡ βάρβαρος] Sub. γῆ. Auger.

Οὔ—τὴν πλεονεξίαν χωρεῖ] *Non complectitur, nimis angusta est.* Ita Juvenal. de Alexandro: *æstuat infelix angusto limite mundi. Ex edit.* Stock.

Συστῆναι] S. ἡμεῖς. *Nos non concordiam inimus,* pro συσταθῆναι. Wolf.

Περιορῶμεν] Non impedimus incrementa potentiæ Philippi. Idem.

Ἀλλὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον περιορῶμεν.] *Hominem vero* (de Philippo loquens) *indies majorem fieri ipsi neglectim sinimus, unusquisque se id temporis utique lucrifacere censens, quo tempore alius opibus evertitur, nec ut mea quidem fert opinio, in commune consulens, nec id agens potissimum, quo Græcorum vires incolumes serventur. Neminem enim nostrum fugit, quod tanquam circuitus quidam aut impetus vel febris vel cujusvis alterius noxæ in orbem repetentis, hoc malum adventat, eique etiam imminet, unde longissime abscessisse nunc videtur,* &c. Eleganter καταβολὴν pro *accessione et impetu* febris posuit, quemadmodum et Galenus in pri. ad Glauco. αὖθις δὲ περὶ τὴν ἕω τῆς τρίτης ἡμέρας δευτέρα καταβολὴ γίνεται, &c. Vocabulum est per metaphoram ductum, ab eorum similitudine quibus statis diebus in orbem redeuntibus certas summas pecuniarum dependere, sollenne est, ut sunt αἱ καταβολαὶ τῶν τελωνησάντων. *Ex edit.* Wolf.

Ὃν ἄλλος ἀπόλλυται] H. e. unusquisque, ut mihi videtur, se id temporis lucrifacere censet, quod Philippus aliis evertendis insumit: beatum se reputat, quod non in se primum vis fiat. *Ex edit.* Stock.

Ὥσπερ περίοδος] S. πυρετοῦ. Galenus περίοδός ἐστι χρόνος ἐπιτάσεως καὶ ἀνέσεως ἐν νοσήματι γινόμενος. Wolf.

Ἡ καταβολὴ] Εἰσβολή, *accessio et impetus:* παρὰ τὸ καταβάλλειν τὸν πυρέττοντα. ταυτὸν σχεδὸν τῷ παροξυσμῷ. Idem.

Ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ] Multos dicit, etiam qui longe abesse a Philippo videantur, illum tandem eos aggressurum non minus compertum habere, quam febre intermittente laborans accessionem morbi expectat. *Ex edit.* Stock.

Ἀφεστάναι] S. τὴν καταβολὴν ἑαυτοῦ, vel ἑαυτὸν τῆς καταβολῆς τοῦ πυρετοῦ. Wolf.

σία πολλὴ γεγονὼς γνήσιος διώκει τι μὴ καλῶς μηδ᾽ ὀρθῶς, κατ᾽ αὐτὸ μὲν τοῦτο ἄξιον μέμψεως [1] εἶναι καὶ κατηγορίας, ὡς δ᾽ οὐ προσήκων ἢ ὡς οὐ κληρονόμος τούτων [2] ὧν ταῦτα ἐποίει, οὐκ ἐνεῖναι λέγειν. εἰ δέ γε δοῦλος ἢ ὑποβολιμαῖος τὰ μὴ προσήκοντα ἀπώλλυε καὶ ἐλυμαίνετο, Ἡράκλεις ὅσῳ μᾶλλον δεινὸν [3] καὶ ὀργῆς ἄξιον πάντες ἂν ἔφασαν εἶναι! ἀλλ᾽ οὐχ ὑπὲρ Φιλίππου καὶ ὧν ἐκεῖνος πράττει νῦν, οὐχ οὕτως ἔχουσιν, οὐ μόνον οὐχ Ἕλληνος ὄντος οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν, ἀλλ᾽ οὐδὲ βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν, ἀλλ᾽ ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ᾽ ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον πρίασθαι. Καίτοι τί τῆς ἐσχάτης ὕβρεως ἀπολείπει; οὐ πρὸς τῷ πόλεις Ἑλληνίδας ἀνῃρηκέναι τίθησι μὲν τὰ Πύθια, τὸν κοινὸν τῶν Ἑλλήνων ἀγῶνα, κἂν αὐτὸς μὴ παρῇ, τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει; κύριος δὲ Πυλῶν καὶ τῶν ἐπὶ τοὺς Ἕλληνας παρόδων ἐστί, καὶ φρουραῖς καὶ ξένοις τοὺς τόπους τούτους κατέχει; ἔχει δὲ καὶ τὴν προμαντείαν τοῦ

[1] εἶναι μέμψεως [2] , ὧν [3] καὶ πολλῆς ὀργῆς

Διώκει τι μὴ καλῶς] Si rem familiarem dissiparet: si male tractaret familiam, &c. Idem.

Ἀλλ᾽ οὐχ ὑπὲρ Φιλίππου] S. *Græci jam non ita sentiunt de Philippo, et ejus actis.* Græci Philippum hominem barbarum et subdititium, insultare impune sibi æquo animo patiuntur. Est accusatio ignaviæ Græcorum. Fel. et Manutius cum interrogatione legunt οὐχ οὕτως ἔχουσι; quam lectionem quanquam minus probo, subintelligi tamen potest, τὰ πράγματα. Nonne vero talis est Philippi conditio, id est, nonne merito habetur pro servo et subdititio, qui opes alienas perdit, et contumeliose grassatur? Sic enim exponendum est τὸ, τὰ μὴ προσήκοντα ἀπώλλυε καὶ ἐλυμαίνετο: τὰ μὴ προσήκοντα, id est, τὴν ἀλλοτρίαν οὐσίαν, *rem familiarem, cujus ipse legitimus hæres non est.* τὸ ἐλυμαίνετο non ad οὐσίαν refero: sed τοὺς ἀνθρώπους τοὺς ἐν τῷ οἴκῳ, subintelligo. Atheniensibus et Lacedæmoniis hoc tantum tribuit, eos alicubi aberrasse in gerendo principatu: sed Philippum vastare Græciam, et contumeliose insultare Græcis ostendit. Idem.

Οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν] Hic modum excedere videtur Orator, quo majorem hosti invidiam conflet. Nam Philippi majores Argis oriundi fuerunt, eaque ipsa de causa ad ludos Olympicos admissi. *Ex edit.* Stock.

Ὀλέθρου] *Perditi, perniciosi,* ἀντὶ τοῦ ὀλεθρίου. Wolf.

Ὅθεν οὐδ᾽ ἀνδράποδον] Hæc Macedonum laus esse potest. Ingenuus enim et magnus animus servilibus ministeriis parum aptus est. Idem.

Ἦν πρότερον] Sunt fatales mutationes imperiorum: neque fortuna solum nationum, sed et ingenia hominum mutantur. Quare Athenienses ignavi strenuos Macedones frustra calumniantur. Quod si desidiam suam et mollitiem accusare nollent, saltem Homericum illud usurparent:

Ζεὺς ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε.
Jupiter ipse viris animos facit, eripit idem.
Idem.

Τίθησι μὲν τὰ Πύθια] Ἀγωνοθετεῖ, ludis Pythicis præest, utpote princeps Amphictyonum. *Ex edit.* Stock.

Τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει] Id est, *arbitros futuros et præsides, ut præsint certaminibus, et omnia moderentur ac regant.* παρὰ τὸ τίθεμαι, τὸ διατίθεμαι. hinc ἀγωνοθέται nomen, id est, *agonum præsides et judices,* οἱ τοὺς ἀγῶνας εὖ διατιθέμενοι, ut inquit Eustathius. *Ex edit.* Wolf.

Τὴν προμαντείαν] Μαντεία, *divinatio, oraculum.* προμαντεία videtur τὴν πρωτομαντείαν *principem locum in accipiendis oracu-*

θεοῦ, παρώσας ἡμᾶς καὶ Θετταλοὺς καὶ Δωριέας καὶ τοὺς ἄλλους Ἀμφικτύονας, ἧς οὐδὲ τοῖς Ἕλλησιν ἅπασι μέτεστι; γράφει δὲ Θετταλοῖς ὃν τινα χρὴ τρόπον πολιτεύεσθαι; πέμπει δὲ ξένους τοὺς μὲν εἰς Πορθμόν, τὸν δῆμον ἐκβαλοῦντας τὸν Ἐρετριέων, τοὺς δ' ἐπ' Ὠρεόν, τύραννον [1]Φιλιστίδην καταστήσοντας; Ἀλλ' ὅμως ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται, καὶ τὸν αὐτὸν τρόπον, ὅν περ οἱ τὴν χάλαζαν, ἔμοιγε δοκοῦσι θεωρεῖν, εὐχόμενοι μὲν μὴ καθ' ἑαυτοὺς ἕκαστοι γενέσθαι, κωλύειν δὲ οὐδεὶς ἐπιχειρῶν. οὐ μόνον δ' ἐφ' οἷς ἡ Ἑλλὰς ὑβρίζεται ὑπ' αὐτοῦ οὐδεὶς ἀμύνεται, ἀλλ' οὐδ' ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἀδικεῖται· τοῦτο γὰρ ἤδη τοὔσχατόν ἐστιν. οὐ Κορινθίων ἐπ' Ἀμβρακίαν ἐλήλυθε καὶ Λευκάδα; οὐκ Ἀχαιῶν Ναύπακτον ἀφελόμενος ὀμώμοκεν Αἰτωλοῖς παραδώσειν; οὐχὶ Θηβαίων Ἐχῖνον ἀφήρηται; καὶ νῦν ἐπὶ Βυζαντίους πορεύεται συμμάχους ὄντας; οὐχ ἡμῶν—ἐῶ τἆλλα, ἀλλὰ Χεῤῥονήσου τὴν μεγίστην ἔχει πόλιν Καρδίαν; ταῦτα τοίνυν πάσχοντες ἅπαντες μέλλομεν καὶ μαλακιζόμεθα καὶ πρὸς τοὺς πλησίον ἀποβλέπομεν, ἀπιστοῦντες ἀλλήλοις, [2]οὐ τῷ φανερῶς πάντας ἡμᾶς [3]ἀδικοῦντι. καί τοι τὸν ἅπασιν ἀσελγῶς οὕτω χρώμενον τί οἴεσθε, ἐπειδὰν καθ' ἕνα ἡμῶν ἑκάστου κύριος γένηται, [4]τί ποιήσειν;

[1] Φιλιστίδην τύραννον [2] οὐ τῷ] οὕτω [3] ἀδικοῦντος [4] Deest τί

lis significare. Exempli gratia, si Athenienses, Spartani, Thebani, etc. una cum Philippo simul oracula petiissent, primo loco Philippo responsa data essent. WOLF.

Τὴν προμαντείαν τοῦ θεοῦ] H. e. principem locum in consulendo Apollinis oraculo Delphico. Hoc privilegio auctus est Philippus loco Phocensium, quorum ille sacrilegium ultus fuerat. *Ex edit.* STOCK.

Καὶ τοὺς ἄλλους Ἀμφικτύονας] Vide Suidam. WOLF.

Εἰς Πορθμὸν] Hesychius: πορθμὸς, στενὸν θαλάσσης. ἐν μέσῳ τῆς γῆς διαπέραμα. IDEM.

Πορθμὸν] Porthmus erat Eubœæ urbs; nec non fretum, eam urbem et terram continentem interfluens. *Ex edit.* STOCK.

Ἀλλ' ὅμως ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται] Conjunge ὁρῶντες ταῦτα, ἀνέχονται, scilicet τούτων. WOLF.

Οὐκ Ἀχαιῶν Ναύπακτον ἀφελόμενος] Hanc urbem non Achæi, sed Locri Ozolæ tum possidebant. Fortassis Orator eam ab Achæis ablatam esse dicit, eo quod Achæi cum Locris fœderati erant contra Ætolos, hostes eorum inveteratos. Naupactus, tunc tradit Ætolis, in eorum ditione usque permansit; et a Livio atque Polybio memoratur tanquam urbs Ætoliæ primaria. *Ex edit.* STOCK.

Ἐχῖνον] Urbs Pthiotidis juxta sinum Maliacum. Fuit et alia ejusdem nominis in Acarnania. *Ibid.*

Καὶ νῦν ἐπὶ Βυζαντίους πορεύεται] Nondum Byzantium obsidione cinxerat. Namque Perinthum prius oppugnavit; atque inde pulsus, Byzantium aggressus est. Perinthum vero non attentaverat; quandoquidem inter ejus expeditiones hæc non recensetur. Forsan, quo averteret hostes, Byzantium se proficisci simulavit, cum alteram urbem occupare revera vellet. *Ibid.*

ή. Τί οὖν αἴτιον τουτωνί; οὐ γὰρ ἄνευ λόγου καὶ δικαίας αἰτίας οὔτε τόθ' οὕτως εἶχον ἑτοίμως πρὸς ἐλευθερίαν ἅπαντες οἱ Ἕλληνες οὔτε νῦν πρὸς τὸ δουλεύειν. ἦν τι τότ', ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν ταῖς τῶν πολλῶν διανοίαις, ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλούτου καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα καὶ οὔτε ναυμαχίας οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο, νῦν δ' ἀπολωλὸς ἅπαντα λελύμανται καὶ ἄνω καὶ κάτω πεποίηκε τὰ τῶν Ἑλλήνων πράγματα. τί οὖν ἦν τοῦτο; οὐδὲν ποικίλον οὐδὲ σοφόν, [1]ἀλλ' ὅτι τοὺς παρὰ τῶν ἄρχειν ἀεὶ βουλομένων [2]ἢ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν, καὶ χαλεπώτατον ἦν τὸ δωροδοκοῦντα ἐξελεγχθῆναι, καὶ τιμωρίᾳ μεγίστῃ τοῦτον ἐκόλαζον, καὶ παραίτησις οὐδεμία ἦν οὐδὲ συγγνώμη. τὸν οὖν καιρὸν ἑκάστου τῶν πραγμάτων, ὃν ἡ τύχη καὶ τοῖς ἀμελοῦσι κατὰ τῶν προσεχόντων καὶ τοῖς μηδὲν ἐθέλουσι ποιεῖν κατὰ τῶν πάντα ἃ προσήκει πραττόντων πολλάκις παρασκευάζει, οὐκ ἦν πρίασθαι παρὰ τῶν λεγόντων οὐδὲ τῶν στρατηγούντων, οὐδὲ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, οὐδὲ τὴν πρὸς τοὺς τυράννους καὶ τοὺς [3]βαρβάρους ἀπιστίαν, οὐδ' ὅλως τῶν τοιούτων οὐδέν. νῦν δ' ἅπανθ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπραται ταῦτα, ἀντεισῆκται δὲ ἀντὶ τούτων, ὑφ' ὧν ἀπόλωλε καὶ νενόσηκεν ἡ Ἑλλάς. ταῦτα δ' ἐστὶ τί; ζῆλος, εἴ τις εἴληφέ τι· γέλως, ἂν ὁμολογῇ· συγγνώμη τοῖς ἐλεγχομένοις· μῖσος, ἂν τούτοις τις ἐπιτιμᾷ· τἆλλα πάνθ' ὅσα ἐκ τοῦ δωροδοκεῖν ἤρτηται. [4]ἐπεὶ τριήρεις γε καὶ σωμάτων πλῆθος καὶ χρημάτων πρόσοδοι καὶ τῆς ἄλλης κατασκευῆς ἀφθονία καὶ τἆλλα, οἷς ἄν τις ἰσχύειν τὰς πόλεις κρίνοι, νῦν ἅπαντα καὶ πλείω καὶ μείζω ἐστὶ τῶν τότε πολλῷ· ἀλλ'

[1] ἀλλὰ τοὺς [2] ἢ [καὶ] διαφθείρειν [3] βαρβάρους καὶ τοὺς τυράννους [4] ἐπεὶ καὶ τριήρεις

ή. Οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο] Ἀντὶ τοῦ, ἐν πεζομαχίᾳ. Wolf.

Καὶ ἄνω καὶ κάτω πεποίηκε] Id est, *perturbavit, confudit, permiscuit, invertit omnia.* Idem.

Ἀπιστίαν] Dicunt etiam, inquit Harpocratio, ἀπιστίαν pro ἀπείθειαν, ut Demosthenes in nona, i. e. in tertia vulgo dicta Philippicarum, aliique plures. Auger.

Νῦν δ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπραται] S. διὰ τῶν πωλούντων, ab ἐκπιπράσκω. Wolf.

Ἀπόλωλε καὶ νενόσηκε] Ἀπόλωλε gravius cum sit, antecedit, sed νενόσηκε sequitur, ut significet et principium mali et exitium a corruptelis profectum. Idem.

ἅπαντα ταῦτ᾽ ἄχρηστα, ἄπρακτα, ἀνόνητα ὑπὸ τῶν πωλούντων γίγνεται.

θ΄. Ὅτι δ᾽ οὕτω ταῦτ᾽ ἔχει, τὰ μὲν νῦν ὁρᾶτε δή που καὶ οὐδὲν ἐμοῦ προςδεῖσθε μάρτυρος, τὰ δ᾽ ἐν τοῖς ἄνωθεν χρόνοις ὅτι τἀναντία τούτων εἶχεν, ἐγὼ δηλώσω, οὐ λόγους ἐμαυτοῦ λέγων, ἀλλὰ γράμματα τῶν προγόνων τῶν ὑμετέρων δεικνύων, ἃ ἐκεῖνοι κατέθεντο εἰς στήλην χαλκῆν γράψαντες εἰς ἀκρόπολιν, οὐχ ἵν᾽ αὐτοῖς ᾖ χρήσιμα—καὶ γὰρ ἄνευ τούτων τῶν γραμμάτων τὰ δέοντα ἐφρόνουν—ἀλλ᾽ ἵν᾽ ὑμεῖς ἔχητε ὑπομνήματα καὶ παραδείγματα, ὡς ὑπὲρ τῶν τοιούτων σπουδάζειν προςήκει. Τί οὖν λέγει τὰ γράμματα; Ἄρθμιος, φησίν, ὁ Πυθώνακτος ὁ Ζελείτης ἄτιμος ἔστω καὶ πολέμιος τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸς καὶ γένος. εἶθ᾽ ἡ αἰτία [1] γέγραπται δι᾽ ἣν [2] ταῦτ᾽ ἐγένετο· ὅτι τὸν χρυσὸν τὸν [3] ἐκ Μήδων εἰς Πελοπόννησον [4] ἤγαγε. ταῦτ᾽ ἐστὶ τὰ γράμματα. Λογίζεσθε δὴ [5] πρὸς θεῶν καὶ θεωρεῖτε παρ᾽ ὑμῖν αὐτοῖς, τίς ἦν [6] ποθ᾽ ἡ διάνοια τῶν τότε Ἀθηναίων τῶν ταῦτα ποιούντων ἢ τί τὸ ἀξίωμα. ἐκεῖνοι Ζελείτην τινὰ Ἄρθμιον, δοῦλον βασιλέως —ἡ γὰρ Ζέλειά ἐστι τῆς Ἀσίας—, ὅτι τῷ δεσπότῃ δια-

[1] προσγέγραπται [2] τοῦτ᾽ [3] ἐκ τῶν Μήδων [4] ἤγαγεν, οὐκ Ἀθήναζε. ταῦτ᾽ [5] πρὸς Διὸς καὶ θεῶν [6] ποτὲ

θ΄. Ἃ ἐκεῖνοι κατέθεντο, εἰς στήλην χαλκῆν γράψαντες, εἰς ἀκρόπολιν] Ἃ γράμματα κατέθεντο εἰς ἀκρόπολιν, γράψαντες εἰς στήλην χαλκῆν. IDEM.

Ἄρθμιος] Hujusce rei causa altius repetenda est. Artaxerxes Longimanus, Atheniensibus infensus, eo quod Ægyptios rebelles adjuverant, in Peloponnesum misit Megabyzum aliosque, qui muneribus Lacedæmonios ad arma Athenis inferenda concitarent. Hi autem regi morem gerere noluerunt. Arthmius (ut videtur) huic se ministerio immiscuerat; et quanquam non sit palam nominatus, iis est annumerandus, quos emissarios regis vocat Diodorus. Decretum quidem illud Themistoclem scripsisse testatur in ejus vita Plutarchus. *Ex edit.* STOCK.

Ἄρθμιος, φησὶν, ὁ Πυθώνακτος ἄτιμος ἔστω] Ἄτιμον vocat, quem Latini *intestabilem*, ut Horatius, pro *detestabili*. et Plin. lib. 30. de arte magica, *proinde persuasum sit eam intestabilem, irritam, inanem esse*, &c. Ut autem intelligamus duplicem fuisse ἀτιμίαν, hoc est, minorem et majorem, subdit Demosthenes, τοῦτο δ᾽ ἐστὶν οὐχ ἣν ἂν οὑτωσί τις φήσειεν ἀτιμίαν. τί γὰρ τῷ Ζελείτῃ τοῦτ᾽ ἔμελεν, εἰ τῶν Ἀθήνῃσι κοινῶν μὴ μεθέξειν ἔμελλεν. Et rursus verba legis de cædibus latæ referens, ἄτιμος, φησὶ, τεθνάτω. τοῦτο δὴ λέγει, καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι. καθαροὶ autem dicebantur, qui ob cædem perpetratam impiatas manus habere non censebantur, qui etiam εὐαγεῖς atque ὅσιοι appellabantur. Verba legis Solonis apud Andocidem extant, ὁ δὲ ἀποκτείνας τὸν ταῦτα ποιήσαντα, ὅσιος ἔστω καὶ εὐαγής: quæ verba Orator interpretans, καθαρὸς ἔστω τὰς χεῖρας, inquit. Plura Budæus in Comment. *Ex edit.* WOLF.

Ἐκ Μήδων] H. e. a Persis, qui a vetustioribus Persæ et Medi, nullo discrimine, appellati sunt. *Ex edit.* STOCK.

Ἢ τί τὸ ἀξίωμα] *Dignitatem* hic appellat, magnifica facta, tanta republica digna. WOLF.

Ζέλεια] Urbs Troadis, Idæ monti subjacens, cujus meminit Homerus, Il. δ΄. 103. *Tourel.* STOCK.

κονῶν χρυσίον ἤγαγεν εἰς Πελοπόννησον, οὐκ Ἀθήναζε, ἐχθρὸν αὐτῶν ἀνέγραψαν καὶ τῶν συμμάχων αὐτὸν καὶ γένος, καὶ [1] ἀτίμους. τοῦτο δ᾿ ἐστὶν οὐχ ἣν ἄν οὑτωσί τις φήσειεν ἀτιμίαν· τί γὰρ τῷ Ζελείτῃ τοῦτ᾿ ἔμελεν, εἰ τῶν Ἀθήνησι κοινῶν μὴ μεθέξειν ἔμελλεν; ἀλλ᾿ οὐ τοῦτο λέγει, ἀλλ᾿ ἐν τοῖς φονικοῖς γέγραπται νόμοις, ὑπὲρ ὧν ἂν μὴ διδῷ [δίκας] φόνου δικάσασθαι, ἀλλ᾿ εὐαγὲς ᾖ τὸ ἀποκτεῖναι, καὶ ἄτιμος, φησί, τεθνάτω· τοῦτο [2] δὴ λέγει, καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι. οὐκοῦν ἐνόμιζον ἐκεῖνοι τῆς ἁπάντων τῶν Ἑλλήνων σωτηρίας [3] αὐτοῖς ἐπιμελητέον εἶναι· οὐ γὰρ ἂν αὐτοῖς ἔμελεν, εἴ τις ἐν Πελοποννήσῳ τινὰς ὠνεῖται [4] καὶ διαφθείρει, μὴ τοῦθ᾿ ὑπολαμβάνουσιν· ἐκόλαζον δ᾿ οὕτω καὶ ἐτιμωροῦντο [5] οὓς αἴσθοιντο δωροδοκοῦντας, ὥστε καὶ στηλίτας ποιεῖν. ἐκ δὲ τούτων εἰκότως τὰ τῶν Ἑλλήνων ἦν τῷ βαρβάρῳ φοβερά, οὐχ ὁ βάρβαρος τοῖς Ἕλλησιν. ἀλλ᾿ οὐ νῦν· οὐ γὰρ οὕτως ἔχεθ᾿ ὑμεῖς οὔτε πρὸς τὰ τοιαῦτα οὔτε πρὸς [6] τἆλλα, ἀλλὰ πῶς; ἴστε αὐτοί· τί γὰρ δεῖ περὶ πάντων ὑμῶν [7] κατηγορεῖν; παραπλησίως δὲ καὶ οὐδὲν βέλτιον [8] ὑμῶν ἅπαντες οἱ λοιποὶ Ἕλληνες. Διόπερ φημὶ ἔγωγε καὶ σπουδῆς πολλῆς καὶ βουλῆς ἀγαθῆς τὰ παρόντα πράγματα προσδεῖσθαι. τίνος εἴπω; κελεύετε καὶ οὐκ ὀργιεῖσθε;

[1] ἀτίμους εἶναι. τοῦτο [2] δὲ [3] αὐτοῖς [4] καὶ] ἢ [5] οὓς ἂν αἴσθοιντο
[6] τὰ ἄλλα [7] κατηγορεῖν; καὶ παραπλησίως [8] ὑμῶν, καὶ ἅπαντες

Οὐκ Ἀθήναζε] Homines, qui lucro metiuntur omnia, suspicari queant, Arthmium ideo proscriptum, quod Lacedæmoniis potius, quam Atheniensibus, aurum attulisset. Verum sententia Demosth. plana et perspicua est: Athenienses dedisse operam, tanquam Græcorum principes, ne qui barbarico auro corrumperentur, etiam extra Atticam. Wolf.

Τοῦτο δ᾿ ἐστὶν οὐχ ἣν ἂν οὑτωσί τις φήσειεν ἀτιμίαν] Οὑτωσὶ, *nude, simpliciter*; in qua significatione hoc adverbio utitur Plato, et alibi Demosthenes. Sensus igitur loci hic est. Ea pœna non erat, quæ simpliciter ignominia dicitur sed gravior quædam; nempe proscriptio. Ad quod probandum, affert Orator duo legum capita. Integræ sententiæ ordo, suppletis ellipsibus, ita se habet. Τοῦτο δὲ [scilicet, τὸ εἶναι ἄτιμον] οὐκ ἔστιν [ἀτιμία] ἣν ἀτιμίαν τις οὑτωσὶ ἂν φήσειεν. Postea in parenthesi, (τί γὰρ τῷ Ζελείτῃ τοῦτ᾿ ἔμελεν, εἰ τῶν Ἀθήνησι κοινῶν μὴ μεθέξειν ἔμελλεν;) Ἀλλ᾿ οὐ τοῦτο λέγει [τὸ γράμμα] i. e. *non hoc vult scriptum, non est ea verborum sententia:* ἀλλ᾿ ἐν τοῖς φονικοῖς νόμοις γέγραπται, ὑπὲρ ὧν [ἐγκλημάτων τις] ἂν μὴ διδῷ δίκας, φόνου δικάσασθαι [δεῖν.] Ἀλλ᾿ εὐαγὲς, i. e. *justum et licitum*, ἦν ἀποκτεῖναι [τὸν μὴ δόντα δίκας.] Quod ex lege constat. Καὶ [ὁ] ἄτιμος, φησὶ [ὁ φονικὸς νόμος], τεθνάτω. *Ex edit.* Stock.

Οὐ γὰρ ἂν αὐτοῖς ἔμελεν μὴ τοῦθ᾿ ὑπολαμβάνουσι] Εἰ μὴ τοῦθ᾿ ὑπελάμβανον. Wolf.

Ὥστε καὶ στηλίτας ποιεῖν] Ὥστε ἐγγράψαι τὰ ὀνόματα αὐτῶν ἐν στήλαις, ὡς κακούργων καὶ καταδικασθέντων. Idem.

Ἕλληνες] Subaudi ἔχουσι vel διάκεινται. Auger.

Τίνος εἴπω] Scilicet βουλῆς. Wolf.

[1] (ʼΕΚ ΤΟΥ ΓΡΑΜΜΑΤΕΙΟΥ ʼΑΝΑΓΙΓΝΩΣΚΕΙ)

ι. Ἔστι τοίνυν τις εὐήθης λόγος παρὰ τῶν παραμυθεῖσθαι βουλομένων τὴν πόλιν, ὡς ἄρα οὔπω Φίλιππός ἐστι τοιοῦτος, οἷοί ποτ᾽ ἦσαν Λακεδαιμόνιοι, οἳ θαλάττης μὲν ἦρχον καὶ γῆς ἁπάσης, βασιλέα δὲ σύμμαχον εἶχον, ὑφίστατο δ᾽ οὐδεὶς αὐτούς· ἀλλ᾽ ὅμως ἠμύνατο κἀκείνους ἡ πόλις καὶ οὐκ ἀνηρπάσθη. Ἐγὼ δὲ ἁπάντων ὡς ἔπος εἰπεῖν πολλὴν εἰληφότων ἐπίδοσιν, καὶ οὐδὲν ὁμοίων ὄντων τῶν νῦν τοῖς πρότερον, οὐδὲν ἡγοῦμαι πλέον ἢ τὰ τοῦ πολέμου κεκινῆσθαι καὶ ἐπιδεδωκέναι. πρῶτον μὲν γὰρ ἀκούω Λακεδαιμονίους τότε καὶ πάντας [2] τοὺς Ἕλληνας τέτταρας μῆνας ἢ πέντε, τὴν ὡραίαν αὐτήν, [3] [στρατευέσθαι, καὶ τοῦτον τὸν χρόνον] ἐμβαλόντας ἂν καὶ κακώσαντας τὴν τῶν ἀντιπάλων χώραν ὁπλίταις καὶ πολιτικοῖς στρατεύμασιν ἀναχωρεῖν ἐπ᾽ οἴκου πάλιν· οὕτω δ᾽ ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς, ὥστε οὐδὲ χρημάτων ὠνεῖσθαι

[1] ἐκ τοῦ γραμματείου ἀναγίνωσκε: quæ ipsi dantur oratori. [2] τοὺς ἄλλους Ἕλληνας [3] Absunt unci.

ι. Βασιλέα δὲ σύμμαχον εἶχον] Athenienses, male re gesta in Sicilia, respirare tamen potuissent, ni adversatus esset iis Artaxerxes Nothus, qui cum Lacedæmoniis, Tissaphernis ministerio, societatem inierat. Non multum quidem exinde virium Lacedæmoniis accessit primum. Tandem vero, cum Cyrus minor Asiæ præfectus esset, Lysander, qui gratia apud eum plurimum valebat, adeo viribus auctus est, ut facile Athenas subjugaret. *Ex edit.* STOCK.

Ὑφίστατο δ᾽ οὐδὲν αὐτοὺς] Id est, ἀνυπόστατοι ἦσαν, καὶ πάντων ἐκράτουν: *quibus nihil obsistebat. contra quos nemo arma movere, nemo se defendere audebat.* οἳ δύναμιν ἀνυπόστατον ἔχειν ἐδόκουν. WOLF.

Εἰληφότων ἐπίδοσιν] Cujusmodi incrementa? Non tam virtutis et potentiæ, quam vitiorum et ignaviæ. IDEM.

Ὑποδεδωκέναι] Felicianus cum Obsopœo legit ἐπιδεδωκέναι, haud sane incommode. sed illa rei bellicæ incrementa quæ fuerunt? perfidia et proditiones et assiduitas Philippi. IDEM.

Τέτταρας μῆνας ἢ πέντε] In æstiva se recipere, haud secus ac in hyberna, soliti sunt exercitus in bello Pelop. Itaque Thucydides, eumque secutus Usserius, annos ejus belli per æstates et hyemes computant. *Ex edit.* STOCK.

Τὴν ὡραίαν αὐτὴν] Tametsi me formulam hanc alibi legisse non memini, nec apud auctores, nec in ullis Lexicis explicatam, tamen quia ex collatione ejus, quod sequitur, καὶ σιωπῶ θέρος καὶ χειμῶνα ὡς οὐδὲν διαφέρει, οὐδ᾽ ἔστιν ἐξαίρετος ὥρα τις, ἣν διαλείπει· satis intelligitur, αὐτὴν τὴν ὡραίαν, *ipso belli gerendi opportuno tempore,* id est, æstivo, aut etiam verno, intelligi debere. Nam τὸ ὡραῖον *maturum* et *tempestivum* est, apud Thucydidem lib. 1. χαλεπωτέραν ἕξουσι τὴν κατακομιδὴν τῶν ὡραίων· et apud eundem æstivo tempore susceptas esse expeditiones, subinde legitur, ut lib. 4. τοῦ δ᾽ ἐπιγιγνομένου θέρους περὶ σίτου ἐκβολήν. et 2. ἅμα ἦρι ἀρχομένῳ, et, τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου οἱ Πελοποννήσιοι, etc. WOLF.

Τὴν ὡραίαν αὐτὴν] Ipsam solummodo tempestatem bellicis expeditionibus maxime opportunam. *Ex edit.* STOCK.

Ὁπλίταις καὶ πολιτικοῖς στρατεύμασι] *Gravis armaturæ militibus et civilibus exercitibus,* id est, in quibus ipsi cives militarent. WOLF.

Ὁπλίταις] Gravis armaturæ milites, agris vastandis non æque idonei ac equites. *Ex edit.* STOCK.

Ἀρχαίως εἶχον] Id est, tanta erat eorum simplicitas, vel potius civilitas, id est, integritas. WOLF.

Μᾶλλον δὲ πολιτικῶς] I. e. gesta fuerunt eorum bella non minus legitime, quam

παρ' οὐδενὸς οὐδέν, ἀλλ' εἶναι νόμιμόν τινα καὶ προφανῆ τὸν πόλεμον. νυνὶ δ' ὁρᾶτε μὲν δή που τὰ πλεῖστα τοὺς προδότας ἀπολωλεκότας, οὐδὲν δ' ἐκ παρατάξεως [1] οὐδὲ μάχης γιγνόμενον· ἀκούετε δὲ Φίλιππον οὐχὶ τῷ φάλαγγας ὁπλιτῶν ἄγειν βαδίζονθ' ὅποι βούλεται, ἀλλὰ τῷ ψιλούς, ἱππέας, τοξότας, ξένους, τοιοῦτον ἐξηρτῆσθαι στρατόπεδον. ἐπειδὰν δὲ τούτοις κρατῶν πρὸς νοσοῦντας ἐν [2] αὑτοῖς προσπέσῃ καὶ μηδεὶς ὑπὲρ τῆς χώρας δι' ἀπιστίαν ἐξίῃ, μηχανήματ' ἐπιστήσας πολιορκεῖ. καὶ σιωπῶ θέρος καὶ χειμῶνα, ὡς οὐδὲν αὐτῷ διαφέρει, οὐδ' ἔστιν ἐξαίρετος ὥρα τις ἣν διαλείπει. Ταῦτα μέντοι πάντας εἰδότας δεῖ καὶ λογιζομένους μὴ προσέσθαι τὸν πόλεμον εἰς τὴν χώραν, μηδ' εἰς τὴν εὐήθειαν τὴν τοῦ τότε πρὸς Λακεδαιμονίους πολέμου βλέποντας ἐκτραχηλισθῆναι, ἀλλ' ὡς ἐκ πλείστου φυλάττεσθαι τοῖς πράγμασι καὶ ταῖς παρασκευαῖς, ὅπως οἴκοθεν μὴ κινήσεται σκοποῦντας, οὐχὶ συμπλακέντας διαγωνίζεσθαι. πρὸς μὲν γὰρ πόλεμον πολλὰ φύσει πλεονεκτήμαθ' ἡμῖν ὑπάρχει, ἄν περ, ὦ ἄνδρες Ἀθηναῖοι, ποιεῖν ἐθέλωμεν ἃ δεῖ, ἡ φύσις τῆς ἐκείνου χώρας, ἧς ἄγειν

[1] οὐδ' ἐκ   [2] αὑτοῖς καὶ τεταραγμένους προσπέσῃ

disceptantur lites civium in foro. Itaque refertur τὸ νόμιμον ad τὸ πολιτικῶς, et τὸ προφανῆ ad ἀρχαίως. *Ex edit.* Stock.

Τῷ ψιλοὺς, ἱππέας, τοξότας, ξένους] In singulis vocibus interpungendum esse, recte advertit Wolfius. Universum exercitum in duas partes tribuebant Græci, ὁπλίτας et ψιλούς. Ψιλοῖς accensebantur equites, sagittarii, milites peregrini. Consule Potter. l. 3. c. 3. Stock.

Ἐξηρτῆσθαι] Ab ἐξαρτάομαι. Sed lego ἐξηρτῦσθαι, ab ἐξαρτύομαι, *instructum esse*, per υ in penultima. Wolf.

Οὐδ' ἔστιν ἐξαίρετος] Nullas ferias agit, nunquam cessat. Idem.

Οὐδ' ἔστιν ἐξαίρετος] Nullum seponit eximium tempus ad otium et voluptatem; sed oblatam agendi occasionem nunquam non arripit. *Ex edit.* Stock.

Μηδ' εἰς τὴν εὐήθειαν] Quia sine proditionibus, et statis anni temporibus ea bella gerebantur, hoc nomine utitur. καίτοι καὶ τοῦ Περικλέους ιέ τάλαντα εἰς δέον ἀνηλωκέναι φήσαντος· Ἀρχίδαμος ἔφυγε προδοσίας, ὥς φασιν οἱ ῥήτορες. Wolf.

Ἐκτραχηλισθῆναι] Exponit Phavorinus, ἐκπεσεῖν τῶν ἵππων. Metaphora est ab incauto sessore, quem alio oculos avertentem equus per caput effundit. Stock.

Πρὸς πόλεμον, etc. εἰς ἀγῶνα, etc.] Πόλεμος *bellum*, etiam cum non conseruntur manus. ἀγὼν *prœlium, conflictus.* hoc discrimen servat Demosthenes etiam in oratione περὶ συμμοριῶν· ubi dicit: τὸν μὲν πρὸς Πέρσας πόλεμον χαλεπόν· τὸν δ' ἐκ τοῦ πολέμου ἀγῶνα ῥᾴδιον ἂν ἐσόμενον· inversa quodammodo hac sententia, ob diversum genus hostium. Wolf.

Πολλὰ, etc. ἡ φύσις, etc. ἄλλα μυρία] Πολλὰ generale est. ἡ φύσις ἐξηγητικῶς subjicitur. ἄλλα μυρία, ὑπερβολικῶς. Nam si illa enumeranda essent, fortasse vix unam atque alteram commoditatem addere potuisset. Idem.

Πολλὰ φύσει πλεονεκτήμαθ' ἡμῖν ὑπάρχει] Etsi Athenienses amiserant Amphipolim, Pydnam, et Potidæam, restabant tamen iis Lemnos, Thasus, aliæque Maris Ægæi insulæ, unde in Philippi regnum impetum facere possent; præsertim cum plurimum mari pollerent. *Ex edit.* Stock.

καὶ φέρειν ἔστι πολλὴν καὶ κακῶς ποιεῖν, ἄλλα μυρία· εἰς δὲ ἀγῶνα ἄμεινον ἡμῶν ἐκεῖνος ἤσκηται.

ιά. Οὐ μόνον δὲ ταῦτα χρὴ γιγνώσκειν, οὐδὲ τοῖς ἔργοις ἐκεῖνον ἀμύνεσθαι τοῖς τοῦ [1] πολέμου, ἀλλὰ καὶ τῷ λογισμῷ καὶ τῇ διανοίᾳ τοὺς παρ᾽ ὑμῖν ὑπὲρ αὐτοῦ λέγοντας μισῆσαι, ἐνθυμουμένους ὅτι οὐκ ἔνεστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ὑπηρετοῦντας [2] ἐκείνοις. ὃ μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεούς! οὐ δύνασθε ὑμεῖς ποιῆσαι οὐδὲ βούλεσθε, ἀλλ᾽ εἰς τοῦτο ἀφῖχθε μωρίας ἢ παρανοίας ἢ οὐκ ἔχω τί λέγω —πολλάκις γάρ ἔμοιγ᾽ ἐπελήλυθε καὶ τοῦτο φοβεῖσθαι, μή τι δαιμόνιον τὰ πράγματα ἐλαύνῃ—, ὥστε λοιδορίας ἢ φθόνου ἢ σκώμματος ἢ ἧς τινὸς ἂν τύχητε ἕνεκ᾽ αἰτίας ἀνθρώπους μισθωτούς, ὧν οὐδ᾽ ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσὶ τοιοῦτοι, λέγειν κελεύετε, καὶ γελᾶτε, ἄν τισι λοιδορηθῶσι. καὶ οὐχί πω [3] τοῦτο δεινόν, καί περ ὂν δεινόν· ἀλλὰ καὶ μετὰ πλείονος ἀσφαλείας πολιτεύεσθαι δεδώκατε τούτοις ἢ τοῖς ὑπὲρ ὑμῶν λέγουσι. Καί τοι θεάσασθε, ὅσας συμφορὰς παρασκευάζει τὸ τῶν τοιούτων ἐθέλειν ἀκροᾶσθαι. λέξω δ᾽ ἔργα, ἃ πάντες εἴσεσθε.

ιβ΄. Ἦσαν ἐν Ὀλύνθῳ τῶν ἐν τοῖς πράγμασι τινὲς [4] μὲν Φιλίππου καὶ πάνθ᾽ ὑπηρετοῦντες ἐκείνῳ, τινὲς δὲ τοῦ βελτίστου, καὶ ὅπως μὴ [5] δουλεύσουσιν οἱ πολῖται πράττοντες. Πότεροι δὴ τὴν πατρίδα ἀπώλεσαν, ἢ πότεροι τοὺς ἱππέας προὔδοσαν, ὧν προδοθέντων Ὄλυνθος ἀπώλετο; οἱ τὰ Φιλίππου φρονοῦντες καὶ ὅτ᾽ ἦν ἡ πόλις

[1] πολέμου χρὴ, ἀλλὰ [2] ἐκείνῳ· ὃ οὐ μὰ [3] τοῦτό πω
[4] μὲν τὰ Φιλίππου φρονοῦντες καὶ [5] δουλεύσωσιν

ιά. Μή τι δαιμόνιον] Plane vates hic est Demosthenes. Vidit, fatalem esse Græciæ stultitiam Demosthenes, et imminere patriæ servitutem: et tamen adversandum esse duxit, dum ulla salutis spes superesset. Neque dubium est, quin vir patriæ amantissimus, summum ex ea re dolorem ceperit. De Philippo etiam Isocrates sic scribit: ἡγοῦμαι δὲ καὶ τὰ πεπραγμένα πρότερον οὐκ ἄν ποτέ σοι γενέσθαι τηλικαῦτα τὸ μέγεθος, εἰ μή τις τῶν θεῶν αὐτὰ συγκατώρθωσεν. WOLF.

Μή τι δαιμόνιον τὰ πράγματα ἐλαύνῃ] Unicuique homini, atque etiam loco, duos tribuerunt antiqui genios, bonum et malum. Hunc et *κακοδαίμονα* et *ἀλάστορα* vocarunt; eumque consilium iis eripere qui perituri erant, invaluit opinio; juxta adagium, *quos Jupiter vult perdere, prius dementat.* Cæterum hic notandum, quam vere de fato patriæ imminente vaticinatus sit Demosthenes. *Ex edit.* STOCK.

ιβ΄. Τῶν ἐν τοῖς πράγμασι] Scilicet ὄντων. M. ἐπί. hoc est, τῶν πολιτευομένων καὶ στρατηγούντων τινές. WOLF.

τοὺς τὰ βέλτιστα λέγοντας συκοφαντοῦντες καὶ διαβάλλοντες οὕτως, ὥστε τόν γ' Ἀπολλωνίδην καὶ ἐκβαλεῖν ὁ δῆμος ὁ τῶν Ὀλυνθίων ἐπείσθη. Οὐ τοίνυν παρὰ τούτοις μόνοις τὸ ἔθος τοῦτο πάντα κακὰ εἰργάσατο, ἄλλοθι δ' οὐδαμοῦ· ἀλλ' ἐν Ἐρετρίᾳ, [1] ἐπειδὴ ἀπαλλαγέντος Πλουτάρχου καὶ τῶν ξένων ὁ δῆμος εἶχε τὴν πόλιν καὶ τὸν Πορθμόν, οἱ μὲν ἐφ' ὑμᾶς ἦγον τὰ πράγματα, οἱ δ' ἐπὶ Φίλιππον. ἀκούοντες δὲ τούτων τὰ πολλά, μᾶλλον δὲ τὰ πάντα οἱ ταλαίπωροι καὶ δυστυχεῖς Ἐρετριεῖς τελευτῶντες ἐπείσθησαν τοὺς ὑπὲρ [2] αὐτῶν λέγοντας ἐκβαλεῖν. καὶ γάρ τοι πέμψας Ἱππόνικον ὁ σύμμαχος καὶ φίλος αὐτοῖς Φίλιππος καὶ ξένους χιλίους, τὰ τείχη περιεῖλε τοῦ Πορθμοῦ καὶ τρεῖς κατέστησε τυράννους, Ἵππαρχον, Αὐτομέδοντα, Κλείταρχον· καὶ μετὰ ταῦτ' ἐξελήλακεν ἐκ τῆς χώρας δὶς ἤδη βουλομένους σώζεσθαι, τοτὲ μὲν πέμψας τοὺς μετ' Εὐρυλόχου ξένους, πάλιν δὲ τοὺς μετὰ Παρμενίωνος.

ιγ'. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ἀλλ' ἐν Ὠρεῷ [3] Φιλιστίδης μὲν ἔπραττε Φιλίππῳ καὶ Μένιππος καὶ Σωκράτης καὶ Θόας καὶ Ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν πόλιν—καὶ ταῦτ' ᾔδεσαν ἅπαντες—, Εὐφραῖος δέ τις, ἄνθρωπος καὶ παρ' [4] ἡμῖν ποτ' ἐνθάδε οἰκήσας, ὅπως ἐλεύθεροι καὶ μηδενὸς δοῦλοι ἔσονται. οὗτος τὰ μὲν ἄλλα ὡς ὑβρίζετο καὶ [5] προὐπηλακίζετο ὑπὸ τοῦ [6] δήμου, πολλὰ ἂν εἴη λέγειν· ἐνιαυτῷ δὲ πρότερον τῆς ἁλώσεως ἐνέδειξεν ὡς προδότην τὸν [7] Φιλιστίδην καὶ τοὺς μετ' αὐτοῦ, αἰσθόμενος ἃ πράττουσι. συστραφέντες δὲ ἄνθρωποι πολλοί, καὶ χορηγὸν ἔχοντες Φίλιππον καὶ πρυτανευόμενοι παρ' ἐκείνου, ἀπάγουσι τὸν Εὐφραῖον εἰς τὸ δεσμωτήριον ὡς συνταράτ-

[1] ἐπειδή γε ἀπαλλαγέντος [2] αὐτῶν [3] Φιλιστείδης [4] ὑμῖν [5] προεπηλακίζετο [6] δήμου τοῦ τῶν ὠρειτῶν, πολλὰ [7] Φιλιστείδην

Τὰ τείχη περιεῖλε τοῦ Πορθμοῦ] Freti portus muniti utique fuerunt. Idem.

Ἤδη βουλομένους σώζεσθαι] Scilicet τοὺς Ἐρετριεῖς. cum jam tandem sero sapere vellent. Fortasse cum expeterent amicitiam Atheniensium. Idem.

ιγ'. Παρ' ὑμῖν οἰκήσας ὅπως] Intelligo domicilium ea mente Athenis collocasse Euphræum, ut ibi civium suorum commodis invigilaret, et patriæ quasi σύνδικος esset. Stock.

Ὅπως] Sub. ἔπρατπε quod præcessit. Auger.

Πρυτανευόμενοι] Inquit Harpocratio, ἀντὶ τοῦ διοικούμενοι καὶ διαστρεφόμενοι, Δημοσθένης ἐν δευτέρῳ (imo ἐννάτῳ) Φιλιππικῶν. Idem.

τουτα τὴν πόλιν. ὁρῶν δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν Ὠρειτῶν ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς δ' ἀποτυμπανίσαι, τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δ' ἐπιτήδειον εἶναι ταῦτα παθεῖν ἔφη καὶ ἐπέχαιρε. μετὰ ταῦθ' οἱ μὲν ἐπ' ἐξουσίας ὁπόσης ἠβούλοντο ἔπραττον ὅπως ἡ πόλις ληφθήσεται, καὶ κατεσκευάζοντο τὴν πρᾶξιν· τῶν δὲ πολλῶν εἴ τις αἴσθοιτο, ἐσίγα καὶ κατεπέπληκτο, τὸν Εὐφραῖον, οἷα ἔπαθε, μεμνημένος. οὕτω δ' ἀθλίως διέκειντο [1] [τῷ φόβῳ], ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προσιόντος ῥῆξαι φωνήν, πρὶν διασκευασάμενοι πρὸς τὰ τείχη προσῄεσαν οἱ πολέμιοι· τηνικαῦτα δ' οἱ μὲν ἠμύνοντο, οἱ δὲ προὐδίδοσαν. τῆς δὲ πόλεως οὕτως ἁλούσης αἰσχρῶς καὶ κακῶς οἱ μὲν ἄρχουσι καὶ τυραννοῦσι, τοὺς τότε σώζοντας αὑτοὺς καὶ τὸν Εὐφραῖον ἑτοίμους ὁτιοῦν ποιεῖν ὄντας τοὺς μὲν ἐκβαλόντες, τοὺς δὲ ἀποκτείναντες· ὁ δ' Εὐφραῖος ἐκεῖνος ἀπέσφαξεν ἑαυτόν, ἔργῳ μαρτυρήσας ὅτι δικαίως καὶ καθαρῶς ὑπὲρ τῶν πολιτῶν ἀνθειστήκει Φιλίππῳ.

ιδ'. Τί οὖν ποτ' αἴτιον, θαυμάζετ' ἴσως, τοῦ καὶ τοὺς Ὀλυνθίους καὶ τοὺς Ἐρετριεῖς καὶ τοὺς Ὠρείτας ἥδιον πρὸς τοὺς ὑπὲρ Φιλίππου λέγοντας ἔχειν ἢ τοὺς ὑπὲρ ἑαυτῶν; Ὅπερ καὶ παρ' ὑμῖν [2] [νῦν ἐστίν], ὅτι τοῖς μὲν ὑπὲρ τοῦ βελτίστου λέγουσιν οὐδὲ βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν οὐδὲν εἰπεῖν· τὰ γὰρ πράγματ' ἀνάγκη σκοπεῖν ὅπως σωθήσεται· οἱ δ' ἐν αὐτοῖς οἷς χαρίζονται Φιλίππῳ συμπράττου-

[1] Absunt unci.

[2] Absunt unci.

Καὶ ἐπέχαιρε] *Insultabat* Euphræo, delectabatur ejus calamitate. Wolf.

Ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προσιόντος ῥῆξαι φωνὴν] Ῥήγνυμι φωνὴν ἀντὶ τοῦ φθέγγομαι. Aristophanes ῥῆξον φωνὴν ἤ τινι χαίρεις, *loquere*. Virgil. Æneid. 2. *Composito rumpit vocem, et me destinat aræ*. Significat autem post silentium loqui, et quasi vocem exire gestientem edere et emittere, hoc est, sinere ut erumpat. Et vox ipsa ἐκρήγνυσθαι dicitur, hoc est, *erumpere*, quod etiam ῥήγνυσθαι vocatur. *Ex edit.* Wolf.

Πρὶν διασκευασάμενοι πρὸς τὰ τείχη] Notandum hic, medios aoristos primos, licet plerumque significationem habeant activam, tamen etiam passivam habere sæpe inveniri, ita hic διασκευασάμενοι dixit pro διεσκευασμένοι, *armati et instructi* ad oppugnationem. Significat autem præter alia σκευάζω, *armis contego*, et σκεύη, *armatura*, σκευοθήκη, *armamentarium*, σκευοφόροι, *calones et lixæ*. καὶ διεσκευασμένος στρατὸς, ὁ ἔνοπλος, καὶ ξιφήρης καὶ ἡτοιμασμένος, *sub armis existens*, ut Cæsar dixit, *et quasi accinctus*. *Ibid.*

Τυραννοῦσι] Absolute accipiendum: quod sequitur τοὺς τότε σώζοντας, pro τῶν τότε σωζόντων αὑτοὺς καὶ τὸν Εὐφραῖον, ἑτοίμους ὄντας ὁτιοῦν ποιεῖν, etc. τοὺς μέν. *Imperant: eos, qui tum* (cum urbs oppugnaretur) *et se tuebantur*, id est, defendebant patriam, *et Euphræum*, id est, vinculis liberabant: *qui pro defensione patriæ nullum periculum recusabant, partim ejecerunt, partim occiderunt*. Wolf.

ιδ'. Συμπράττουσιν. εἰσφέρειν] Hunc locum sic distinguo: συμπράττουσιν. εἰσφέ-

σιν. εἰςφέρειν ἐκέλευον, οἱ δ' οὐδὲν δεῖν ἔφασαν· πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ' ἄγειν εἰρήνην, ἕως ἐγκατελήφθησαν. τἄλλα τὸν αὐτὸν τρόπον [1] οἶμαι πάνθ', ἵνα μὴ καθ' ἕκαστα λέγω· οἱ μέν, ἐφ' οἷς ἤδη χαριοῦνται, ταῦτ' ἔλεγον καὶ ἐλύπουν οὐδέν· οἱ δ', ἐξ ὧν ἔμελλον σωθήσεσθαι, προςῆσαν δ' ἀπέχθειαι. πολλὰ δὲ καὶ τὰ τελευταῖα οὐχ οὕτως οὔτε πρὸς χάριν οὔτε δι' ἄγνοιαν οἱ πολλοὶ προΐεντο, ἀλλ' ὑποκατακλινόμενοι, ἐπειδὴ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον. ὃ νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω! δέδοικα [2] ἐγὼ μὴ πάθητε ὑμεῖς, ἐπειδὰν [3] ἴδητε ἐκ λογισμοῦ μηδὲν ὑμῖν ἐνόν· [4] [καὶ τοὺς εἰς τοῦθ' ὑπάγοντας ὑμᾶς ὁρῶν οὐκ ὀῤῥωδῶ, ἀλλὰ δυςωποῦμαι· ἢ γὰρ ἐξεπίτηδες ἢ δι' ἄγνοιαν εἰς χαλεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν.] Καί τοι μὴ γένοιτο, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ πράγματ' ἐν τούτῳ· τεθνάναι γὰρ μυριάκις κρεῖττον ἢ κολακείᾳ τι ποιῆσαι Φιλίππῳ καὶ προέσθαι τῶν ὑπὲρ ὑμῶν αὐτῶν λεγόντων τινάς. καλήν γ' οἱ πολλοὶ νῦν ἀπειλήφασιν Ὠρειτῶν χάριν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρεψαν αὑτούς, τὸν δ' Εὐφραῖον ἐώθουν· καλήν γ' ὁ δῆμος [5] ὁ Ἐρε-

[1] οἶμαι τρόπον [2] ἔγωγε [3] εἰδῆτε [4] Absunt unci.
[5] ὁ τῶν Ἐρετριέων

ρειν ἐκέλευον: (S. οἱ ὑπὲρ τοῦ βελτίστου λέγοντες) οἱ δ' οὐδὲν (S. οἱ συμπράττοντες Φιλίππῳ) δεῖν ἔφασαν. πολεμεῖν, καὶ μὴ πιστεύειν: (S. Φιλίππῳ) οἱ δ' ἄγειν εἰρήνην, etc. De sententia constat, utcunque verba distinguantur. Ait enim libertatis assertores tributa imponere, et bellum movere: proditores utrumque prohibere. Idem.

Ἐπειδὰν ἴδητε] Id est, ubi vos omnia consilia destituerint. Idem.

Οὐκ ὀῤῥωδῶ, ἀλλὰ δυσωποῦμαι] Quantum conjectura consequi possumus, Demosthenem dixerat adversarius aliquis, se intuentem, ὀῤῥωδεῖν: quod verbum metum abjectissimum denotat. Hinc orator, se non metu, sed pudore perfusum esse ac detestatione ait, sceleratos intuentem patriæ proditores. Forsan Demosthenem, aut ex ejus amicis aliquem, pœna affici debere dixerant, quod regem potentem et civitatis socium conviciis lacessierat; quippe, mox, turpe esse dicit civem fidelem in gratiam Philippi prodere. *Ex edit.* Stock.

Οὐκ ὀῤῥωδῶ, ἀλλὰ δυσωποῦμαι] Nescio quid in mentem venit Interpretibus Gallicis, cum *amplificationem* quandam ex his verbis eruerint: *je ne les haïs pas simplement, je les abhorre:* et similiter Olivetus, ——"Sunt, inquit Noster, præter eos, qui se plane Philippo vendiderunt, quidam homines fracti animis ac demissi, (ὑποκατακλινόμενοι) qui cum periisse jam vires dignitatemque censeant Athenarum, cedendum esse temporibus dicunt, et honestum pro communi Græcorum libertate certamen deserendum. Quorum equidem consilium non mihi terrorem injicit, (boni enim fortasse cives sunt) verum summo me pudore afficit, cum sit omnino hac republica indignum." Phocionem hic innuisse crediderim Demosthenem, cujus illud semper Atheniensibus consilium fuisse tradit Plutarchus, ut quos potentia superare non possint, cum iis amicitiam colant: ἢ τοῖς ὅπλοις κρατεῖν, ἢ τοῖς κρατοῦσι φίλους εἶναι. Adi Leland. V. Phil. III. §. 1. p. 32. Stock.

Ἀλλὰ δυσωποῦμαι] Id est, *sed pudore confusus sum.* Est enim δυσωποῦμαι, τὸ ἐντρέπομαι, *pudore vehementer afficior.* καὶ δυσωπία, *verecundatio et vehemens oris confusio.* Plura de hoc verbo Budæus in Comment. *Ex edit.* Wolf.

Ἐώθουν] *Pellebant*, id est, repudiabant, aversabantur. Wolf.

τριέων, ὅτι τοὺς μὲν [1] ὑμετέρους πρέσβεις ἀπήλασε, Κλειτάρχῳ δ' ἐνέδωκεν αὑτόν· δουλεύουσί γε μαστιγούμενοι καὶ στρεβλούμενοι. καλῶς Ὀλυνθίων ἐφείσατο τῶν τὸν μὲν [2] Λασθένη ἵππαρχον χειροτονησάντων, τὸν δὲ Ἀπολλωνίδην ἐκβαλόντων. μωρία καὶ κακία τὰ τοιαῦτα ἐλπίζειν, καὶ κακῶς [3] βουλευομένους καὶ μηδὲν ὧν προσήκει ποιεῖν ἐθέλοντας, ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων ἀκροωμένους, τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος, ὥστε μηδ' ἂν ὁτιοῦν ᾖ δεινὸν πείσεσθαι. Καὶ μὴν κἀκεῖνό γε αἰσχρόν, ὕστερόν ποτ' εἰπεῖν συμβάντος τινός, τίς γὰρ ἂν ᾠήθη ταῦτα γενέσθαι; νὴ τὸν Δία, ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι καὶ τὸ μὴ ποιῆσαι. πολλὰ ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι νῦν, ἃ τότ' εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκαστοι. ἀλλὰ τί τούτων ὄφελος αὐτοῖς; [4] ἕως ἂν σώζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ' ἄνδρα [5] ἑξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ' ἑκὼν μήτ' ἄκων μηδεὶς ἀνατρέψῃ, τοῦτο σκοπεῖσθαι· ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. καὶ ἡμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷοι, πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα κάλλιστον. Τί ποιῶμεν, πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσων κάθηται. ἐγὼ νὴ Δί' ἐρῶ, καὶ γράψω δέ, ὥστε, ἂν βούλησθε, χειροτονήσατε.

ιέ. Αὐτοὶ πρῶτον ἀμυνόμενοι καὶ παρασκευαζόμενοι, τριήρεσι καὶ χρήμασι καὶ στρατιώταις λέγω· καὶ γὰρ ἂν ἅπαντες δή που [6] δουλεύειν συγχωρήσωσιν οἱ ἄλλοι, [7] ἡμῖν γ' ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον· ταῦτα δὴ πάντα αὐτοὶ [8] παρεσκευασμένοι καὶ ποιήσαντες τοῖς Ἕλλησι φανερά, τοὺς ἄλλους ἤδη παρακαλῶμεν, καὶ τοὺς ταῦτα διδάξοντας ἐκπέμπωμεν πρέσβεις [9] πανταχοῖ, εἰς Πελοπόννησον, εἰς

[1] ὑμετέρους μὲν [2] Λασθένην [3] βουλευομένους αὐτοὺς καὶ [4] ἕως γὰρ ἂν
[5] ἐφεξῆς πρόθυμον [6] δουλεύειν δήπου [7] ὑμῖν [8] παρασκευασάμενοι [9] πανταχοῦ

Ὥστε μηδ' ἂν ὁτιοῦν ᾖ δεινὸν πείσεσθαι] Ὥστε τὴν πόλιν, τηλικαύτην τὸ μέγεθος οὖσαν, δύνασθαι μηδοτιοῦν δεινὸν πάσχειν, ἀλλ' ἔξω παντὸς κινδύνου εἶναι. IDEM.

Νὴ τὸν Δία] Hæc εἰρωνικῶς καὶ μιμητικῶς a Demosthene respondentur. IDEM.

Ναύτην] Pro ναύτας. Nec enim in nave singuli remiges sunt, ut gubernatores. IDEM.

Ἐρῶ καὶ γράψω] Referam et auctor ero. IDEM.

Ῥόδον, εἰς Χίον, ὡς βασιλέα λέγω—οὐδὲ γὰρ τῶν ἐκείνῳ συμφερόντων ἀφέστηκε τὸ μὴ τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι—ἵν' ἐὰν μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν κινδύνων καὶ τῶν ἀναλωμάτων, ἄν τι δέῃ, εἰ δὲ μή, χρόνους γε ἐμποιῆτε τοῖς πράγμασιν. ἐπειδὴ γάρ ἐστι πρὸς ἄνδρα καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ τοῦτ' ἄχρηστον, οὐδ' αἱ πέρυσι πρεσβεῖαι αἱ περὶ τὴν Πελοπόννησον ἐκεῖναι καὶ κατηγορίαι, ἃς ἐγὼ καὶ Πολύευκτος ὁ βέλτιστος ἐκεινοσὶ καὶ Ἡγήσιππος καὶ Κλειτόμαχος καὶ Λυκοῦργος καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν, καὶ ἐποιήσαμεν ἐπισχεῖν ἐκεῖνον καὶ μήτ' ἐπ' Ἀμβρακίαν ἐλθεῖν μήτ' ἐς Πελοπόννησον ὁρμῆσαι. οὐ μέντοι λέγω μηδὲν αὐτοὺς ὑπὲρ αὑτῶν ἀναγκαῖον ἐθέλοντας ποιεῖν τοὺς ἄλλους παρακαλεῖν· καὶ γὰρ εὔηθες τὰ οἰκεῖα αὐτοὺς προϊεμένους τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι, καὶ τὰ παρόντα περιορῶντας ὑπὲρ τῶν μελλόντων τοὺς ἄλλους φοβεῖν. οὐ λέγω ταῦτα, ἀλλὰ τοῖς μὲν ἐν Χεῤῥονήσῳ χρήματ' ἀποστέλλειν φημὶ δεῖν καὶ τἄλλα ὅσα ἀξιοῦσι ποιεῖν, αὐτοὺς δὲ παρασκευάζεσθαι καὶ πρώτους ἃ χρὴ ποιοῦντας, τότε καὶ τοὺς ἄλλους Ἕλληνας συγκαλεῖν, συνάγειν, διδάσκειν, νουθετεῖν· ταῦτ' ἐστὶ πόλεως ἀξίωμα ἐχούσης, ἡλίκον ὑμῖν ὑπάρχει. εἰ δ' οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν ἢ Μεγαρέας, ὑμεῖς δ' [1] ἀποδράσεσθαι τὰ πράγματα, οὐκ ὀρθῶς οἴεσθε· ἀγαπητὸν γάρ, ἂν αὐτοὶ σώζωνται τούτων

[1] ἀποδράσεσθε

ιέ. Οὐδὲ γὰρ τῶν ἐκείνῳ] Plutarchus indicat, Demosthenem fuisse suspectum, quasi largitionibus a rege Persarum, Philippi successus metuente, corruptus, Athenienses contra Macedonas concitaret. Sed fieri potuit, ut ideo Demosthenes Philippo se opponeret, quod, quo potentior, Persico imperio subacto, fieret, tanto magis in Græcos grassaturum, provideret: idque ipse comprobavit eventus: contra quam putavit Isocrates. Quanquam hujus fidelissimis consiliis neque Philippus, neque Græci paruerunt. Idem.

Ἐπειδὴ γάρ ἐστι πρὸς ἄνδρα] Conferas cum hoc loco Livii judicium de Macedonico regno, contra Romanam rempublicam bellum gesturo. *Quod Macedones unum Alexandrum habuissent multis casibus non solum obnoxium, sed etiam offerentem se. Romani multi fuissent Alexandro vel gloria vel rerum magnitudine pares, quorum suo quisque fato, sine publico discrimine, viveret moreretur que.* ix. 18. *Ex edit.* Stock.

Οὐδ' αἱ πέρυσι πρεσβεῖαι] Scilicet ἄχρηστοι ἐγένοντο. Wolf.

Ἡγήσιππος] Neque hunc, neque Clitomachum (quem infra memorat Demosthenes) recenset Plutarchus inter legatos, Demosthenis et Lycurgi socios. Forsan horum gloria collegas omnino obfuscavit. Cæterum hic Hegesippus auctor esse dicitur orationis de Haloneso, quam Demostheni quidam tribuunt. *Ex edit.* Stock.

Λυκοῦργος] Erat ex decem oratoribus, quorum vitæ extant a Plutarcho conscriptæ. *Ibid.*

ἕκαστοι. ἀλλ' ὑμῖν τοῦτο πρακτέον. ὑμῖν οἱ πρόγονοι τοῦτο τὸ γέρας ἐκτήσαντο καὶ κατέλιπον μετὰ πολλῶν καὶ καλῶν καὶ μεγάλων κινδύνων. εἰ δ' ὃ βούλεται ζητῶν ἕκαστος καθεδεῖται, καὶ ὅπως μηδὲν αὐτὸς [1] ποιήσει σκοπῶν, πρῶτον μὲν οὐ μή ποθ' εὕρῃ τοὺς ποιήσοντας, ἔπειτα δέδοικα, ὅπως μὴ πάνθ' [2] ἅμα, ὅσα οὐ βουλόμεθα, ποιεῖν ἡμῖν ἀνάγκη γενήσεται. [3] [εἰ γὰρ ἦσαν, εὕρηντ' ἂν πάλαι ἕνεκά γε τοῦ μηδὲν ἡμᾶς αὐτοὺς ποιεῖν ἐθέλειν· ἀλλ' οὐκ εἰσίν.]

ιϛ'. Ἐγὼ μὲν δὴ ταῦτα λέγω, ταῦτα γράφω· καὶ οἴομαι καὶ νῦν ἔτι ἐπανορθωθῆναι ἂν τὰ πράγματα τούτων γιγνομένων. εἰ δέ τις ἔχει τούτων τι βέλτιον, λεγέτω καὶ συμβουλευέτω. ὅ τι δ' ὑμῖν [4] δόξει, τοῦτ', ὦ πάντες θεοί, συνενέγκοι.

[1] ποιήσῃ [2] Deest ἅμα [3] Absunt unci. [4] δόξειε

ιϛ'. Τούτων τι βελτίω] Κατά τι βελτίω. Sed malim τούτων τι βέλτιον. WOLF.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΤΕΤΑΡΤΟΥ ΛΟΓΟΥ.

ΚΑΙ οὗτος, τὴν αὐτὴν ὑπόθεσιν ἔχει τῷ φθάνοντι· καὶ πλέον οὐδὲν, οὔτε ἴδιον, πλὴν τὸ περὶ τῆς ὁμονοίας πολίτευμα· διαφερομένων γὰρ τῶν πλουσίων πρὸς τοὺς πένητας, ὁ Δημοσθένης καταπαύειν πειρᾶται τὴν στάσιν, τῷ μὲν δήμῳ παραινῶν, μὴ δημεύειν τὰς τῶν πλουσίων οὐσίας· τοῖς δὲ πλουσίοις, μὴ φθονεῖν τοῖς ἀπόροις τοῦ δημοσίου λήμματος. πείθει δὲ τοὺς Ἀθηναίους, καὶ πρὸς τὸν Περσῶν βασιλέα περὶ συμμαχίας πρεσβεύεσθαι.

Πολίτευμα] *Urbanum* sive *domesticum consilium.* Verbalia in *μα* fere significant unum aliquod factum aut unam rem, ut στρατήγημα, κατόρθωμα, πανούργημα, ἀνδραγάθημα, ποίημα. WOLF.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Ol. 109, 4.

α. ΚΑΙ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ αὐτῶν εἰπεῖν, ἃ νομίζω συμφέρειν· οὐκ ὀλίγων δ᾽ ὄντων ἁμαρτημάτων, οὐδ᾽ ἐκ μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν φαύλως ταῦτ᾽ ἔχει, οὐδέν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων [1] δυσκολώτατον εἰς τὸ παρὸν, ἢ ὅτι ταῖς γνώμαις ὑμεῖς ἀφεστήκατε τῶν πραγμάτων, καὶ τοσοῦτον χρόνον

[1] δυσκολώτερον

Καὶ σπουδαῖα] Σπουδῆς ἄξια, ut Isocrates de pace: ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε, ταῦτα μέγιστα φάσκειν εἶναι, καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύειν. WOLF.

Οὐδέν ἐστι τῶν πάντων δυσκολώτατον] Ἀντὶ τοῦ δυσκολώτερον, ἢ, οὕτω δύσκολον, ἢ, τοῦτο πάντων ἐστὶ τὸ δυσκολώτατον. IDEM.

Ὅτι ταῖς γνώμαις ἀφεστήκατε τῶν πραγμάτων] Ὅτι οὐ σπουδάζετε περὶ τὰ πράγματα. Supra ἀπηρτημένοι καὶ ταῖς γνώμαις καὶ ταῖς παρασκευαῖς. IDEM.

σπουδάζετε, ὅσον ἂν κάθησθε ἀκούοντες ἢν προσαγγελθῇ τι νεώτερον. εἶτ᾽ ἀπελθὼν ἕκαστος ὑμῶν, οὐ μόνον οὐδὲν φροντίζει περὶ αὐτῶν, ἀλλ᾽ οὐδὲ μέμνηται.

β΄. Ἡ μὲν οὖν ἀσέλγεια καὶ πλεονεξία, ᾗ πρὸς ἅπαντας ἀνθρώπους Φίλιππος [1] χρῆται, τοσαύτη τὸ πλῆθος, [2] ὅσην ἀκούετε. ὅτι δ᾽ οὐκ ἔνι ταύτης ἐκεῖνον ἐπισχεῖν ἐκ λόγου καὶ δημηγορίας, οὐδεὶς ἀγνοεῖ δήπου· καὶ γὰρ εἰ μηδ᾽ ἀφ᾽ ἑνὸς τῶν ἄλλων τοῦτο μαθεῖν δύναιτό τις, ὡδὶ λογισάσθω. ἡμεῖς οὐδαμοῦ πώποτε, ὅπου περὶ τῶν δικαίων εἰπεῖν ἐδέησεν, ἡττήθημεν, οὐδ᾽ ἀδικεῖν ἐδόξαμεν, ἀλλὰ πάντων πανταχοῦ κρατοῦμεν, καὶ περίεσμεν τῷ λόγῳ· ἆρ᾽ οὖν διὰ ταῦτ᾽ ἐκείνῳ φαύλως ἔχει τὰ πράγματα, ἢ τῇ πόλει καλῶς; πολλοῦ γε καὶ δεῖ· ἐπειδὰν γὰρ, ὁ μὲν, λαβὼν μετὰ ταῦτα βαδίζῃ τὰ ὅπλα, πᾶσι τοῖς οὖσιν ἑτοίμως κινδυνεύσων· ἡμεῖς δὲ καθώμεθα, οἱ μὲν, εἰρηκότες τὰ δίκαια, οἱ δ᾽, ἀκηκοότες, εἰκότως οἶμαι τὰ ἔργα τοὺς λόγους παρέρχεται· καὶ προσέχουσιν ἅπαντες, οὐχ οἷς εἴπομέν ποθ᾽ ἡμεῖς δικαίοις, ἢ νῦν ἂν εἴποιμεν, ἀλλ᾽ οἷς ποιοῦμεν. ἔστι δὲ ταῦτα οὐδένα τῶν ἀδικουμένων σώζειν δυνάμενα· οὐδὲν γὰρ δεῖ πλείω περὶ αὐτῶν λέγειν.

γ΄. Τοιγάρτοι διεστηκότων εἰς δύο μέρη ταῦτα τῶν ἐν ταῖς πόλεσι, τῶν μὲν, εἰς τὸ μήτε ἄρχειν βίᾳ βούλεσθαι μηδενὸς, μήτε δουλεύειν ἄλλῳ, ἀλλ᾽ ἐν ἐλευθερίᾳ καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι· τῶν δ᾽, εἰς τὸ ἄρχειν μὲν τῶν πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ᾽ ὑπακούειν, δι᾽ ὅτου πότ᾽ ἂν οἴωνται τοῦτο δυνήσεσθαι ποιῆσαι· οἱ τῆς ἐκείνου προαιρέσεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, κεκρα-

[1] Φίλιππος ἀεὶ χρῆται

[2] τὸ πλῆθός ἐστιν, ὅσην

β΄. Ὅτι δ᾽ οὐκ ἔνι] Οὐκ ἔνεστιν, οὐχ οἷόν τ᾽ ἐστί τινα ἐπισχεῖν Φίλιππον ταύτης τῆς πλεονεξίας. Idem.

Ἐκ λόγου] Διὰ λόγου, λόγῳ. Idem.

Μηδ᾽ ἀφ᾽ ἑνὸς τῶν ἄλλων] Ἀπὸ μηδενὸς τῶν ἄλλων. Idem.

Περίεσμεν τῷ λόγῳ] Τῇ δικαιολογίᾳ, τῷ δοκεῖν δικαιότερα λέγειν τῶν ἄλλων· ἀλλὰ μὴ, τῇ δεινότητι τῶν λόγων. Nam hic non de eloquentia præcipue agitur: sed de æquitate causæ et jure reipublicæ. Idem.

Πᾶσι τοῖς οὖσιν ἑτοίμως κινδυνεύσων] In belli discrimen omnes fortunas et opes suas adducere nihil dubitans. Idem.

Ἔστι δὲ ταῦτα δυνάμενα] Ἀντὶ τοῦ δύναται ταῦτα μηδένα σώζειν. Sic γ΄. (β΄.) ὀλ. ἀλλ᾽ ἔστι ταῦτα τὴν ῥαθυμίαν ἑκάστου ὑμῶν ἐπαυξάνοντα. Sic in Evangelio: ἦν δὲ περιπατῶν Ὁ ἸΗΣΟΥΣ παρὰ τὴν θάλατταν. Sic et Cicero in Oratore: *Est (ut scis) quasi in extrema pagina Phædri his ipsis verbis loquens Socrates:* etsi τὸ *est* ἀντὶ τοῦ πεποίηται ἢ εἰσάγεται capi potest. Idem.

Γὰρ] *Atenim, sedenim.* Deinde τοιγάρτοι indicat transitionem abruptam ab uno ad aliud. Auger.

τήκασι πανταχοῦ· καὶ πόλις δημοκρατουμένη βεβαίως, οὐκ οἶδ' εἴ τις ἐστὶ τῶν πασῶν λοιπὴ, πλὴν ἡ ὑμετέρα· καὶ κεκρατήκασιν οἱ δι' ἐκείνου τὰς πολιτείας ποιούμενοι πᾶσιν ὅσοις πράγματα πράττεται· πρώτῳ μὲν πάντων, καὶ πλείστῳ, τῷ τοὺς βουλομένους χρήματα λαμβάνειν, ἔχειν τὸν δώσοντα ὑπὲρ αὐτῶν· δευτέρῳ δὲ, καὶ οὐδὲν ἐλάττονι τούτου, τῷ δύναμιν τὴν καταστρεψομένην τοὺς ἐναντιουμένους αὐτοῖς, ἐν οἷς ἂν αἰτήσωσι χρόνοις παρεῖναι. ἡμεῖς δὲ οὐ μόνον τούτοις ὑπολειπόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὐδ' ἀνεγερθῆναι δυνάμεθα· ἀλλὰ μανδραγόραν πεπωκόσιν ἤ τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις· εἶτ' οἶμαι·—δεῖ γὰρ, ὡς ἐγὼ κρίνω, λέγειν τἀληθῆ·—οὕτω διαβεβλήμεθα καὶ καταπεφρονήμεθα ἐκ τούτων, ὥστε τῶν ἐν αὐτῷ τῷ κινδυνεύειν ὄντων, οἱ μὲν, ὑπὲρ τῆς ἡγεμονίας ἡμῖν ἀντιλέγουσιν· οἱ δ', ὑπὲρ τοῦ ποῦ συνεδρεύσουσι· τινὲς δὲ καὶ καθ' ἑαυτοὺς ἀμύνεσθαι μᾶλλον, ἢ μεθ' ὑμῶν ἐγνώκασι. τοῦ χάριν δὴ ταῦτα λέγω καὶ διεξέρχομαι; οὐ γὰρ ἀπεχθάνεσθαι μὰ τὸν Δία καὶ πάντας τοὺς θεοὺς προαιροῦμαι, ἀλλ' ἵνα ὑμῶν ἕκαστος, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο γνῷ καὶ ἴδῃ, ὅτι ἡ καθ' ἡμέραν ῥᾳστώνη

γ'. Τῷ τοὺς βουλομένους χρήματα λαμβάνειν, ἔχειν τὸν δώσοντα ὑπὲρ αὐτῶν] Οἱ βουλόμενοι λαμβάνειν χρήματα sunt proditores urbium: ὁ δώσων est Philippus: τὸ ὑπὲρ αὐτῶν intelligatur de iis, qui regnum affectant. Wolf.

Μανδραγόραν πεπωκόσιν] Ὁ μανδραγόρας, sicut ὁ χάρτης, ὁ καταράκτης, ὁ μαργαρίτης, apud Latinos in fœmineum genus transeunt. Descriptionem vide in Dioscoride Matthioli. Idem.

Ἀλλὰ μανδραγόραν πεπωκόσιν, ἤ τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις] Id est, *similes videmur his, qui Mandragoram biberunt, aut aliud simile pharmacum.* Inest autem somnifica vis mandragoræ, adeo ut enecet etiam largiore potu, teste Plinio lib. 25. cap. 11. Unde qui cessant in officio, dormitantque, multam bibisse Mandragoram dicuntur. *ERAS. Ex edit.* Wolf.

Ὥστε τῶν ἐν αὐτῷ τῷ κινδυνεύειν ὄντων] Fortassis ad Lacedæmonios hæc pertinent, quos oppugnaturus putabatur Philippus. Nam neque de Thebanis, neque de Thessalis, neque de Argivis, neque de Megalopolitis, de Megarensibus vero multo minus, οἵτινες οὔτε τρίτοι, οὔτε τέταρτοι, ἀλλ' οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ, intelligenda videntur. Sed historiæ fides sit penes auctorem: τὸ δὲ ἐν αὐτῷ τῷ κινδυνεύειν εἶναι, est *in ipso discrimine versari, periculo esse proximum.* Wolf.

Οἱ μὲν ὑπὲρ τῆς ἡγεμονίας—οἱ δ' ὑπὲρ τοῦ ποῦ συνεδρεύσουσι] Civitas, quæ inter Græcos habebatur primaria, ducem exercitui fœderato præbere solebat, et concilii locum aliis indicere. De hisce itaque, tanquam honoribus maximis, lites in bello Persico inter Athenienses et Spartanos ortas esse invenimus. *Ex edit.* Stock.

Ὑπὲρ τοῦ ποῦ συνεδρεύσουσι] *De concilii seu conventus loco,* id est, utrum ipsi Athenas, an nos alio una cum ipsis venire debeamus? Wolf.

Καθ' ἑαυτοὺς ἀμύνεσθαι μᾶλλον] Id est, μόνοι ἀμύνεσθαι, εἴτε Φίλιππον, εἴτε καὶ ἄλλους τινὰς, τοὺς πολεμοῦντας αὐτοῖς. Idem.

Ὅτι ἡ καθ' ἡμέραν ῥᾳστώνη] Sic Isocrates Nicocle: μηδενὸς ὀλιγωρεῖτε, μήτε καταφρονεῖτε τῶν προστεταγμένων· ὑπολαμβάνοντες, ὡς οὐ παρὰ ταῦτ' ἐστίν· ἀλλ' ὡς παρ' ἕκαστον τῶν μερῶν ἢ καλῶς ἢ κακῶς ἕξον τὸ σύμπαν. Idem.

καὶ ῥαθυμία, ὥσπερ [1] τοῖς ἰδίοις βίοις, οὕτω κἂν ταῖς πόλεσιν, οὐκ [2] ἀφ' ἑκάστου τῶν ἀμελουμένων ποιεῖ τὴν αἴσθησιν εὐθέως, ἀλλ' ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀπαντᾷ. ὁρᾶτε Σέῤῥιον καὶ Δορίσκον· ταῦτα γὰρ πρῶτον ὠλιγωρήθη μετὰ τὴν εἰρήνην, ἃ πολλοῖς ὑμῶν οὐδὲ γνώριμά ἐστιν ἴσως. ταῦτα μέντοι τότε ἐαθέντα καὶ παροφθέντα, ἀπώλεσε Θρᾴκην καὶ Κερσοβλέπτην σύμμαχον ὄντα [3] ὑμῶν. πάλιν ταῦτ' ἀμελούμενα ἰδὼν, καὶ οὐδεμιᾶς βοηθείας τυγχάνοντα παρ' ὑμῶν, κατέσκαπτε Πορθμὸν, καὶ τυραννίδα ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπετείχισεν ὑμῖν ἐν τῇ Εὐβοίᾳ. ταύτης ὀλιγωρουμένης, Μέγαρα ἑάλω παρὰ μικρόν. οὐδὲν ἐφροντίσατε, οὐδ' ἐπεστράφητε ἐπ' οὐδενὶ τούτων, οὐδ' ἐνεδείξασθε τοῦθ', ὅτι οὐκ ἐπιτρέψετε ταῦτα ποιεῖν αὐτῷ. Ἀντρῶνας ἐπρίατο· καὶ μετ' οὐ πολὺν χρόνον, τὰ ἐν Ὠρεῷ πράγματ' εἰλήφει. πολλὰ δὲ καὶ παραλείπω, Φερὰς, τὴν ἐπ' Ἀμβρακίαν ὁδὸν, τὰς ἐν Ἤλιδι σφαγὰς, ἄλλα μυρία· οὐ γὰρ ἵν' ἐξαριθμήσωμαι τοὺς βε-

[1] ὥσπερ ἐν τοῖς [2] ἐφ' [3] ὄντα ἕνα ὑμῶν

Σέῤῥιον καὶ Δορίσκον] Vide supra Not. ad Phil. Γ. δ΄. Stock.

Καὶ Κερσοβλέπτην σύμμαχον ὄντα ὑμῶν] De hoc contentiones sunt inter Æschinem et Demosthenem, utrius ille culpa sit fœdere Philippico exclusus. Vide τοὺς ἀντιπάλους λόγους, καὶ τοὺς περὶ τῆς παραπρεσβείας. Wolf.

Κερσοβλέπτην] Supra Not. ad Orat. de Cherson. §. ιέ. Stock.

Κατέσκαπτε Πορθμὸν] *Sinum, fretum*: hic proprium nomen videtur munitionis alicujus ad Chalcidensem Euripum. Wolf.

Ἀπαντικρὺ τῆς Ἀττικῆς] Nempe in Eretria, ubi Clitarchum tyrannum constituerat. Porthmus erat oppidum maritimum Eubœæ in ditione Eretriensium. *Ex edit.* Stock.

Μέγαρα ἑάλω] Leland. iv. §. 1. p. 110. Stock.

Ἀντρῶνας ἐπρίατο] Διὰ προδοσίας ἐκτήσατο. τὸ πρίασθαι, ὠνεῖσθαι, πωλεῖν, πιπράσκειν, προπίνειν, προδοτικὰ καὶ δωροδόκα ῥήματ' ἐστὶ παρὰ Δημοσθένει. Stephanus Ἀντρῶνα ἑνικῶς ponit πόλιν Θετταλίας, διὰ τὸ τοὺς τόπους ἀντρώδεις εἶναι, ἐξ οὗ καὶ παροιμία, ἀντρώνιος ὄνος. Wolf.

Ὠρεῷ] Vide tertiam Phil. Stock.

Φέῤῥας] Alii uno ρ Φερὰς ὀξυτόνως. Unde φεραῖος potius, quam φεῤῥαῖος, apud Stephanum. et Homerus [B. 711.] οἵ τε Φερὰς ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην. Videntur Græci librarii τὸ ρ ut Germanici scribæ τὸ n solent, sæpe sine causa geminare. Wolf.

Φερὰς] Hanc Thessaliæ urbem Philippus, expulso tyranno Lycophronte, præsidio tenuit, tranquillitatis publicæ tuendæ causa, ut ipse dixit; re autem vera, quo mobiles Thessalorum animos stabili jugo servitutis constringeret. Lel. ii. §. 2. p. 154. Stock.

Τὴν ἐπ' Ἀμβρακίαν ὁδὸν] Hanc ejus expeditionem legatione Peloponnensi fuisse impeditam, in fine 3. Philippicæ scripsit. De Elæis cædibus credamus Demostheni, ut et de aliis minutis et parum celebratis aut amissis historiis. Wolf.

Τὰς ἐν Ἤλιδι σφαγὰς] Philippus, utpote Amphictyonum princeps, sacrilegos Phocenses proscripserat. Horum quidam, qui in Cretam una cum imperatore Phaleco perfugerant, adscitis sibi nonnullis ab Elide exulibus, in Peloponnesum impetum fecerunt: dumque agros vastarent, aggressi sunt eos Elei Arcadesque, et in deditionem acceptos ad unum omnes trucidarunt, uti jusserat decretum Amphictyonicum. Hoc est, quod Demosthenes vocat τὰς ἐν Ἤλιδι σφαγὰς, cujusque invidiam omnem in Philippum transfert. *Ex edit.* Stock.

βιασμένους, καὶ τοὺς ἠδικημένους ὑπὸ Φιλίππου, ταῦτα διεξῆλθον· ἀλλ᾽ ἵνα τοῦθ᾽ ὑμῖν ἐπιδείξω, ὅτι οὐ στήσεται πάντας ἀνθρώπους ἀδικῶν, τάδ᾽ ὑφ᾽ αὑτῷ ποιούμενος Φίλιππος, εἰ μή τις αὐτὸν κωλύσει.

δ΄. Εἰσὶ δέ τινες οἳ πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν πραγμάτων λόγους, εὐθέως εἰώθασιν ἐρωτᾷν, τί οὖν χρὴ ποιεῖν· οὐχ ἵνα ἀκούσαντες ποιήσωσι· χρησιμώτατοι γὰρ ἂν ἦσαν ἁπάντων· ἀλλ᾽ ἵνα τοῦ λέγοντος ἀπαλλαγῶσι. δεῖ δ᾽ ὅμως εἰπεῖν, ὅ, τι χρὴ ποιεῖν. πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο παρ᾽ ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ, καὶ τὴν εἰρήνην λέλυκε· καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πόλεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει θεοῖς, οἵπερ αὐτὸν ἐξολέσειαν· οὐδενὶ μέντοι μᾶλλον, ἢ τῇ πολιτείᾳ πολεμεῖ· οὐδ᾽ ἐπιβουλεύει καὶ σκοπεῖ μᾶλλον οὐδὲν τῶν ἁπάντων, ἢ ὅπως ταύτην καταλύσῃ. καὶ τοῦτ᾽ ἐξ ἀνάγκης τρόπον τινὰ νῦν γε δὴ ποιεῖ· λογίζεσθε γάρ. ἄρχειν βούλεται. τούτου δ᾽ ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πολὺν ἤδη χρόνον· καὶ τοῦτ᾽ αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει χρῆσθαι, τούτοις ἅπαντα τἄλλα βεβαίως κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτίδαιαν προεῖτο, οὐδ᾽ ἂν ἐν Μακεδονίᾳ μένειν ἀσφαλῶς ἡγεῖτο. ἀμφότερα οὖν οἶδε, καὶ αὑτὸν ὑμῖν ἐπιβουλεύοντα, καὶ ὑμᾶς αἰσθανομένους. εὖ φρονεῖν δ᾽ ὑμᾶς ὑπολαμβάνων, δικαίως μισεῖν αὑτὸν ἡγεῖται. πρὸς δὲ τούτοις τοσούτοις οὖσιν, οἶδεν ἀκριβῶς, ὅτι οὐδὲ ἂν ἁπάντων τῶν ἄλλων γένηται κύριος, οὐδέν ἐστ᾽ αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν ὑμεῖς δημοκρατῆσθε. ἀλλ᾽ ἐάν ποτε συμβῇ τι πταῖσμα, —πολλὰ δ᾽ ἂν γένοιτο ἀνθρώπῳ,—ἥξει πάντα τὰ νῦν βεβιασμένα, καὶ καταφεύξεται πρὸς ὑμᾶς· ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες, ἀλλ᾽ ἕτερον λαβεῖν κωλῦσαι, καὶ τὸν ἔχοντ᾽ ἀφε-

Ὅτι οὐ στήσεται πάντας ἀνθρώπους ἀδικῶν] *Non stabit*, ἀντὶ τοῦ, οὐ παύσεται, ἀλλὰ διατελέσει ἀδικῶν. Wolf.

δ΄. Βεβαίως γνῶναι ὅτι τῇ πόλει Φίλιππος] Ex oratione περὶ τῶν ἐν χεῤῥονήσῳ hæc sunt repetita. Sic non dubitavit etiam Isocrates iisdem sententiis atque verbis pluribus in locis uti. Idem.

Γνῶναι] Sub. χρὴ ex præcedenti. Auger.

Τῇ πολιτείᾳ] Εἰδικῶς, τῇ δημοκρατίᾳ. Wolf.

λέσθαι, καὶ ὅλως ἐνοχλῆσαι τοῖς ἄρχειν βουλομένοις, καὶ πάντας ἀνθρώπους εἰς ἐλευθερίαν ἐξελέσθαι δεινοί. [1] οὔκουν βούλεται τοῖς αὑτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐ κακῶς, οὐδ' ἀργῶς ταῦτα λογιζόμενος. [2] πρῶτον μὲν δὴ, τούτου δεῖ χάριν ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον· δεύτερον δὲ, εἰδέναι σαφῶς, ὅτι πάνθ' ὅσα πραγματευεται καὶ κατασκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν παρασκευάζεται· οὐ γὰρ οὕτως εὐήθης ἐστὶν ὑμῶν οὐδεὶς, ὥσθ' ὑπολαμβάνειν τὸν Φίλιππον, τῶν μὲν ἐν Θρᾴκῃ κακῶν·—τί γὰρ ἂν ἄλλό τις εἴποι, Δρογγίλον, καὶ Καβύλην, καὶ Μάστειραν, καὶ ἃ νῦν φασὶν αὐτὸν ἔχειν—· τούτων μὲν ἐπιθυμεῖν, καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν, καὶ πόνους καὶ χειμῶνας καὶ τοὺς ἐσχάτους κινδύνους ὑπομένειν· τῶν δ' Ἀθήνησι λιμένων, καὶ νεωρίων, καὶ τριηρῶν, καὶ τῶν ἔργων τῶν ἀργυρείων, καὶ τοσούτων προσόδων, καὶ [3] τόπου, καὶ δόξης, ὧν μήτ' ἐκείνῳ, μήτ' ἄλλῳ γένοιτο μηδενὶ χειρωσαμένῳ τὴν πόλιν τὴν ἡμετέραν, κυριεῦσαι, οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν ὑμᾶς ἐάσειν ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς θρακίοις σιροῖς, ἐν τῷ βαράθρῳ χειμάζειν. οὐκ ἔστι ταῦτα, ἀλλὰ κἀκεῖνα ὑπὲρ τοῦ τούτων γενέσθαι κύριος, καὶ [4] τὰ ἄλλα πάντα πραγματεύεται.

έ. Ταῦτα τοίνυν ἕκαστον εἰδότα καὶ γιγνώσκοντα παρ'

[1] οὐκ οὖν [2] πρῶτον μὲν δὴ τοῦτο δεῖ· ἐχθρὸν [3] τόπων [4] τἄλλα

Οὔκουν βούλεται τοῖς αὑτοῦ καιροῖς] Eandem sententiam in Oratione περὶ τῶν ἐν χεῤῥονήσ. sic extulit, οὔκουν βούλεται τοῖς ἑαυτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐδὲ πολλοῦ δεῖ· οὐ κακῶς οὐδ' ἀργῶς ταῦτα λογιζόμενος. Proinde hoc agit præcipue Philippus, ne status popularis libertate frui vobis liceat. Quam libertatem temporibus suis, occasionibusque rerum commode gerendarum imminere ille minime vult. id inquam ut velit longe abest. *BUDÆUS. Ex edit.* Wolf.

Τοῖς αὑτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν] Ἔφεδροι, auctore Luciano, dicebantur athletæ, qui integri succedebant in Olympico certamine defatigatis. Hinc ducta est hæc metaphora significans, ὅτι οἱ Ἀθηναῖοι καταγωνίζεσθαι ἐπιχειρήσουσι Φίλιππον δυστυχήσαντα.—Wolf.

Ὅτι πάνθ' ὅσα πραγματεύεται] Id est, *quæcumque struit, molitur.* Significat enim πραγματεύομαι præter notam significationem *satagere circa aliquid et occupari.* Cic. *pertractare* appellat, id est, *omnia tentare.* Sic alibi Demosthenes, ὁ δὲ τοῦτο ἐκ παντὸς τοῦ χρόνου μάλιστα ἐπραγματεύετο, id est, *omni ope efficere contendebat, laborabat, agebat ut efficeret. Ex edit.* Wolf.

Τῶν μὲν ἐν Θρᾴκῃ κακῶν, &c. τούτων μὲν] Τὸ τούτων κατὰ πλεονασμὸν inculcatum ob parenthesin. Wolf.

Δρογγίλον καὶ Καβύλην καὶ Μάστειραν] Vide Notas in orationem de Chersoneso, §. 11. Stock.

αὐτῷ, δεῖ μὰ Δί' οὐ γράψαι κελεύειν πόλεμον, τὸν τὰ βέλτιστα ἐπὶ πᾶσι δικαίοις συμβουλεύοντα· τοῦτο μὲν γάρ ἐστιν [1] ὅτῳ μὴ πολεμήσετε λαβεῖν οὐ βουλομένων, οὐχ ἃ τῇ πόλει συμφέρει πράττειν· ὁρᾶτε γάρ, εἰ δι' ἃ πρῶτα παρεσπόνδησε Φίλιππος, ἢ δεύτερα, ἢ τρίτα·—πολλὰ γάρ ἐστιν ἐφεξῆς—· ἔγραψέ τις αὐτῷ πολεμεῖν· ὁ δ', ὁμοίως ὥσπερ νῦν οὐ γράφοντος Ἀθηναίων οὐδενὸς πόλεμον, Καρδιανοῖς ἐβοήθει, οὐκ ἀνηρπασμένος ἂν ἦν ὁ ταῦτα γράψας, καὶ [2] διὰ τοῦτο ἅπαντες ᾐτιῶντο ἄν, αὐτὸν Καρδιανοῖς βεβοηθηκέναι; μὴ τοίνυν ζητεῖτε ὅντινα, ἀνθ' ὧν Φίλιππος ἐξαμαρτάνει, μισήσετε, καὶ τοῖς παρ' ἐκείνου μισθαρνοῦσι [3] διασπάσεσθαι παραβαλεῖτε· μηδ' αὐτοὶ χειροτονήσαντες πόλεμον, βούλεσθε παρ' ὑμῖν αὐτοῖς ἐρίζειν, εἰ δέον, ἢ μὴ δέον ἡμᾶς τοῦτο πεποιηκέναι. ἀλλ', ὃν ἐκεῖνος πολεμεῖ τρόπον, τοῦτον [4] ἀμύνεσθαι· τοῖς μὲν ἀμυνομένοις ἤδη, χρήματα καὶ τἄλλα ὧν ἂν δέωνται, διδόντες· αὐτοὶ δ' εἰσφέροντες, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατασκευαζόμενοι στράτευ-

[1] ὅτῳ πολεμήσετε λαβεῖν βουλομένων
[2] δι' αὐτό γε τοῦθ'
[3] διασπάσασθαι
[4] ἀμύνεσθε

ἑ. Τοῦτο μὲν γάρ ἐστιν ὅτῳ μὴ πολεμήσετε λαβεῖν οὐ βουλομένων] *Nam id quidem eorum est, qui, cum quo bellum non gerant, capere nolunt.* Felicianus τὸ μὴ et οὐ omittit. (Alterutra certe negatio, si non utraque, abundat.) *Nam id quidem eorum est, qui, cum quo bellum gerant, capere volunt*, id est: Ea re non aliud quæritis, nisi ut auctorem belli Philippo inferendi pro hoste habeatis. Sin ὅτῳ πολεμήσετε λαβεῖν οὐ βουλομένων: *Eorum est, qui, cum quo bellum gerant, capere nolint*, id est, tergiversantium et detrectantium bellum, est, jubere decerni, pace jam violata, Philippo bellum esse faciendum, qui jamdudum bellum gerit; id est: *Si vobis curæ esset respublica, et non magis propensi essetis ad calumniandos oratores: intelligeretis, non decernendum, sed gerendum esse bellum.* τὸ ὅτῳ capi potest τελικῶς, ἀντὶ τοῦ ἐφ' ᾧ, ἢ ἵνα μή. Ego verti: *Id enim eorum est, qui detrectandi belli causam quærunt: non qui ea, quæ sunt ex usu reipublicæ, agere decreverunt.* Quæ interpretatio si cui displicet, reponat: *est, cum quo bellum geratis, quærere:* quæ sententia magis consentit cum iis, quæ sequuntur. Wolf.

Εἰ Καρδιανοῖς ἐβοήθει] Ὑποθετικῶς hæc accipienda sunt omnia. Colligit enim e præsenti Atheniensium consuetudine, quid tum facturi fuissent. Idem.

Καρδιανοῖς ἐβοήθει] Vide Arg. Tour. in orationem de Chers. Stock.

Οὐκ ἀνηρπασμένος ἂν ἦν] Scilicet εἰς τὸ δεσμωτήριον, ἢ ἐκβληθεὶς τῆς ἐκκλησίας. Postea ἀνάρπαστος γέγονεν (pro quo alii legunt ἀνάσπαστος) utitur de eo satrapa, qui ad dicendam causam revocatur e provincia, aut fortasse captivus abducitur, et ad pœnam rapitur: quod et nomini et rei magis convenit. et apud Herodianum, τινὰς ἀναρπάστους ποιεῖν, *revocare e provincia.* Quod Suidas habet, οἱ ἀνάρπαστοι, οἱ ἀμύητοι, οἷς ὄργια καὶ τελεταὶ οὐκ ἐγένοντο, huic loco alienum est. Apud Plutarchum Ῥωμύλος ἀνηρπασμένος εἰς θεούς, *raptus ad Deos*, id est, ἀποθεωθείς, in bonam partem. Wolf.

Αὐτὸν] Nempe, Philippum. Auger.

Διασπάσασθαι (sic enim malo, quam διασπάσεσθαι.) παραβαλεῖτε] Ἵνα διασπάσωνται αὐτούς. Wolf.

Αὐτοὶ χειροτονήσαντες] Vult, ut ipsi Athenienses bellum decernant, idque ubi fecerint, ut ne semetipsos calumnientur, neque dubitent, quin recte fecerint. Idem.

Τοῖς μὲν ἀμυνομένοις ἤδη] Τοῖς ἐν Χερρονήσῳ. Idem.

μα, τριήρεις ταχείας, ἵππους, ἱππαγωγοὺς, καὶ τἄλλα ὅσα εἰς πόλεμον. ἐπεὶ νῦν γε γέλως ἐστὶν ὡς χρώμεθα τοῖς πράγμασι. καὶ Φίλιππον δὲ αὐτὸν [1] οἶμαι, οὐδὲν ἂν ἄλλο μὰ τοὺς θεοὺς εὔξασθαι ποιεῖν τὴν πόλιν, ἢ ταῦτα ἃ νῦν ποιεῖτε· ὑστερίζετε, ἀναλίσκετε· ὅτῳ παραδώσετε τὰ πράγματα, [2] ζητεῖτε· δυσχεραίνετε, ἀλλήλους αἰτιᾶσθε. ἀφ᾽ ὅτου δὲ ταῦτα γίνεται, ἐγὼ διδάξω, καὶ ὅπως παύσεται, λέξω.

ϛ'. Οὐδὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πραγμάτων ἐξ ἀρχῆς ἐνεστήσασθε, οὐδὲ κατεσκευάσασθε ὀρθῶς· ἀλλὰ τὸ συμβαῖνον ἀεὶ διώκετε· εἶτ᾽ ἐπειδὰν ὑστερίσητε, παύεσθε· ἕτερον πάλιν ἐὰν συμβῇ τι, παρασκευάζεσθε, καὶ θορυβεῖσθε. τὸ δ᾽ οὐχ οὕτως ἔχει· οὐκ ἔνεστι βοηθείαις χρωμένους οὐδὲν τῶν δεόντων πώποτε πρᾶξαι· ἀλλὰ κατασκευάσαντας δεῖ δύναμιν καὶ τροφὴν ταύτῃ πορίσαντας, καὶ ταμίας [3] δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν χρημάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι· οὕτω ποιήσαντας, τὸν μὲν τῶν χρημάτων λόγον, παρὰ τούτων λαμβάνειν· τὸν δὲ τῶν ἔργων, παρὰ τοῦ στρατηγοῦ· καὶ μηδεμίαν πρόφασιν τοῦ πλεῖν ἄλλοσε, ἢ πράττειν ἄλλό τι τῷ στρατηγῷ καταλείπειν. ἂν δ᾽ οὕτω ποιήσητε, καὶ τοῦτο [4] ἐθελήσητε, ὡς ἀληθῶς ἄγειν εἰρήνην δικαίαν, καὶ μένειν ἐπὶ τῆς αὑτοῦ Φίλιππον ἀναγκάσετε, ἢ πολεμήσετε ἐξ ἴσου· καὶ ἴσως ἂν ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, ὥσπερ ὑμεῖς νῦν πυνθάνεσθε, τί ποιεῖ Φίλιππος, καὶ ποῖ πορεύεται· οὕτως [5] ἐκεῖνος [6] φροντίσει, ποῖ ποτὲ ἡ τῆς πόλεως ἀπῆρκε δύναμις, καὶ ποῦ φανήσεται.

ζ'. Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς, καὶ πόνων πολλῶν, καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ· ἀλλ᾽ ἐὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα γενη-

[1] οἴομαι [2] [ζητεῖτε·] [3] καὶ δημοσίους [4] ἐθελήσητε ὡς ἀληθῶς, ἄγειν
[5] * οὕτως αὖ ἐκεῖνος [6] φροντίσαι

Ὅσα εἰς πόλεμον] Scilicet ἀναγκαῖά ἐστιν, ἢ ἀνήκει. Idem.

ϛ'. Τὸ δ᾽ οὐχ οὕτως ἔχει] Quid si ἔδει; Scilicet γενέσθαι. Aut certe ἀντὶ τοῦ, οὐ προσήκει ταῦθ᾽ οὕτω γίγνεσθαι. Idem.

Βοηθείαις χρωμένους] Vide Not. in Phil. I. §. ιά. Stock.

Φυλακὴν] Custodienda pecunia est, id est, providendum, ne duces aut quæstores ærarium depeculentur. Wolf.

Μηδεμίαν πρόφασιν τοῦ πλεῖν ἄλλοσε] Not. in Phil. I. §. θ'. Stock.

ζ'. Εἰ δέ τῳ δοκεῖ ταῦτα] Ἐκ τοῦ περὶ τῶν ἐν χεῤῥονήσῳ λόγου δεῦρο μετενηνεγμένα. Wolf.

σόμενα, ἐὰν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσιτελοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς [1] ἡμῖν θεῶν·—οὐ γὰρ ἀνθρώπων γε οὐδεὶς ἂν γένοιτο ἀξιόχρεως τηλικούτου πράγματος·—ὡς, ἐὰν ἄγηθ᾽ ἡσυχίαν, καὶ ἅπαντα πρόησθε, οὐκ ἐπ᾽ αὐτοὺς ὑμᾶς τελευτῶν ἐκεῖνος ἥξει, αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάντας τοὺς θεοὺς, καὶ ἀνάξιον ὑμῶν, καὶ τῶν ὑπαρχόντων τῇ πόλει, καὶ τῶν πεπραγμένων τοῖς προγόνοις, τῆς ἰδίας ῥαθυμίας ἕνεκα τοὺς ἄλλους Ἕλληνας ἅπαντας εἰς δουλείαν προέσθαι. καὶ ἔγωγε αὐτὸς τεθνάναι μᾶλλον ἂν ἢ ταῦτ᾽ εἰρηκέναι βουλοίμην. οὐ μὴν ἀλλ᾽ εἴ τις ἄλλος λέγει, καὶ ὑμᾶς πείθει, ἔστω· μὴ ἀμύνεσθε, ἅπαντα πρόεσθε· εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ, τοὐναντίον δὲ πρόϊσμεν ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθα ἐχθρῷ. τί ἀναδυόμεθα, ἢ τί μέλλομεν, ἢ πότε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δέοντα ποιεῖν ἐθελήσομεν; ὅταν νὴ Δί᾽ ἀνάγκη τις ᾖ; ἀλλ᾽ ἣν μὲν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, οὐ μόνον ἤδη πάρεστιν, ἀλλὰ καὶ πάλαι παρελήλυθε· τὴν δὲ τῶν δούλων, ἀπεύχεσθαι δήπου μὴ γενέσθαι δεῖ. διαφέρει δὲ τί; ὅτι ἐστὶν ἐλευθέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη, ἡ ὑπὲρ τῶν [2] γινομένων αἰσχύνη· καὶ μείζω ταύτης οὐκ οἶδα, ἥν τινα ἂν εἴποι τις· δούλῳ δὲ, πληγαὶ, καὶ ὁ τοῦ σώματος αἰκισμός· ἃ μήτε γένοιτο, οὔτε λέγειν ἄξιον.

η΄. Τὸ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ τοιαῦτα ὀκνηρῶς διακεῖσθαι, ἃ δεῖ τοῖς σώμασι καὶ τοῖς οὖσι λειτουργῆσαι ἕκαστον, ἐστὶ μὲν οὐκ ὀρθῶς ἔχον, οὐδὲ πολλοῦ δεῖ· οὐ μὴν ἀλλ᾽ ἔχει γέ τινα πρόφασιν ὅμως. τὸ δὲ μηδ᾽ ὅσα ἀκοῦσαι δεῖ, μηδ᾽ ὅσα βουλεύσασθαι προσήκει, μηδὲ ταῦτ᾽ ἐθέλειν ἀκούειν, τοῦτ᾽ ἤδη πᾶσαν ἐπιδέχεται κατηγορίαν. ὑμεῖς τοίνυν οὔτ᾽ ἀκούειν πρὶν ἂν ὥσπερ νῦν αὐτὰ παρῇ τὰ πράγματα, οὔτε βουλεύεσθαι περὶ οὐδενὸς εἰώθατε ἐφ᾽ ἡσυχίας· ἀλλ᾽ ὅταν μὲν ἐκεῖνος παρασκευάζηται ἐφ᾽ ὑμᾶς, ἀμελήσαντες τοῦ ποιεῖν τοῦτο καὶ ἀντιπαρασκευάζεσθαι ῥαθυμεῖτε· καὶ ἐάν τι λέγῃ τις, ἐκβάλλετε. ἐπει-

[1] ὑμῖν [2] γιγνομένων

η΄. Τὸ] Sub. ἐπιτήδειον, vel aliud quid. Auger.

δὰν δὲ ἀπολωλὸς ἢ πολιορκούμενόν τι πύθησθε, τηνικαῦτ' ἀκροᾶσθε καὶ παρασκευάζεσθε. ἦν δ' ἀκηκοέναι μὲν καὶ βεβουλεῦσθαι τότε καιρὸς ὅθ' ὑμεῖς οὐκ ἠθελήσατε· πράττειν δὲ καὶ χρῆσθαι τοῖς παρεσκευασμένοις νῦν ἡνίκ' ἀκούετε. τοιγαροῦν ἐκ τῶν τοιούτων ἐθῶν, μόνοι τῶν πάντων ἀνθρώπων ὑμεῖς τοὐναντίον τοῖς ἄλλοις ποιεῖτε· οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι, πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι· ὑμεῖς δὲ, μετὰ τὰ πράγματα. ὃ δὴ λοιπόν ἐστι, καὶ πάλαι μὲν ἔδει, [1] διαφέρει δὲ οὐδὲ νῦν, τοῦτ' ἐρῶ.

θ'. Οὐδενὸς τῶν [2] πάντων οὕτως ὡς χρημάτων δεῖ τῇ πόλει πρὸς τὰ νῦν ἐπιόντα πράγματα. συμβέβηκε δ' εὐτυχήματα ἀπὸ ταὐτομάτου, οἷς ἂν χρησώμεθα ὀρθῶς, ἴσως ἂν γένοιτο τὰ δέοντα· πρῶτον μὲν γὰρ, οἷς βασιλεὺς πιστεύει, καὶ εὐεργέτας ὑπείληφεν αὐτοῦ, οὗτοι μισοῦσι καὶ πολεμοῦσι Φιλίππῳ· ἔπειθ', ὁ πράττων καὶ συνειδὼς [3] πάνθ' ὅσα Φίλιππος κατὰ βασιλέως παρασκευάζεται, οὗτος ἀνάρπαστος γέγονε, καὶ πάσας τὰς πράξεις βασιλεὺς οὐχ ἡμῶν κατηγορούντων ἀκούσεται, οὓς ὑπὲρ τοῦ συμφέροντος ἂν ἡγήσαιτο τοῦ ἰδίου λέγειν, ἀλλὰ τοῦ πράξαντος αὐτοῦ καὶ διοικοῦντος· ὥστ' εἶναι πιστὰς τὰς κατηγορίας, καὶ λοιπὸν λόγον εἶναι τοῖς παρ' ὑμῶν πρέσβεσιν, ὃν βασιλεὺς ἥδιστα ἂν [4] ἀκούσαι, ὡς τὸν ἀμφοτέρους

[1] διαφεύγει [2] ἁπάντων [3] ἅπανθ' [4] ἀκούσαιτο

Διαφέρει δὲ οὐδὲ νῦν] Intelligo *nihil autem interest etiam nunc fieri*, i. e. potest etiam nunc fieri. Reiskius prætulit διαφεύγει, et sic interpretatur, *ne nunc quidem effugit*, i. e. ne nunc quidem fieri negatum, neque serum est. IDEM.

θ'. Οἷς βασιλεὺς πιστεύει] Thebanos innuit, qui Artaxerxi Ocho egregiam operam navarant in obsidione Pelusii, urbis Ægyptiacæ. Causas odii Thebanorum in Philippum jam didicimus in oratione præcedente. Echinum nempe iis eripuerat, quod haud æquo animo ferre poterant. *Ex edit.* STOCK.

Οὗτοι μισοῦσι καὶ πολεμοῦσι Φιλίππῳ] Observa diversæ constructionis verba. WOLF.

Οὗτος ἀνάρπαστος γέγονε] Spectat hoc Eunuchum Hermiam, Atarnæ Mysiæ urbis præfectum, quicum Philippus consilia communicaverat de Asia bello petenda. Hunc Mentor Rhodius, ad colloquium invitatum, in vincula conjecit, et ad Artaxerxem deduxit. *Ex edit.* STOCK.

Οὗτος ἀνάρπαστος γέγονε] Budæus legit, οὗτος ἀνάσπαστος γέγονε, hoc est, quæstori suo eunucho rex successorem misit. ἀνάσπαστος enim dicitur, *cui successor mittitur, qui revocatur e provincia.* et ita legit interpres, ταμίαν τὸν εὐνοῦχον ἀνάσπαστον ἐποιήσατο ὁ βασιλεὺς, μαθὼν αὐτὸν συμπράττειν Φιλίππῳ. In impressis legitur ἀνάρπαστον, non magno errore. Sunt enim ἀνάρπαστοι, *qui de medio tolluntur, et qui sic revocantur e provinciis.* Herod. lib. 3. πλείστους γοῦν τῶν ἔθνη καὶ στρατόπεδα πεπιστευμένων, μετὰ ὑπατείας τιμὴν, ἢ δόξαν ἐπὶ τροπαίοις προσγενομένην ἐκ μικρᾶς καὶ εὐτελοῦς διαβολῆς ἀναρπάστους ἐποίει, hoc est, *rapi ad se jubebat abrogato imperio, &c.* *Ex edit.* WOLF.

ἀδικοῦντα κοινῇ τιμωρήσασθαι δεῖ. καὶ ὅτι πολὺ τῷ βασιλεῖ φοβερώτερός ἐσθ' ὁ Φίλιππος, ἂν [1] πρότερος ἡμῖν ἐπίθηται· εἰ γὰρ ἐγκαταλειπόμενοί τι πεισόμεθα ἡμεῖς, ἀδεῶς ἐπ' ἐκεῖνον ἤδη πορεύσεται. ὑπὲρ δὴ τούτων ἁπάντων, [2] οἶμαι δεῖν ὑμᾶς πρεσβείαν ἐκπέμπειν, ἥτις τῷ βασιλεῖ διαλέξεται· καὶ τὴν [3] ἀβελτηρίαν ἀποθέσθαι, δι' ἣν πολλάκις ἠλαττώθητε. [4] καὶ δὴ βάρβαρος καὶ κοινὸς ἅπασιν ἐχθρὸς, καὶ ἅπαντα τὰ τοιαῦτα· ἐγὼ γὰρ, ὅταν [5] ἴδω τὸν μὲν ἐν Σούσοις καὶ ἐν Ἐκβατάνοις δεδοικότα καὶ κακόνουν εἶναι τῇ πόλει φάσκοντα, ὃς καὶ πρότερον συνεπηνώρθωσε τὰ τῆς πόλεως πράγματα, καὶ νῦν [6] ἐπηγγέλετο, (εἰ δὲ μὴ [7] ἐνεδέχεσθ' ὑμεῖς, ἀλλ' [8] ἀπεψηφίσασθε, οὐ τά γε ἐκείνου αἴτια.) ὑπὲρ δὲ τοῦ ἐπὶ ταῖς θύραις ἐγγὺς ουτωσὶ, ἐν μέσῃ τῇ Ἑλλάδι αὐξανομένου λῃστοῦ τῶν Ἑλλήνων, ἄλλό τι λέγοντα—θαυμάζω, καὶ δέδοικα τοῦτον ὅστις ἂν ᾖ πότ' ἔγωγ', ἐπειδὴ οὐχ οὗτος Φίλιππον.

ι. Ἔστι τοίνυν τὶ πρᾶγμα καὶ ἄλλο ὃ λυμαίνεται τὴν

[1] προτέροις [2] οἴομαι [3] ἀβελτερίαν [4] ὁ δὴ [5] ἴδω τινὰ τὸν
[6] ἐπηγγέλλετο [7] ἐδέχεσθ' [8] ἀπεψηφίζεσθε

Ἂν πρότερος] Lego ἂν προτέροις ἡμῖν. Wolf.

Ἀβελτηρίαν] Lego ἀβελτερίαν per ε in tertia syllaba: quia fit ab ἀβέλτερος, ὁ τὰ βελτίω μὴ αἱρούμενος δι' ἀφροσύνην. Reprehendit Athenienses, qui dubitent, superstitione quadam, regi Persico esse supplices: cum (ut apud Thucydidem est) sit ἀνεπίφθονον παρὰ πᾶσιν ἀνθρώποις ὠφέλειάν τιν' εὑρίσκειν δεομένους. et Terentius: *Abs quivis*, inquit, *homine, cum opus est, beneficium accipere gaudeas*. Idem.

Καὶ δὴ βάρβαρος] O. ὁ δὴ β. Hæc μιμητικῶς dicit. Est enim ἐξήγησις τῆς ἀβελτερίας. Quæ est ista ἀβελτερία; quod dicitis, eum esse Barbarum. Sed quid ad vos ejus barbaries, si vobis prodest? Hoc si cui displicet, dicat esse concessionem. Est sane barbarus, &c. sed prodesse potest. Idem.

Κοινὸς ἅπασιν ἐχθρὸς] Vide Panegyricum Isocratis. Idem.

Τὸν μὲν ἐν Σούσοις καὶ ἐν Ἐκβατάνοις] Persarum regem dicit, qui Susis hyemem, Ecbatanis æstatem agere solebat. Erat hæc Mediæ, illa Susianæ urbs præcipua. *Ex edit.* Stock.

Ὃς καὶ πρότερον συνεπηνώρθωσε] Vide Evagoram Isocratis, et Philippicam, et Panegyricum, ubi Cononis fit mentio, qui Regi Persarum duxerit exercitum, et Xenophontis ά. ἑλληνικῶν. Wolf.

Ὃς καὶ πρότερον συνεπηνώρθωσε] Nempe, quando Conon, a Persis adjutus, Lacedæmoniorum classem apud Cnidum superaverit. *Ex edit.* Stock.

Καὶ νῦν ἐπηγγέλλετο] Scilicet συγκατορθώσειν τὰ πράγματα τῆς πόλεως. Id fortassis Demosthenes per satrapas curaverat, ut fieret: quos Darius illi, quantum pecuniæ postulasset, dare jussit: quo Græcis tumultibus Macedonem distineret, et Dinarchus objicit Demostheni, eum 300. talenta a Rege Persarum ad Thebanorum defensionem missa, cum sua factione partitum. Sed id, si verum est, posterius factum fuit. Wolf.

Εἰ δὲ μὴ ἐνεδέχεσθ' ὑμεῖς] Eodem tempore quo Thebani regem adjuverant, Athenienses quoque et Argivi, suppetias ferre rogati, (magnifica quamvis promitterentur) detrectarunt; quod inconsulte factum significat Demosthenes. *Ex edit.* Stock.

ι. Ἔστι τοίνυν τὶ πρᾶγμα καὶ ἄλλο ὃ λυμαίνεται] Quod ad τὰ θεωρικὰ χρήματα attinet, consulas Arg. Tourellii in secundam Olynthiacam. Eubuli morte factum esset ait Ulpianus, ut Demosthenes morem dividendi cum plebe vectigalis pu-

πόλιν, ὑπὸ βλασφημίας ἀδίκου καὶ λόγων οὐ προσηκόντων διαβεβλημένον· εἶτα τοῖς μηδὲν τῶν δικαίων ἐν τῇ πόλει βουλομένοις ποιεῖν, πρόφασιν παρέχει· καὶ πάντων ὅσα ἐκλείπει δέον παρά [1] του τοῦτο γίγνεσθαι, ἐπὶ τοῦθ' εὑρήσετε τὴν αἰτίαν ἀναφερομένην. περὶ οὗ πάνυ μὲν φοβοῦμαι λέγειν, οὐ μὴν ἀλλ' ἐρῶ· [2] οἶμαι γὰρ ἕξειν καὶ ὑπὲρ τῶν ἀπόρων τὰ δίκαια ἐπὶ τῷ συμφέροντι τῆς πόλεως εἰπεῖν πρὸς τοὺς εὐπόρους, καὶ ὑπὲρ τῶν κεκτημένων τὰς οὐσίας πρὸς τοὺς καταδεεῖς, εἰ ἀνέλοιμεν ἐκ μέσου τὰς βλασφημίας, ἃς ἐπὶ τῷ θεωρικῷ ποιοῦνταί τινες, οὐχὶ δικαίως, καὶ τὸν φόβον, ὡς οὐ στήσεται τοῦτο ἄνευ μεγάλου τινὸς κακοῦ, οὗ οὐδὲν ἂν εἰς τὰ πράγματα μεῖζον εἰσενεγκαίμεθα· οὐδ' ὅ, τι κοινῇ μᾶλλον ἂν ὅλην ἐπιῤῥώσειε τὴν πόλιν. οὑτωσὶ δὲ σκοπεῖτε· ἐρῶ δὲ, ὑπὲρ τῶν ἐν χρείᾳ δοκούντων εἶναι πρότερον. ἦν ποτ' οὐ πάλαι παρ' ἡμῖν, ὅτ' οὐ προσῄει τῇ πόλει τάλαντα ὑπὲρ τριάκοντα καὶ ἑκατόν· καὶ οὐδεὶς [3] ἐστι τῶν τριηραρχεῖν δυναμένων, οὐδὲ τῶν εἰσφέρειν, ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἀφ' ἑαυτοῦ ποιεῖν, ὅτι χρήματα οὐ περιῆν· ἀλλὰ καὶ τριήρεις ἔπλεον, καὶ χρήματα ἐγίγνετο, καὶ πάντα ἐποιοῦμεν τὰ δέοντα. μετὰ ταῦτα ἡ τύχη καλῶς ποιοῦσα πολλὰ πεποίηκε τὰ κοι-

[1] Deest τοῦ [2] οἴομαι [3] ἦν

blici jam commendet, quem in secunda et tertia Olynth. acerrime insectatur. Verum civis bonus populo interdum obsequatur necesse est, etiam in iis quæ ipse non probat. Quod hic aggreditur Demosthenes lubricum erat admodum; de quo maximæ divitum pauperumque inter se ortæ sunt inimicitiæ. Ægre ferebant pauperes, emolumenta, quæ sibi propria esse oporteat, etiam divitibus obvenire. Divites contra querebantur, reditus publicos temere effundi, suas facultates tributum conferendo alteri; quod, ut inviti, maligne præbebant. [*Aliam mutatæ sententiæ causam Demostheni tribuit Ulpianus, quam et ipse veriorem judicat: ut, si omnino retinenda sit pecuniæ theatralis distributio, perspectum habeant omnes, nihil esse deinceps reip. præsidii, excepta spe largitionis regiæ. S.] *Ibid.*

Δέον παρά του τοῦτο γίγνεσθαι] Scilicet τὸ ἐκλεῖπον, quanquam, cum supra dixerit, ὅσα ἐκλείπει, fortasse ταῦτα legendum. WOLF.

Παρά του τοῦτο] Dedi παρὰ τοῦτο sine τοῦ. Δέον παρὰ τοῦτο γίγνεσθαι, *quum oporteret propter hoc fieri*, nempe, publicam rem, publicam utilitatem. AUGER.

Οὗ οὐδὲν ἂν εἰς τὰ πράγματα] Οὗ. Scilicet τοῦ ἀνελεῖν ἐκ μέσου τὰς βλασφημίας, καὶ τὸν φόβον, ὡς οὐ, &c. Si sustulerimus e medio calumnias, &c. et metum seditionis: nullum reipublicæ majus tributum pendere poterimus, neque facere quicquam, quod totius civitatis tranquillitatem magis constabiliat. εἰσενεγκαίμεθα fit ab εἰσφέρω. ἐπιῤῥώσειεν ab ἐπιῤῥώννυμι, *confirmo*. WOLF.

Οὗ οὐδὲν ἂν εἰς τὰ πράγματα μεῖζον εἰσενεγκαίμεθα] Si sustulerimus e medio calumnias et querelas, nullum majus in rempub. emolumentum conferre possumus. *Ex edit.* STOCK.

Ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἀφ' ἑαυτοῦ ποιεῖν] Ποιεῖν ἀφ' ἑαυτοῦ, τουτέστι προθύμως καὶ ἑκών. WOLF.

Ἡ τύχη καλῶς ποιοῦσα] Καλῶς ποιεῖν est sermo approbantium rei eventum; *merito, quod quidem gaudeo. Ex edit.* STOCK.

Μετὰ ταῦτα ἡ τύχη καλῶς ποιοῦσα πολλὰ

νά· καὶ τετρακόσια ἀντὶ τῶν ἑκατὸν ταλάντων πρόσερχεται, οὐδενὸς οὐδὲν ζημιουμένου τῶν τὰς οὐσίας ἐχόντων, ἀλλὰ καὶ προσλαμβανόντων· οἱ γὰρ εὔποροι πάντες ἔρχονται μεθέξοντες τούτου, καὶ καλῶς ποιοῦσι. τί οὖν [1]παθόντες τοῦτο ὀνειδίζομεν ἀλλήλοις, καὶ προφάσει χρώμεθα τοῦ μηδὲν τῶν δεόντων ποιεῖν; πλὴν εἰ μὴ τῇ παρὰ τῆς τύχης βοηθείᾳ γεγονυίᾳ τοῖς ἀπόροις φθονοῦμεν· οὓς οὔτ' ἂν αἰτιασαίμην ἔγωγε, οὔτ' ἀξιῶ· οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις ὁρῶ [2]τὸν ἐν ἡλικίᾳ πρὸς τοὺς πρεσβυτέρους οὕτω διακείμενον, οὐδ' οὕτως ἀγνώμονα, οὐδ' [3]ἀτοπώτατον ὄντα οὐδένα, ὥστε, εἰ μὴ ποιήσουσιν ἅπαντες ὅσ' ἂν αὐτὸς, οὐ [4]φάσκοντα ποιήσειν οὐδὲν οὐδ' αὐτόν· καὶ γὰρ ἂν τοῖς τῆς κακώσεως εἴη νόμοις οὗτος τότε ἔνοχος· δεῖ γὰρ, οἶμαι, τοῖς γονεῦσι τὸν ὡρισμένον ἐξ ἀμφοτέρων ἔρανον καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τοῦ νόμου δικαίως φέρειν καὶ ἑκόντα ὑποτελεῖν. ὥσπερ τοίνυν ἑνὸς ἡμῶν [5]ἑκάστου τίς ἐστι γονεὺς, οὕτω συμπάσης τῆς πόλεως κοινοὺς δεῖ γονέας τοὺς [6]σύμπαντας ἡγεῖσθαι. καὶ [7]προσήκειν τούτους οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι· ἀλλ' εἰ καὶ μηδὲν ἦν τούτων, ἄλλοθεν σκοπεῖν ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται. τοὺς μὲν τοίνυν εὐπόρους ταύτῃ χρωμένους τῇ γνώμῃ, οὐ μόνον ἡγοῦμαι τὰ δίκαια ποιεῖν ἂν, ἀλλὰ καὶ τὰ λυσιτελῆ· τὸ γὰρ τῶν ἀναγκαίων τινὰς ἀποστερεῖν, κοινῇ κακόνους ἐστὶ ποιεῖν πολλοὺς ἀνθρώπους τοῖς πράγμασι.

[1] μαθόντες [2] * τῶν [3] ἄτοπον τῶν ὄντων οὐδένα [4] φάσκειν
[5] ἑκάστου εἷς τίς ἐστι [6] * πένητας [7] προσήκει

πεποίηκε τὰ κοινὰ] Id est, *merito fortuna auxit annuos reipub. redditus.* Est enim καλῶς ποιῶ sermo approbantis rei eventum, frequens apud auctores. Greg. εἰς βασίλειον, ὅπερ οὖν καλῶς ποιοῦν καὶ συνέδραμεν, *quod ut decuit et debuit concurrit.* Eandem habet vim εὖ ποιῶν. Idem in eadem, ὅπερ οὖν ἐκείνῳ συμβέβηκεν εὖ ποιοῦν. Plato ὀρθῶς δρᾷν dixit in Philebo, ἃ πολλάκις ἡμᾶς αὐτοὺς ἀναμιμνήσκομεν, ὀρθῶς δρῶντες, &c. *Ex edit.* WOLF.

Μεθέξοντες τούτου] Malim τούτων, S. τῶν προσόδων. WOLF.

Οἱ γὰρ εὔποροι πάντες ἔρχονται μεθέξοντες τούτου] Stipendium enim magistratus de publico accipiebant. *Ex edit.* STOCK.

Πλὴν εἰ μὴ τῇ παρὰ τῆς τύχης βοηθείᾳ γεγονυίᾳ τοῖς ἀπόροις φθονοῦμεν] Lego ἐπὶ τῇ παρὰ τῆς τύχης βοηθείᾳ. Alias φθονῶ σοι τούτου. WOLF.

Οὔτ' ἀξιῶ] Αἰτιατέον εἶναι, vel οὔτ' ἄλλους αἰτιάσασθαι αὐτοὺς, ἀξιῶ. IDEM.

Τῆς κακώσεως] Solon lege jussit, ut liberi parentes egenos alerent; qui secus facerent, ἀτίμους esse. Actio de hac re δίκη κακώσεως appellata est. *Ex edit.* STOCK.

Τὸ γὰρ τῶν ἀναγκαίων] Hoc est: Unius ordinis offensio periculosa est toti civitati. WOLF.

ιά. Τοῖς δ' ἐν ἐνδείᾳ, δι' ὃ δυσχεραίνουσι τὸ πρᾶγμα οἱ τὰς οὐσίας ἔχοντες, καὶ κατηγοροῦσι δικαίως, τοῦτ' ἀφελεῖν ἂν συμβουλεύσαιμι. δίειμι δὲ, ὥσπερ ἄρτι, τὸν αὐτὸν τρόπον καὶ ὑπὲρ τῶν εὐπόρων, οὐ κατοκνήσας εἰπεῖν τἀληθῆ· ἐμοὶ γὰρ οὐδεὶς οὕτως ἄθλιος οὐδ' ὠμὸς εἶναι δοκεῖ τὴν γνώμην, οὔκουν Ἀθηναίων γε, οἶμαι, ἀλλ' οὐδὲ τῶν ἄλλων, ὥςτε λυπεῖσθαι, ταῦτα λαμβάνοντας ὁρῶν τοὺς ἀπόρους καὶ τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας. ἀλλὰ ποῦ συντρίβεται τὸ πρᾶγμα, καὶ ποῦ δυσχεραίνεται; [1] ὅταν τὸ ἀπὸ τῶν κοινῶν ἔθος ἐπὶ τὰ ἴδια μεταβιβάζοντας ὁρῶσί τινας, καὶ μέγαν μὲν ὄντα παρ' ὑμῖν εὐθέως τὸν λέγοντα, ἀθάνατον δ' ἕνεκ' ἀσφαλείας, ἑτέραν δὲ τὴν κρύβδην ψῆφον τοῦ φανερῶς θορύβου. ταῦτ' ἀπιστίαν, ταῦτ' ὀργὴν ἔχει· δεῖ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως ἀλλήλοις τῆς πολιτείας κοινωνεῖν· τοὺς μὲν εὐπόρους, εἰς μὲν τὸν βίον τὸν ἑαυτῶν ἀσφαλῶς ἔχειν νομίζοντας, καὶ περὶ [2] τούτων μὴ δεδοικότας· εἰς δὲ τοὺς κινδύνους, κοινὰ ὑπὲρ τῆς σωτηρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας· τοὺς δὲ λοιποὺς, τὰ μὲν κοινὰ, κοινὰ νομίζοντας καὶ μετέχοντας τὸ μέρος· τὰ δὲ ἑκάστου, ἴδια τοῦ κεκτημένου. οὕτω καὶ μικρὰ πόλις μεγάλη γίγνεται, καὶ μεγάλη σώζεται.

[1] * ὅταν ἀπὸ τῶν κοινῶν τὸ ἔθος

[2] τούτῳ

ιά. Τοῖς δ' ἐν ἐνδείᾳ] Scilicet οὖσι, τοῖς ἀπόροις. IDEM.

Ἀλλὰ ποῦ συντρίβεται τὸ πρᾶγμα] Cum vectigalia ad ludorum apparatum non sufficerent, oratores ambitiosi falsorum criminum divites postulabant, quo bona eorum publicarentur; aut populo auctores fuerunt, ut iniquum iis tributum imperetur. Injuria affecti sycophantas in jus vocabant. Hi vero tantum gratiæ sibi conciliarant, ut plebeiorum judicum suffragiis secretis absolverentur, etsi palam eos plebs ipsa culparet. Ita suffragium secretum a publica voce discrepabat. *Ex edit.* STOCK.

Εὐθέως τὸν λέγοντα] M. τὸν τοῦτο λέγοντα. S. ὅτι δεῖ μεταβιβάζειν τὸ ἔθος, qui auctor est publicandi bona divitum, æque ut vectigalia civitatis populo distribuuntur. τὸν λέγοντα etiam sine pronomine intelligi potest de certo quodam oratore, populi assentatore, et seditioso. Sed quid est ἡ κρύβδην ψῆφος; diripiendas locupletiorum opes, aut, condemnari a pauperibus solere divites, non propter culpam, sed ex invidia, et injusta alieni cupiditate. Nam sycophantæ in jus vocabant locupletes: hos condemnabant judices, homines plebeii et inopes, penes quos erant judicia. Vide Areopagiticum Isocratis. Quid ὁ φανερῶς θόρυβος; Querelæ, quod divites theatralem pecuniam pauperibus ereptum veniant. WOLF.

Ἀλλήλοις] Sumitur adverbialiter, *mutuo, invicem.* AUGER.

Εἰς τὸν βίον τὸν ἑαυτῶν] Cicero 2. de officiis: *Ii, qui rempublicam tuebuntur, in primis operam dabunt, ut juris et judiciorum æquitate suum quisque teneat: et neque tenuiores propter imbecillitatem circumveniantur, neque locupletibus ad sua, vel tenenda, vel recuperanda, obsit invidia.* At apud Terentium sæpe judices propter invidiam adimunt diviti, et propter misericordiam addunt pauperi. WOLF.

Καὶ περὶ τούτων μὴ δεδοικότας] Non solicitos esse suæ rei custodia. IDEM.

Τὰ μὲν κοινὰ] 1. Offic. *Justitiæ primum munus est, ut ne cui quis noceat, nisi lacessitus injuria. Deinde, ut communibus pro*

ιβ΄. Ὡς μὲν οὖν εἴποι τις ἂν ἃ παρ᾽ ἑκατέρων εἶναι δεῖ, ταῦτ᾽ ἴσως ἐστίν· ὡς δὲ καὶ γένοιτ᾽ ἂν ἐννόμως, διορθώσασθαι δεῖ. τῶν δὲ παρόντων πραγμάτων καὶ τῆς ταραχῆς πολλὰ πόῤῥωθέν ἐστι τὰ αἴτια· ἃ εἰ βουλομένοις ὑμῖν ἀκούειν ἐστὶν, ἐθέλω λέγειν. ἐξέστητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς ὑποθέσεως, ἐφ᾽ ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον· καὶ τὸ μὲν προΐστασθαι τῶν Ἑλλήνων, καὶ δύναμιν συνεστηκυῖαν ἔχοντας πᾶσι τοῖς ἀδικουμένοις βοηθεῖν, περίεργον ἐπείσθητε εἶναι καὶ μάταιον ἀνάλωμα ὑπὸ τῶν ταῦτα πολιτευομένων· τὸ δ᾽ ἐν ἡσυχίᾳ διάγειν, καὶ μηδὲν τῶν δεόντων πράττειν, ἀλλὰ προϊεμένους καθ᾽ ἓν ἕκαστον πάντα ἑτέρους ἐᾶσαι λαβεῖν, θαυμαστὴν εὐδαιμονίαν καὶ πολλὴν ἀσφάλειαν ἔχειν οἴεσθε. ἐκ δὲ τούτων παρελθὼν ἐπὶ τὴν τάξιν, ἐφ᾽ ἧς ὑμῖν τετάχθαι προσῆκεν, ἕτερος, οὗτος εὐδαίμων καὶ μέγας καὶ πολλῶν κύριος γέγονεν, εἰκότως· πρᾶγμα γὰρ ἔντιμον καὶ μέγα καὶ λαμπρὸν, καὶ περὶ οὗ πάντα τὸν χρόνον αἱ μέγισται τῶν πόλεων πρὸς αὑτὰς διεφέροντο, Λακεδαιμονίων μὲν ἠτυχηκότων, Θηβαίων δὲ ἀσχόλων διὰ τὸν Φωκικὸν πόλεμον γενομένων, ἡμῶν δὲ ἀμελούντων, ἔρημον ἀνείλετο. τοιγάρτοι, τὸ μὲν φοβεῖσθαι, τοῖς ἄλλοις· τὸ δὲ συμμάχους πολλοὺς καὶ δύναμιν μεγάλην ἔχειν, ἐκείνῳ περιγέγονε, καὶ τοσαῦτα πράγματα καὶ τοιαῦτα ἤδη περιέστηκε τοὺς Ἕλληνας ἅπαντας, ὥςτε μηδ᾽ ὅ, τι χρὴ συμβουλεύειν εὔπορον εἶναι.

ιγ΄. Ὄντων δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν παρόντων πραγμάτων πᾶσιν, ὡς ἐγὼ κρίνω, φοβερῶν, οὐδένες ἐν μείζονι κινδύνῳ τῶν πάντων εἰσὶν ὑμῶν, οὐ μόνον τῷ μάλιστα ὑμῖν ἐπιβουλεύειν Φίλιππον, ἀλλὰ καὶ τῷ πάντων ἀργότατα αὐτοὶ διακεῖσθαι. εἰ τοίνυν τὸ τῶν ὠνίων πλῆθος ὁρῶντες, καὶ τὴν εὐετηρίαν τὴν κατὰ τὴν ἀγορὰν, τούτοις κεκήλη-

communibus utatur, privatis autem ut suis. IDEM.

ιβ΄. Ἐξέστητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς ὑποθέσεως ἐφ᾽ ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον] Id est, *descivistis et degenerastis ab instituto majorum*, et proposito politico, tuendi principatus scilicet inter Græcos, virtutibus bellicis. Significat enim ὑπόθεσις, προαίρεσιν, hoc est, *propositum et institutum*, et σκοπόν. Arist. Poli. 6. ὑπόθεσις μὲν οὖν τῆς δημοκρατικῆς πολιτείας, ἐλευθερία, id est, *scopus*, quem etiam ipse ὅρον appellat. *Ex edit.* WOLF.

Ἔρημον ἀνείλετο] Scilicet ὥσπερ δίκην, per adversarii absentiam victoria politus est. metaphora sumta a judiciis. WOLF.

ιγ΄. Ἀλλὰ καὶ τῷ πάντων ἀργότατα αὐτοὶ διακεῖσθαι] Græca constructio nominativi cum infinitivo. Sic apud Sophoclem in argumento Trachiniarum: φάσκων τοῦτο

σθε, ὡς ἐν οὐδενὶ δεινῷ τῆς πόλεως οὔσης, οὔτε προσηκόντως οὔτ' ὀρθῶς τὸ πρᾶγμα κρίνετε· ἀγορὰν μὲν γὰρ ἄν τις καὶ πανήγυριν, ἐκ τούτων, ἢ φαύλως, ἢ καλῶς κατεσκευάσθαι κρίνοι· πόλιν δ' ἣν ὑπείληφεν ὃς ἂν τῶν Ἑλλήνων ἄρχειν ἀεὶ [1] βούληται, μόνην ἂν ἐναντιωθῆναι, καὶ τῆς πάντων ἐλευθερίας προστῆναι, οὐ μὰ Δί' ἐκ τῶν ὠνίων, εἰ καλῶς ἔχει, δοκιμάζειν δεῖ. ἀλλ' εἰ συμμάχων εὐνοίᾳ πιστεύει, καὶ τοῖς ὅπλοις ἰσχύει, ταῦθ' ὑπὲρ τῆς πόλεως δεῖ σκοπεῖν. ἃ [2] φαύλως ὑμῖν καὶ οὐ καλῶς ἅπαντ' ἔχει. γνοίητε δ' ἂν εἰ σκέψαισθε [3] ἐκείνως, πότε μάλιστα ἐν ταραχῇ τὰ τῶν Ἑλλήνων γέγονε πράγματα; οὐδένα γὰρ χρόνον ἄλλον ἢ τὸν νυνὶ παρόντα, οὐδ' ἂν εἷς εἴποι· τὸν μὲν γὰρ ἄλλον ἅπαντα, εἰς δύο ταῦτα διῄρητο τὰ τῶν Ἑλλήνων, Λακεδαιμονίους καὶ [4] ἡμᾶς. τῶν δ' ἄλλων Ἑλλήνων, οἱ μὲν, [5] ἡμῖν· οἱ δὲ, ἐκείνοις ὑπήκουον. βασιλεὺς δὲ καθ' αὑτὸν μὲν ἅπασιν ὁμοίως ἄπιστος ἦν. τοὺς δὲ κρατουμένους τῷ πολέμῳ προσλαμβάνων, ἄχρις οὗ τοῖς ἑτέροις ἐξ ἴσου ποιῆσαι, διεπιστεύετο· ἔπειτ' οὐχ ἧττον αὐτὸν ἐμίσουν οὓς σώσειε, τῶν ὑπαρχόντων ἐχθρῶν ἐξ ἀρχῆς. νῦν δὲ, πρῶτον μὲν [6] ὁ βασιλεὺς ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει, καὶ πάντων ἥκιστα ἡμῖν, ἄν τι μὴ νῦν ἐπανορθωσώμεθα· ἔπειτα προστασίαι πολλαὶ καὶ πανταχόθεν [7] γίνονται· καὶ τοῦ πρωτεύειν [8] μὲν ἀντιποιοῦνται ἅπαντες, ἀφεστᾶσι

[1] βούλεται [2] σφαλερῶς ὑμῖν, καὶ οὐδαμῶς ἅπαντα καλῶς ἔχει [3] ἐκείνως· [4] ὑμᾶς [5] ὑμῖν [6] Deest articulus. [7] γίγνονται [8] ἀντιποιοῦνται μὲν

τὸ γέρας εἰληφέναι παρὰ θεῶν διὰ τὸ δίκαιος εἶναι. IDEM.

Πόλιν δ' ἣν ὑπείληφεν] Ordo hic est: οὐ μὰ Δία δοκιμάζειν δεῖ ἐκ τῶν ὠνίων, εἰ ταῦτα καλῶς ἔχει, πόλιν, ἣν ἐκεῖνος, ὃς ἂν ἀεὶ βούληται ἄρχειν τῶν ἑλλήνων, ὑπείληφεν μόνην ἂν ἐναντιωθῆναι. etc. τὸ ἀεὶ peculiarem vim hic habet, et refertur ad omnia ea tempora, quibus existunt oppressores libertatis. IDEM.

Βασιλεὺς δὲ] Ὁ τῶν Περσῶν. Nam ad Philippum hæc minime pertinent. IDEM.

Ἄχρις οὗ τοῖς ἑτέροις ἐξίσου ποιῆσαι, διεπιστεύετο] *Tantisper ei fides habebatur, donec victos victoribus exæquasset.* Persici reges beneficia in se collata in commentarios referebant, ut nulla temporis longinquitas gratiæ statueret modum. Sed Græci certe nimis ingratos, ut hoc loco Demosthenes et in Panegyrico Isocrates meminit, et ex historiis apparet, se illis præbuerunt: etsi insidiose (ut verum fatear) illorum fuit liberalitas, nec alia fortasse remuneratione digna. IDEM.

Ἔπειτ' οὐχ ἧττον αὐτὸν ἐμίσουν] Lacedæmonii, simul ac Darii Nothi ope Athenas devicissent, in regis ditionem arma inferre, Asiamque minorem vastare cœperunt. Artaxerxes Mnemon quoque Athenienses adjuverat, cum se jugo Spartanorum eximerent. Quod cum factum fuit, Athenienses Evagoræ rebelli opem tulerunt, qui magnam Cypri partem Persæ eripuerat. *Ex edit.* STOCK.

Ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει] Thebani et Argivi de rege bene meriti fuerant; qui et Græcos omnes inter se concordiam alere voluit, quo melius Philippi opibus indies crescentibus obstarent. *Ibid.*

Ἀφεστᾶσι δ' ἔνιοι] Πόθεν; τῶν ἀντιποιουμένων τοῦ πρωτεύειν. WOLF.

δ' ἔνιοι, καὶ φθονοῦσι καὶ ἀπιστοῦσιν ἑαυτοῖς οὐχ ὡς ἔδει, καὶ γεγόνασι καθ' αὑτοὺς ἕκαστοι, Ἀργεῖοι, Θηβαῖοι, Κορίνθιοι, Λακεδαιμόνιοι, Ἀρκάδες, ἡμεῖς. ἀλλ' ὅμως εἰς τοσαῦτα μέρη, καὶ τοσαύτας δυναστείας διῃρημένων τῶν Ἑλληνικῶν πραγμάτων, εἰ δεῖ τἀληθῆ μετὰ παῤῥησίας εἰπεῖν, τὰ παρ' [1] οὐδενὶ τούτων ἀρχεῖα καὶ βουλευτήρια ἐρημότερα ἂν τις ἴδοι τῶν Ἑλληνικῶν πραγμάτων, ἢ τὰ παρ' ὑμῖν, εἰκότως· οὔτε γὰρ φιλῶν, οὔτε πιστεύων, οὔτε φοβούμενος οὐδεὶς ὑμῖν διαλέγεται. αἴτιον δὲ τούτων, οὐχ ἕν, ὦ ἄνδρες Ἀθηναῖοι·—ῥάδιον γὰρ ἂν ἦν ἡμῖν μεταθεῖναι·—ἀλλὰ πολλὰ καὶ παντοδαπὰ ἐκ παντὸς ἡμαρτημένα τοῦ χρόνου· ὧν τὸ καθ' ἕκαστον ἐάσας, ἕν, εἰς ὃ πάντα γε συντείνει, λέξω, δεηθεὶς ὑμῶν, ἂν λέγω τἀληθῆ μετὰ παῤῥησίας, μηδὲν ἀχθεσθῆναί μοι.

ιδ'. Ἐκπέπραται τὰ συμφέροντα ἐφ' ἑκάστου τῶν καιρῶν, καὶ μετειλήφατε ὑμεῖς μὲν τὴν σχολὴν καὶ τὴν ἡσυχίαν, ὑφ' ὧν κεκηλημένοι τοῖς ἀδικοῦσιν οὐ πικρῶς ἔχετε· ἕτεροι δὲ τὰς τιμὰς ἔχουσι. καὶ [2] τὰ μὲν περὶ τἄλλα οὐκ ἄξιον ἐξετάσαι νῦν· ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμπέσῃ, εὐθὺς ἀναστάς τις λέγει, ὡς οὐ δεῖ ληρεῖν, οὐδὲ γράφειν πόλεμον, παραθεὶς εὐθέως ἑξῆς, τὸ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθὸν, καὶ τὸ τρέφειν δύναμιν μεγάλην ὡς χαλεπὸν, καὶ διαρπάζειν τινὲς τὰ χρήματα βούλονται, καὶ ἄλλους λόγους ὡς οἴονται ἀληθεστάτους λέγουσιν. ἀλλὰ δεῖ δήπου, τὴν μὲν εἰρήνην ἄγειν, οὐχ ὑμᾶς πείθειν, οἵ γε πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γε ἀφ' ὑμῶν ὑπάρχει. νομίζειν δὲ δεῖ χαλεπὰ, οὐκ ὅσα ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ' ἃ πεισόμεθα, ἂν ταῦτα μὴ ἐθέλωμεν ποιεῖν· καὶ

[1] οὐδέσι

[2] τὰ μὲν ἄλλα οὐκ

ιδ'. Ἐκπέπραται] Ὑπὸ τῶν προδοτῶν ἀφείθησαν οἱ παραπεπτωκότες καιροί. Perfidia proditorum singulæ occasiones rei bene gerendæ, et parandarum utilitatum sunt amissæ. Idem.

Ἕτεροι δὲ τὰς τιμὰς ἔχουσι] *Alii honoribus sunt potiti*, id est, Philippus eam auctoritatem et potentiam in se transtulit, quibus vos olim floruistis. Idem.

Ὡς οἴονται] *Ut putant*, scilicet οἱ πολλοὶ, non incommode subintelligitur, si sententiam spectes. Alioqui de oratoribus, ratione constructionis, acciperetur. ὡς οἴονται, scilicet οἱ φιλιππίζοντες τῶν λεγόντων. et οἴονται pro δοκοῦσι. nec enim ignorant nebulones, quid mentiantur. Quid vero, si pro οἴονται legendum sit, ὡς οἷόν τε; *quam fieri potest verissimas.* Sunt enim permulta, ut pacis commoda, sic belli mala. Idem.

τὸ [1] διαρπασθήσεσθαι τὰ χρήματα, τῷ φυλακὴν εὑρεῖν δι᾽ ἧς σωθήσεται, [2] κωλύσειν, οὐχὶ τῷ τοῦ συμφέροντος ἀποστῆναι. καίτοι ἔγωγε ἀγανακτῶ καὶ αὐτὸ τοῦτο, εἰ τὰ μὲν χρήματα λυπεῖ τινὰς ὑμῶν εἰ διαρπασθήσεται, ἃ καὶ φυλάττειν καὶ κολάζειν τοὺς ἁρπάζοντας ἐφ᾽ ὑμῖν ἐστί· τὴν δὲ Ἑλλάδα ἅπασαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων, οὐ λυπεῖ, καὶ ταῦτα ἐφ᾽ ὑμᾶς ἁρπάζων.

ιέ. Τί ποτ᾽ οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν οὕτω φανερῶς ἀδικοῦντα, καὶ πόλεις καταλαμβάνοντα, οὐδεὶς πώποτε [3] τούτων εἶπεν ὡς ἀδικεῖ καὶ πόλεμον ποιεῖ· τοὺς δὲ μὴ ἐπιτρέπειν, μηδὲ προΐεσθαι ταῦτα συμβουλεύοντας, τούτους πόλεμον ποιεῖν φασίν; ὅτι τὴν αἰτίαν τῶν ἐκ τοῦ πολέμου συμβησομένων δυσχερῶν—ἀνάγκη γὰρ ἀνάγκη πολλὰ λυπηρὰ ἐκ τοῦ πολέμου γίγνεσθαι—τοῖς ὑπὲρ ὑμῶν τὰ βέλτιστα λέγειν οἰομένοις ἅπαντες ἀναθεῖναι βούλονται· ἡγοῦνται γάρ, ἐὰν μὲν ὑμεῖς ὁμοθυμαδὸν ἐκ μιᾶς γνώμης Φίλιππον ἀμύνησθε, κἀκείνου κρατήσειν ὑμᾶς, καὶ αὐτοῖς [4] οὐκ ἔσεσθαι μισθαρνεῖν. ἂν δ᾽ ἀπὸ τῶν πρώτων θορύβων αἰτιασάμενοί τινας πρὸς τὸ κρίνειν τράπησθε, αὐτοὶ μὲν τούτων κατηγοροῦντες ἀμφότερα ἕξειν, καὶ παρ᾽ ὑμῖν εὐδοκιμήσειν, καὶ παρ᾽ ἐκείνου χρήματα λήψεσθαι. ὑμᾶς δ᾽ ὑπὲρ ὧν δεῖ παρὰ τούτων δίκην λαβεῖν, παρὰ τῶν ὑπὲρ ὑμῶν εἰρηκότων λήψεσθαι· αἱ μὲν ἐλπίδες αἱ τούτων, αὗται· καὶ τὸ κατασκεύασμα τὸ τῶν [5] αἰτίων,

[1] διαρπασθήσεται [2] κωλύειν [3] τοῦτον [4] οὐκέτ᾽ [5] αἰτιῶν

Κωλύσειν] Puto legendum κωλῦσαι, vel κωλύειν, et ἀφεστάναι pro ἀφεστηκέναι. Sic autem construes: δεῖ δὲ κωλύειν τὸ διαρπασθήσεσθαι τὰ χρήματα τῷ εὑρεῖν φυλακὴν, οὐ τῷ ἀφεστάναι τοῦ συμφέροντος. *Prohibenda est autem direptio pecuniarum, invenienda custodia; non deserenda utilitate*, id est: Si sunt, qui ærarium depeculari belli occasione studeant, non ideo non est gerendum bellum utile et necessarium: sed opera danda est, et ea ineunda ratio, qua peculatorum rapacitati occurratur. Observetur τὸ διαρπασθήσεσθαι futuro tempore loco nominis τὴν μέλλουσαν ἢ προσδοκωμένην διαρπαγήν. Idem.

ιέ. Τὸν ἀδικοῦντα, τοῦτον] Emphatica repetitio, et ἀντίπτωσις, pro, εἶπεν, ὡς οὗτος ἀδικεῖ. Idem

Τοῖς ὑπὲρ ὑμῶν τὰ βέλτιστα λέγειν οἰομένοις] Malim αἱρουμένοις. Felicianus legit εἰθισμένοις, ut et Manutius. Idem.

Ἀπὸ τῶν πρώτων θορύβων] *A primis tumultibus*, id est, cum primum tumultus aliquis fuerit ortus: vel cum primum ipsi tumultum concitarint, et nos calumniati fuerint. Idem.

Ἀμφότερα ἕξειν] Quæ sequuntur, ἐξηγητικῶς accipio, ἡγοῦνται δηλονότι εὐδοκιμήσειν. Si quis τὸ εὐδοκιμήσειν, καὶ τὸ λήψεσθαι mavult ὀνοματικῶς exponere, τὴν εὐδοκίμησιν, ἢ εὐδοξίαν μᾶλλον καὶ τὴν λῆψιν, non impedio. Sæpe enim fit, ut, nec verbis, nec sententiis, repugnantibus, idem locus varie possit exponi, diversa constructionis ratione, sensu eodem. Idem.

ὡς ἄρα βούλονταί τινες πόλεμον ποιῆσαι. ἐγὼ δ' εὖ οἶδα [1]ἀκριβῶς, ὅτι οὐ γράψαντος Ἀθηναίων οὐδενὸς πόλεμον, καὶ ἄλλα πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως, καὶ νῦν εἰς Καρδίαν πέπομφε [2]τὴν βοήθειαν. εἰ μέντοι βουλόμεθ' ἡμεῖς μὴ προσποιεῖσθαι πολεμεῖν ἡμῖν ἐκεῖνον, ἀνοητότατος πάντων ἂν εἴη, εἰ τοῦτ' ἐξελέγχοι· ὅταν γὰρ οἱ ἀδικούμενοι ἀρνῶνται, τί τῷ ἀδικοῦντι προσήκει; ἀλλ' ἐπειδὰν ἐφ' ἡμᾶς αὐτοὺς ἴῃ, τί φήσομεν τότε; ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν, ὥσπερ οὐδὲ Ὠρείταις, τῶν στρατιωτῶν ὄντων ἐν τῇ χώρᾳ· οὐδὲ Φεραίοις πρότερον, πρὶν ἢ πρὸς τὰ τείχη [3]προσβαλών· οὐδὲ Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἂν ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων. [4]εἰ καὶ τότε τοὺς ἀμύνεσθαι κελεύοντας πόλεμον ποιεῖν φήσομεν; οὐκοῦν ὑπόλοιπον δουλεύειν· οὐ γὰρ ἄλλο γε οὐδὲν ἔνι. καὶ μὴν, οὐδὲ ὑπὲρ τῶν ἴσων [5]ὑμῖν, καί τισι τῶν ἄλλων ἀνθρώπων ἔσθ' ὁ κίνδυνος· οὐ γὰρ ὑφ' αὑτῷ ποιήσασθαι τὴν πόλιν βούλεται Φίλιππος ἡμῶν, οὔ· ἀλλ' ὅλως ἀνελεῖν· οἶδε γὰρ ἀκριβῶς, ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτε ἐθελήσετε, οὔτ' ἂν ἐθέλητε ἐπίστασθε· ἄρχειν γὰρ εἰώθατε· πράγματα δὲ παρασχεῖν αὐτῷ, ἂν καιρὸν λάβητε, πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάντων δυνήσεσθε· διὰ ταῦτα ὑμῶν οὐχὶ φείσεται, εἴπερ ἐγκρατὴς γενήσεται.

ιϛ'. Ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ἐσομένου τοῦ ἀγῶνος ὑμῖν, οὕτω προσήκει [6]γινώσκειν, καὶ τοὺς πεπρακότας αὐτοὺς ἐκείνῳ φανερῶς μισεῖν καὶ ἀποτυμπανίσαι· οὐ γάρ ἐστιν, οὐκ ἔστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ἐχθρούς· ἀλλ' ἀνάγκη,

[1] Deest ἀκριβῶς. [2] Deest articulus. [3] προσβαλεῖν αὐτῶν·
[4] ἢ [5] ὑμῖν τε, καὶ [6] γιγνώσκειν

Ἐγὼ δὲ εὖ οἶδα ἀκριβῶς] F. καὶ ἀκριβῶς, aut alterutrum abundare videtur. IDEM.

Προσήκει] Sub. ποιεῖν. AUGER.

Ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν] Scilicet φήσει, ὥσπερ οὐδ' Ὠρείταις, scilicet ἔφησε πολεμεῖν. De Philippi dissimulatione hæc omnia sunt intelligenda. WOLF.

Οὐ] Subaudi φήσει, quod Reiskius velit adjici. Oratio de Chersoneso ubi hæc eadem repetuntur, ita legit, οὐ πολεμεῖν ἡμῖν ἐρεῖ. AUGER.

Οὐκοῦν ὑπόλοιπον δουλεύειν] Respondet ipse sibi Atheniensium nomine: nihil certe deterius est metuendum. Id responsum Demosthenes refutans: Imo, inquit, excidium nobis imminet. Potest tamen οὐ γὰρ ἄλλο γε οὐδὲν ἔνι sub persona Demosthenis dictum videri. Si non resistemus, superati redigemur in servitutem: ut deinde addat sive per correctionem, sive per amplificationem: καὶ μὴν οἶδεν, ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτε ἐθελήσετε. Scilicet ἂν ἐπίστησθε. Sic Cicero: *neque vellem, si possem, neque possem, si vellem.* WOLF.

ιϛ'. Φανερῶς] Referri potest ad μισεῖν, sed ego malim ad πεπρακότας referri. IDEM.

τούτοις ὥσπερ προβόλοις προσπταίοντας, ὑστερίζειν ἐκείνων· ἐπεὶ, πόθεν οἴεσθε νῦν αὐτὸν ὑβρίζειν εἰς ὑμᾶς· οὐδὲν γάρ ἔμοιγε ἄλλο δοκεῖ ποιεῖν ἢ τοῦτο, καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾷν, ὑμῖν δὲ ἀπειλεῖν ἤδη. οἷον Θετταλοὺς, πολλὰ δοὺς, ὑπηγάγετο εἰς τὴν νῦν παροῦσαν δουλείαν· οὐδ᾽ ἂν εἰπεῖν δύναιτο οὐδεὶς, ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους, πρότερον δοὺς Ποτίδαιαν, ἐξηπάτησε, καὶ πολλὰ ἕτερα· Θηβαίους τανῦν ὑπάγεται, τὴν Βοιωτίαν αὐτοῖς παραδοὺς, καὶ ἀπαλλάξας πολέμου πολλοῦ καὶ χαλεποῦ· ὥστε καρπωσάμενοί τινα ἕκαστοι τούτων πλεονεξίαν, οἱ μὲν ἤδη πεπόνθασιν ἃ δὴ πάντες ἴσασιν· οἱ δ᾽, ὅ, τι ἂν ποτε συμβῇ, πείσονται· ὑμεῖς δὲ, ὧν μὲν ἀπεστέρησθε, σιωπῶ· ἀλλ᾽ ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι, πόσα ἐξηπάτησθε; πόσων ἀπεστέρησθε; οὐχὶ Φωκέας; οὐ Πύλας; οὐχὶ τὰ ἐπὶ Θρᾴκης; Δορίσκον, Σέῤῥιον, τὸν Κερσοβλέπτην αὐτόν; οὐ νῦν Καρδίαν ἔχει καὶ ὁμολογεῖ; τί ποτ᾽ οὖν [1] ἐκεῖνος τοῖς ἄλλοις καὶ ὑμῖν οὐ τὸν αὐτὸν τρόπον προσφέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ ἡμετέρᾳ ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται· καὶ λαβόντα χρήματα αὐτὸν, ἀσφαλές ἐστι λέγειν παρ᾽ ὑμῖν, κἂν ἀφῃρημένοι τὰ ὑμέτερα αὐτῶν ἦτε. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου, μὴ συνευπεπονθότων τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου, μὴ συνευπεπονθότος τοῦ πλήθους τῶν Θετταλῶν, τῷ τοὺς τυράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς, καὶ τὴν Πυλαίαν ἀποδοῦναι. οὐκ ἦν ἐν Θήβαις ἀσφαλὲς, πρὶν ἢ τὴν Βοιωτίαν ἀπέδωκε, καὶ τοὺς Φωκέας ἀνεῖλεν. ἀλλ᾽ Ἀθήνησιν, οὐ μόνον Ἀμφίπολιν καὶ τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ καὶ κατασκευάζοντος ἡμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν, καὶ νῦν ἐπὶ Βυζάντιον παριόντος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ Φιλίππου· καὶ γάρ τοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ πλούσιοι γεγόνασι· καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων, ἔνδοξοι καὶ γνώριμοι· ὑμεῖς δὲ τοὐναντίον, ἐκ μὲν ἐνδόξων, ἄδοξοι· ἐκ δ᾽ εὐπόρων, ἄποροι· πό-

[1] ἐκείνως

Ὥσπερ προβόλοις] Fit a προβάλλω. Significat in genere *impedimentum*, sive sit scopulus in mari, sive vallum in terra. Idem.

λεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι συμμάχους, πίστιν, εὔνοιαν, ὧν [1] πάντων ἐστὲ ὑμεῖς ἄποροι· ἐκ δὲ τοῦ τούτων ὀλιγώρως ὑμᾶς ἔχειν, καὶ ἐᾶν τοῦτον τὸν τρόπον τὰ πράγματα φέρεσθαι, ὁ μὲν, εὐδαίμων καὶ μέγας καὶ φοβερός ἐστι πᾶσι τοῖς Ἕλλησι καὶ βαρβάροις· ὑμεῖς δ', ἔρημοι καὶ ταπεινοὶ, τῇ μὲν κατὰ τὴν ἀγορὰν εὐετηρίᾳ λαμπροὶ, τῇ δ' ὧν προσῆκε παρασκευῇ καταγέλαστοι.

ιζ'. Οὐ τὸν αὐτὸν δὲ τρόπον περί τε ὑμῶν, καὶ περὶ [2] αὐτῶν ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομένους· ὑμᾶς μὲν γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ· αὐτοὶ δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυχίαν ἄγειν, οὐδενὸς αὐτοὺς ἀδικοῦντος. καί τοι λοιδορίας χωρὶς εἴ τις ἔροιτό σε, Εἰπέ μοι, τί δὴ γινώσκων ἀκριβῶς, Ἀριστόδημε,—οὐδεὶς γὰρ τὰ τοιαῦτα ἀγνοεῖ,—τὸν μὲν τῶν ἰδιωτῶν βίον, ἀσφαλῆ καὶ ἀπράγμονα καὶ ἀκίνδυνον ὄντα· τὸν δὲ τῶν πολιτευομένων, φιλαίτιον καὶ σφαλερὸν καὶ καθ' ἑκάστην ἡμέραν ἀγώνων καὶ κακῶν μεστὸν, οὐ τὸν ἡσύχιον καὶ ἀπράγμονα, ἀλλὰ τὸν ἐν τοῖς κινδύνοις, αἱρῇ; τί ἂν εἴποις; εἰ γὰρ, ὃ βέλτιστον εἰπεῖν ἂν ἔχοις, τοῦτό σοι συγχωρήσαιμεν ἀληθὲς λέγειν, ὡς ὑπὲρ φιλοτιμίας καὶ δόξης πάντα ταῦτα ποιεῖς, θαυμάζω τί δήποτε, σαυτῷ μὲν ὑπὲρ τούτων ἅπαντα ποιητέον εἶναι νομίζεις καὶ πονητέον καὶ κινδυνευτέον· τῇ πόλει δὲ προέσθαι ταῦτα διὰ ῥαθυμίαν συμβουλεύεις; οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὡς σὲ μὲν ἐν τῇ πόλει δεῖ τινὰ φαίνεσθαι, τὴν πόλιν δ' ἐν τοῖς Ἕλλησι μηδενὸς ἀξίαν εἶναι. καὶ μὴν οὐδ' ἐκεῖνό γε ὁρῶ, ὡς τῇ πόλει μὲν ἀσφαλὲς τὸ τὰ [3] αὐτῆς πράττειν, σοὶ δὲ ἐπικίνδυνον, εἰ μηδὲν τῶν ἄλλων πλεῖον περιεργάσῃ. ἀλλὰ τοὐναντίον· σοὶ μὲν ἐξ ὧν ἐργάζῃ καὶ περιεργάζῃ, τοὺς ἐσχάτους ὄντας κινδύνους, τῇ πόλει δὲ ἐκ τῆς ἡσυχίας. ἀλλὰ νὴ Δία, παππῷα καὶ πατρῷα δόξα σοι ὑπάρχει, ἣν αἰσχρόν ἐστιν ἐν σοὶ καταλῦσαι. τῇ πόλει δ' ὑπῆρξεν ἀνώνυμα καὶ φαῦλα τὰ τῶν προ-

[1] ἁπάντων [2] αὑτῶν [3] αὑτῆς

ιζ'. Ἀριστόδημε] Histrio fuit, unusque ex decem legatis in Macedoniam missis. De hoc ipso, quem nunc probris lacessit, corona donando, ex legatione regressus decretum tulit Demosthenes. *Ex edit.* STOCK.

Τῇ πόλει δὲ προέσθαι ταῦτα] Τὴν φιλοτιμίαν καὶ δόξαν. WOLF.

Εἰ μηδὲν τῶν ἄλλων πλέον περιεργάσῃ] *Præter cæteros, plus quam alii.* IDEM.

Ἐν σοὶ καταλῦσαι] Scilicet σεαυτὸν, ἢ ἀντὶ τοῦ καταλυθῆναι. IDEM.

γόνων; ἀλλ' οὐδὲ τοῦθ' οὕτως ἔχει· σοὶ μὲν γὰρ [1] ἦν κλέπτης ὁ πατὴρ, εἴπερ ἦν ὅμοιός σοι. τῇ πόλει δὲ ἡμῶν, ὡς πάντες [2] ἴσασιν οἱ Ἕλληνες, δὶς ἐκ τῶν μεγίστων κινδύνων ὑπὸ τῶν προγόνων ἡμῶν σεσωσμένοι· ἀλλὰ γὰρ οὐκ ἴσως οὐδὲ πολιτικῶς ἔνιοι τὰ καθ' ἑαυτοὺς καὶ τὰ κατὰ τὴν πόλιν πολιτεύονται· πῶς γάρ ἐστιν ἴσον, τούτων μέν τινας ἐκ τοῦ δεσμωτηρίου προϊόντας, ἑαυτοὺς ἀγνοεῖν· τὴν πόλιν δ', ἣ προειστήκει τῶν ἄλλων Ἑλλήνων τέως καὶ τὸ πρωτεῖον εἶχε, νῦν ἐν ἀδοξίᾳ πάσῃ καὶ ταπεινότητι καθεστάναι;

ιή. Πολλὰ τοίνυν ἔχων ἔτι καὶ περὶ πολλῶν εἰπεῖν, παύσομαι· καὶ γὰρ οὐ λόγων ἐνδείᾳ μοι δοκεῖ τὰ πράγματα οὔτε νῦν οὔτε ἄλλοτε πώποτε φαύλως ἔχειν· ἀλλ' ὅταν πάντ' ἀκούσαντες ὑμεῖς τὰ δέοντα, καὶ ὁμογνώμονες, ὡς ὀρθῶς λέγεται, γενόμενοι, τῶν λυμαίνεσθαι καὶ διαστρέφειν ταῦτα βουλομένων ἐξ ἴσου κάθησθε ἀκροώμενοι, οὐκ ἀγνοοῦντες αὐτούς·—ἴστε γὰρ εὐθὺς ἰδόντες ἀκριβῶς, τίς μισθοῦ λέγει, καὶ [3] τίς ὑπὲρ Φιλίππου πολιτεύεται, καὶ τίς ὡς ἀληθῶς ὑπὲρ τῶν βελτίστων·—ἀλλ' ἵν' αἰτιασάμενοι τούτους, καὶ τὸ πρᾶγμα εἰς γέλωτα καὶ λοιδορίαν ἐμβαλόντες, μηδὲν αὐτοὶ τῶν δεόντων ποιῆτε. ταῦτ' ἐστὶ τἀληθῆ μετὰ πάσης παῤῥησίας ἁπλῶς εὐνοίᾳ τὰ βέλτιστα εἰρημένα, οὐ κολακείας καὶ βλάβης καὶ ἀπάτης λόγος μεστὸς, ἀργύριον μὲν τῷ λέγοντι ποιήσων, τὰ δὲ πράγματα τῆς πόλεως τοῖς ἐχθροῖς ἐγχειριῶν· ἢ οὖν παυστέον τούτων τῶν ἐθῶν, ἢ μηδένα ἄλλον αἰτιατέον τοῦ πάντα φαύλως ἔχειν, ἢ ὑμᾶς αὐτούς.

[1] [ἦν] [2] ἴσασιν, οἱ ἕλληνες δὶς [3] Deest τίς.

Σοὶ μὲν, εἴπερ ὅμοιός σοι] Hermogenes κύκλον appellat hanc figuram. IDEM.

Τῇ πόλει δὲ ἡμῶν] Scilicet ὑπάρχει πατρῴα καὶ παππῴα δόξα. Nisi placeat: τῇ πόλει οἱ ἕλληνες ὑπάρχουσι σεσωσμένοι ὑπὸ τῶν προγόνων, ὡς πάντες ἴσασι. IDEM.

Τῇ πόλει δὲ ἡμῶν, ὡς πάντες ἴσασιν] Subintellige, οὕτως ἦν. *Civitas nostra*, quod ad majores attinet, ita se habuit, *quomodo omnes norunt*. STOCK.

Τῇ πόλει δὲ ἡμῶν] Subaudi præcedentibus ἦσαν, et totum hunc locum sic intellige: Tibi fuit pater fur et latro, civitati autem nostræ fuerunt (patres), ut (quales) sciunt omnes Græci ex maximis. AUGER.

Δὶς —— σεσωσμένοι] Prius ad Marathona, iterum ad Salamina. Tertiam vicem memorat Isocrates; nempe, quando cæteros Græcos jugo Spartanorum liberavere. Sed hoc tacet Demosthenes, ne Lacedæmonios per id tempus civitatis socios incusare videretur. *Ex edit.* STOCK.

Οὐδὲ πολιτικῶς] Δημοκρατικῶς. ἐν γὰρ ταῖς δημοκρατίαις αἱ ἰσότητες μάλιστα ἰσχύουσι. WOLF.

Ἑαυτοὺς ἀγνοεῖν] Id est, splendorem assecutos, veteres suas sordes ignorare. vitium τοῖς νεοπλούτοις commune. IDEM.

ιή. Ἀλλ' ἵν' αἰτιασάμενοι τούτους] Τοὺς ὑπὲρ τῶν βελτίστων ὡς ἀληθῶς λέγοντας. IDEM.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

ΦΙΛΙΠΠΟΣ ΑΘΗΝΑΙΩΝ ΤΗΙ ΒΟΥΛΗΙ ΚΑΙ ΤΩΙ ΔΗΜΩΙ ΧΑΙΡΕΙΝ.

α΄. Ἐπειδὴ πολλάκις μου πρέσβεις ἀποστείλαντος, ἵν᾽ ἐμμείνωμεν τοῖς ὅρκοις καὶ ταῖς ὁμολογίαις, οὐδεμίαν ἐποιεῖσθε ἐπιστροφὴν, ᾤμην δεῖν πέμψαι πρὸς ὑμᾶς ὑπὲρ ὧν ἀδικεῖσθαι νομίζω. μὴ θαυμάσητε δὲ τὸ μῆκος τῆς ἐπιστολῆς· πολλῶν γὰρ ὑπαρχόντων ἐγκλημάτων, ἀναγκαῖόν ἐστιν ὑπὲρ ἁπάντων δηλῶσαι καθαρῶς.

β΄. Πρῶτον μὲν γὰρ Νικίου τοῦ κήρυκος ἁρπασθέντος ἐκ τῆς χώρας τῆς ἐμῆς, οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσατε [1] ὅτι τὴν δίκην, ἀλλὰ τὸν ἀδικούμενον εἵρξατε δέκα μῆνας· ἃς δ᾽ ἔφερε παρ᾽ ἡμῶν ἐπιστολὰς, ἀνέγνωτε ἐπὶ τοῦ βήματος· ἔπειτα Θασίων ὑποδεχομένων τὰς Βυζαντίων τριήρεις, καὶ τῶν λῃστῶν τοὺς βουλομένους, οὐδὲν ἐφροντίζετε τῶν συνθηκῶν διαῤῥήδην λεγουσῶν, πολεμίους εἶναι τοὺς ταῦτα ποιοῦντας. ἔτι τοίνυν, περὶ τοὺς αὐτοὺς χρόνους Διοπείθης ἐμβαλὼν εἰς τὴν χώραν, Κρωβύλην μὲν καὶ τὴν Τιρίστασιν ἐξηνδραποδίσατο· τὴν δὲ προσεχῆ Θρᾴκην ἐπόρθησε· τέλος δὲ εἰς τοῦτο ἦλθε παρανομίας,

[1] [ὅτι τὴν δίκην]

β΄. Νικίου τοῦ κήρυκος.] Nicias (ut videtur) correptus fuit a Diopithe, dum a Thracia Macedoniam proficisceretur. *Ex edit.* STOCK.

Ἁρπασθέντος] Malim cum Reiskio ἀναρπασθέντος. AUGER.

Οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσατε ὅτι τὴν δίκην, ἀλλὰ] Felicianus et Manutius, ὅτι παρὰ τὴν δίκην, scilicet ἐβιάσαντο, *ut sontes ob jus violatum castigaveritis.* Sed quid si? ὅπερ ἦν δίκαιον. *id quod æquum fuisset.* WOLF.

Οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσατε ὅτι τὴν δίκην] In MSS. duobus Parisinis deest ὅτι: quod ego interjecta notula scriberem ὅ, τι, *ullo modo, in re qualibet*; et δίκην ἐπιτιμᾷν, *pœnam magni æstimare, gravem infligere pœnam*, verto. Nisi forte sincerior sit lectio Aldi et Feliciani: οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσατε ὅτι ΠΑΡΑ τὴν δίκην, *nequaquam sontes pro jure (prout æquum erat) punivistis.* STOCK.

Ἐπιστολὰς ἀνέγνωτε] Athenienses tabellas Philippi resolverunt, quo consilia ejus explorarent. Verum tanta fuit eorum urbanitas, ut literas, uxori Olympiadi inscriptas, intactas dimiserint. *Ex edit.* STOCK.

Ἐμβαλὼν εἰς τὴν χώραν] S. τὴν ἐμὴν, τὴν Μακεδονίαν: etsi fortasse Κρωβύλη καὶ Τιρίστασις Thraciæ fuerunt oppida, cujus partem non exiguam tenuit Philippus. WOLF.

Κρωβύλην——Τιρίστασιν] Crobyle penitus ignota. Tiristasis, juxta Plinium, oppidum est Chersonesi. *Ex edit.* STOCK.

ὥστε Ἀμφίλοχον ὑπὲρ τῶν αἰχμαλώτων ἐλθόντα πρεσβευτὴν συλλαβὼν, καὶ τὰς ἐσχάτας ἀνάγκας ἐπιθεὶς, ἀπελύτρωσε ταλάντων ἐννέα. καὶ ταῦτα τῷ δήμῳ εὖ δοκοῦντα ἐποίησε. [1] καὶ τὸ παρανομεῖν εἰς κήρυκα, καὶ πρέσβεις, [2] καὶ τοῖς ἄλλοις τε πᾶσιν ἀσεβὲς εἶναι δοκεῖ, καὶ μάλιστα ὑμῖν. Μεγαρέων [3] οὖν Ἀνθεμόκριτον ἀνελόντων, εἰς τοῦτο ἐλήλυθεν ὁ δῆμος, ὥστε μυστηρίων μὲν εἴργειν αὐτούς· [4] ὑπομνήματα δὲ τῆς ἀδικίας [5] ἔστησαν, ἀνδριάντα πρὸ τῶν πυλῶν. καίτοι πῶς οὐ δεινὸν, [6] εἰ ἐφ᾽ οἷς παθόντες, οὕτως ἐμισήσατε τοὺς δράσαντας, νῦν αὐτοὺς φαίνεσθαι ποιοῦντας;

γ΄. Καλλίας τοίνυν ὁ παρ᾽ ὑμῶν στρατηγὸς τὰς μὲν πόλεις τὰς ἐν τῷ Παγασίτῃ κόλπῳ κατοικουμένας ἔλαβεν ἁπάσας, ὑμῖν μὲν ἐνόρκους, ἐμοὶ δὲ συμμαχίδας οὔσας. τοὺς δ᾽ εἰς Μακεδονίαν πλέοντας ἐπώλει, πάντας πολεμίους κρίνων· καὶ διὰ ταῦθ᾽ ὑμεῖς ἐπῃνεῖτ᾽ αὐτὸν ἐν τοῖς ψηφίσμασιν· ὥστε ἔγωγε ἀπορῶ, τί ποτ᾽ ἔσται καινότερον, ἐὰν ὁμολογήσητέ μοι πολεμεῖν· καὶ γὰρ ὅτε φανερῶς διεφερόμεθα, λῃστὰς ἐξεπέμπετε, καὶ τοὺς πλέοντας ὡς [7] ὑμᾶς ἐπωλεῖτε, τοῖς ἐναντίοις ἐβοηθεῖτε, τὴν χώραν μου κακῶς ἐποιεῖτε. χωρὶς [8] τοίνυν, εἰς τοῦτο παρανομίας ἀφῖχθε καὶ δυσμενείας, ὥστε καὶ πρὸς τὸν Πέρσην πρέσβεις ἀπεστάλκατε, πείσοντας αὐτὸν ἐμοὶ πολεμεῖν· ὃ μάλιστα ἄν τις θαυμάσειε· πρὸ μὲν γὰρ τοῦ λαβεῖν αὐτὸν

[1] καίτοι τὸ [2] Deest * καί. [3] γοῦν [4] * ὑπόμνημα [5] στῆσαι
[6] Deest εἰ. [7] ἡμᾶς [8] τοίνυν τούτων εἰς

Καὶ ταῦτα τῷ δήμῳ εὖ δοκοῦντα] Scilicet πεπρᾶχθαι, ἐποίησεν, ἢ συνδοκοῦντα. Wolf.

Ἀνθεμόκριτον]. Narrat Pausanias, Anthemocritum præconem missum fuisse ad Megarenses, qui Atheniensium nomine vetaret eos agrum sacrum colere. Megarenses, spreto jure gentium, nuntium interfecerunt. Athenienses itaque interdixerunt eos foris et portubus suis, et jurejurando obstrinxerunt imperatores suos ad agrum Megarensem bis quotannis vastandum. Vide supra Not. ad Olynth. II. 8. *Ex edit.* Stock.

Εἰς τοῦτο ἐλήλυθεν] F. εἰς τοῦτ᾽ ὀργῆς ἐλήλυθεν. Tanta iracundia populus exarsit. Wolf.

Εἰ ἐφ᾽ οἷς παθόντες] Aut τὸ εἰ abundat, aut pro αὐτοὺς φαίνεσθαι legendum, εἰ αὐτοὶ φαίνεσθε, secunda persona, ut est ab Obsopœo annotatum. Idem.

γ΄. Πρὸς τὸν Πέρσην πρέσβεις] Sub hoc tempus, Asiæ minoris satrapæ auxilium miserant Perintho, a Philippo oppugnatæ; quod etsi Atheniensium impulsu factum fuisse non tradat Diodorus, docet tamen Pausanias, copiis Persicis tum præfuisse Apollodorum Atheniensem. *Ex edit.* Stock.

Πρὸ μὲν γὰρ τοῦ λαβεῖν αὐτὸν Αἴγυπτον καὶ Φοινίκην] Artaxerxes Ochus, iracundia commotus, quod Artabazo rebelli suppetias tulerat Chares, (vide Not. ad Phil. I. 9.) et Atheniensibus per legatos palam minitatus, minas statim ingenti apparatu bellico insecutus est. Quo rumore perculsi Athenienses, reliquorum Græcorum opem petierunt, eaque de re orationem habuit Demosthenes, *de Classibus* inscriptam. Tumultus autem ille brevi deferbuit. Rex enim Persarum, victo expul-

Αἴγυπτον καὶ Φοινίκην, ἐψηφίσασθε, ἂν ἐκεῖνός τι [1] νεωτερίζῃ, παρακαλεῖν ὁμοίως ἐμὲ καὶ τοὺς ἄλλους Ἕλληνας ἅπαντας ἐπ' αὐτόν. νῦν δὲ τοσοῦτον ὑμῖν περίεστι τοῦ πρὸς ἐμὲ μίσους, ὥστε πρὸς ἐκεῖνον διαλέγεσθαι περὶ τῆς ἐπισυμμαχίας. καίτοι τὸ παλαιὸν οἱ πατέρες ὑμῶν, ὡς ἐγὼ πυνθάνομαι, τοῖς Πεισιστρατίδαις ἐπετίμων, ὡς ἐπάγουσι τὸν Πέρσην ἐπὶ τοὺς Ἕλληνας· ὑμεῖς δ' οὐκ αἰσχύνεσθε ταῦτα ποιοῦντες, ἃ διετελεῖτε τοῖς τυράννοις ἐγκαλοῦντες.

δ'. Ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ γράφετε ἐν τοῖς ψηφίσμασιν ἐμοὶ προστάττοντες, Τήρην καὶ Κερσοβλέπτην ἐᾶν Θρᾴκης ἄρχειν, ὡς ὄντας Ἀθηναίους. ἐγὼ δὲ τούτους, οὔτε τῶν περὶ τῆς εἰρήνης συνθηκῶν οἶδα μετασχόντας ὑμῖν, οὔτ' ἐν ταῖς στήλαις ἀναγεγραμμένους, οὔτ' Ἀθηναίους ὄντας· ἀλλὰ Τήρην μὲν, μετ' ἐμοῦ στρατευόμενον ἐφ' ὑμᾶς· Κερσοβλέπτην δὲ, τοῖς παρ' ἐμοῦ πρεσβευταῖς ἰδίᾳ μὲν τοὺς ὅρκους ὀμόσαι προθυμούμενον, κωλυθέντα δ' ὑπὸ τῶν ὑμετέρων στρατηγῶν, ἀποφαινόντων αὐτὸν Ἀθηναίων ἐχθρόν. καίτοι, πῶς ἐστὶ τοῦτ' ἴσον ἢ δίκαιον, ὅταν μὲν ὑμῖν συμφέρῃ, πολέμιον εἶναι φάσκειν αὐτὸν τῆς πόλεως· ὅταν δ' ἐμὲ συκοφαντεῖν βούλησθε, πολίτην ἀποδείκνυσθαι τὸν αὐτὸν [2] ὑφ' ὑμῶν; καὶ Σιτάλκου μὲν ἀποθανόντος, ᾧ μετέδοτε τῆς πολιτείας, εὐθὺς ποιήσασθαι πρὸς τὸν ἀποκτείναντα φιλίαν· ὑπὲρ δὲ Κερσοβλέπτου πόλεμον αἱρεῖσθαι πρὸς ἡμᾶς; καὶ ταῦτα σαφῶς εἰδότας, ὅτι τῶν λαμβανόντων τὰς δωρεὰς τὰς τοιαύτας, οὐδεὶς οὔτε τῶν νόμων οὔτε τῶν

[1] νεωτερίσῃ

[2] [ὑφ']

soque Artabazo, in Phœniciam et Ægyptum, provincias rebelles, vires convertit; quas postea, Mentoris Rhodii opera, in ditionem suam redegit. Stock.

Περὶ τῆς ἐπισυμμαχίας] Συμμαχία societas est et inferendi et propulsandi belli: ἐπιμαχία propulsandi tantum, ut explicat Thucydidis interpres. hic vero legendum περὶ τῆς ἐπ' ἐμὲ συμμαχίας. Wolf.

Ἐπισυμμαχία] Est fœdus fœderatos obligans ad mutuum sibi ferendum auxilium. Auger.

δ'. Τήρην καὶ Κερσοβλέπτην] De his Thraciæ regibus vide orationem contra Aristocratem et primam Olynthiacam. Wolf.

Τήρην καὶ Κερσοβλέπτην] De Tere prorsus silet historia. Quod ad Cersobleptem attinet, opprimi eum a Philippo sinebant Athenienses, consilio Demosthenis; donec ejus perniciem cum suo conjunctam esse periculo sentirent. Tum decreta, quæ hic memorantur, facta sunt. *Ex edit.* Stock.

Σιτάλκου μὲν ἀποθανόντος] Sitalces, Cersobleptæ avus, propter merita in remp. in bello Pelop. civitate donatus. Eo in pugna cum Triballis interfecto, Seuthes fratris filius, exclusis ejus liberis, regno potitus est: unde cædis auctor habitus fuit. Philippus dubium crimen, tanquam exploratum et compertum, affert. *Ibid.*

ψηφισμάτων οὐδὲν φροντίζει τῶν ὑμετέρων· οὐ μὴν ἀλλ᾿ εἰ δεῖ πάντα τἄλλα παραλιπόντα συντόμως εἰπεῖν, ὑμεῖς ἔδοτε πολιτείαν Εὐαγόρᾳ τῷ Κυπρίῳ, καὶ Διονυσίῳ τῷ Συρακουσίῳ, καὶ τοῖς ἐκγόνοις τοῖς ἐκείνων. ἐὰν οὖν πείσητε τοὺς ἐκβαλόντας ἑκατέρους αὐτῶν ἀποδοῦναι πάλιν τὰς ἀρχὰς τοῖς ἐκπεσοῦσι, κομίζεσθε καὶ παρ᾿ ἐμοῦ τὴν Θρᾴκην, [1]ὅσην Τήρης καὶ Κερσοβλέπτης [2]εἶχεν. εἰ δὲ τοῖς μὲν ἐκείνων κρατήσασι μηδ᾿ ἐγκαλεῖν ἀξιοῦτε μηδὲν, ἐμὲ δ᾿ ἐνοχλεῖτε, πῶς οὐ δικαίως ὑμᾶς ἀμυνοίμην ἄν; περὶ μὲν οὖν τούτων πολλὰ λέγειν ἔχων ἔτι δίκαια, παραλιπεῖν προαιροῦμαι.

έ. Καρδιανοῖς δέ φημι βοηθεῖν, γεγονὼς αὐτοῖς πρὸ τῆς εἰρήνης σύμμαχος, οὐκ [3]ἐθελόντων ὑμῶν ἐλθεῖν εἰς κρίσιν, πολλάκις μὲν ἐμοῦ δεηθέντος, οὐκ ὀλιγάκις δ᾿ ἐκείνων· ὥστε πῶς οὐκ ἂν εἴην πάντων φαυλότατος, εἰ καταλιπὼν τοὺς συμμάχους, μᾶλλον ὑμῶν φροντίζοιμι, τῶν πάντα μοι τρόπον ἐνοχλούντων, ἢ τῶν βεβαίως μοι φίλων ἀεὶ μενόντων; εἰ τοίνυν δεῖ μηδὲ τοῦτο παραλιπεῖν, εἰς τοσοῦτον ἐληλύθατε πλεονεξίας, ὥστε πρότερον μὲν ἐνεκαλεῖτέ μοι τὰ προειρημένα μόνον· τὰ δ᾿ ὑπογυιότατα, Πεπαρρηθίων φασκόντων δεινὰ πεπονθέναι, προσετάξατε τῷ στρατηγῷ δίκην παρ᾿ ἐμοῦ λαβεῖν ὑπὲρ ἐκείνων, οὓς ἐγὼ μὲν ἐτιμωρησάμην ἐνδεεστέρως ἢ προσῆκεν· ἐκεῖνοι δὲ, εἰρήνης οὔσης, καταλαβόντες Ἁλόνησον, οὔτε τὸ χωρίον, οὔτε

[1] ὅσης [2] ἦρχεν [3] ἐθελόντων δ᾿ ὑμῶν

Εὐαγόρᾳ τῷ Κυπρίῳ] Evagoras Cononi opem tulerat in Athenis liberandis: quamobrem civitate donatus est. Interfectus fuit a Nicocle. Filius ejus deinde Evagoras minor regnum excepit, quo tandem a Persis privatus est. *Ibid.*

Διονυσίῳ τῷ Συρακουσίῳ] Vide Diodorum Siculum, et Plutarchum in vitis Dionis et Timoleontis. *Ibid.*

Τοὺς ἐκβαλόντας ἑκατέρους] Dionysium juniorem a Dione pulsum constat: de Nicocle (Nam Evagoram in regno suo esse mortuum, Isocrati credo) mihi non liquet. Ælianus quidem eum una cum Stratone, cum quo luxu certarit, male periisse scribit. WOLF.

έ. Καταλαβόντες Ἁλόνησον] Halonesus, Cycladum una, fuit olim Atheniensium: sed cum parvi momenti esset, neglectam reliquerant. A piratis occupata, stationem præbebat ipsorum navibus, atque opportunitatem in maritimam Macedoniæ oram invadendi. Quamobrem illos vi Philippus ejecit; urbis et insulæ potitus est. Rem ægre Athenienses tulerunt: quippe quibus Macedonis incrementa suspecta forent, et illinc immineret Sciatho et Peparetho, duabus insulis reipublicæ. Armis eam repetere, quam sponte a Philippo oblatam accipere maluerunt, si huic, quam expendimus, epistolæ fides haberi debeat. [Quin et Æschines testis est, populo suasisse Demosthenem donum repudiare, si diceret Philippus se διδόναι, non ἀποδιδόναι· in Ctesiph. §. 30.] Negotium Peparethiis datum, qui eorundem Atheniensium societatem et militum præsidium jam olim amplexati fuerant; feli-

τοὺς φρουροὺς ἀπεδίδοσαν, πέμψαντος ὑπὲρ αὐτῶν ἐμοῦ πολλάκις. ὑμεῖς δ᾽, ὧν μὲν ἠδίκησαν ἐμὲ Πεπαῤῥήθιοι, τούτων μὲν οὐδὲν ἐπεσκήψασθε· τὴν δὲ [1]τιμωρίαν ἀκριβῶς εἰδότες· καίτοι, τὴν νῆσον οὔτ᾽ ἐκείνους, οὔτε ὑμᾶς ἀφειλόμην, ἀλλὰ τὸν λῃστὴν Σώστρατον. εἰ μὲν οὖν αὐτοί φατε παραδοῦναι Σωστράτῳ, λῃστὰς ὁμολογεῖτε καταπέμπειν· εἰ δὲ ἀκόντων ὑμῶν ἐκεῖνος κατεκράτει, τί δεινὸν πεπόνθατε, λαβόντος ἐμοῦ, καὶ τὸν τόπον τοῖς πλέουσιν ἀσφαλῆ παρέχοντος; τοσαύτην δέ μου ποιουμένου πρόνοιαν τῆς ὑμετέρας πόλεως, καὶ διδόντος αὐτῇ τὴν νῆσον, οἱ ῥήτορες λαμβάνειν μὲν οὐκ εἴων, ἀπολαβεῖν δὲ συνεβούλευον· ὅπως ὑπομείνας μὲν τὸ προςτασσόμενον, τὴν ἀλλοτρίαν ἔχειν ὁμολογῶ· μὴ προειμένος δὲ τὸ χωρίον, ὕποπτος γένωμαι τῷ πλήθει. γνοὺς ἐγὼ ταῦτα, προυκαλούμην κριθῆναι περὶ τούτων πρὸς ὑμᾶς, ἵν᾽, εἰ μὲν ἐμὴ γνωσθῇ, παρ᾽ ἐμοῦ δοθῇ τὸ χωρίον ὑμῖν· ἐὰν δὲ ὑμετέρα κριθῇ, τότε ἀποδῶ τῷ δήμῳ. ταῦτα δέ μου πολλάκις ἀξιοῦντος, ὑμεῖς μὲν οὐ προςείχετε, Πεπαῤῥήθιοι δὲ τὴν νῆσον κατέλαβον. τί οὖν ἐχρῆν με ποιεῖν; οὐ δίκην λαβεῖν παρὰ τῶν ὑπερβεβηκότων τοὺς ὅρκους; οὐ τιμωρήσασθαι τοὺς οὕτως ὑπερηφάνως ἀσελγαίνοντας; καὶ γάρ, εἰ Πεπαῤῥηθίων ἦν ἡ νῆσος, τί προςῆκεν ἀπαιτεῖν Ἀθηναίους; εἰ δὲ ὑμετέρα, πῶς οὐκ ἐκείνοις ὀργίζεσθε καταλαβοῦσι τὴν ἀλλοτρίαν;

ϛ΄. Εἰς τοῦτο δὲ προβεβήκαμεν ἔχθρας, ὥςτε βουλόμενος ταῖς ναυσὶν εἰς τὸν Ἑλλήσποντον παραβαλεῖν, ἠναγκάσθην αὐτὰς παραπέμψαι διὰ Χεῤῥονήσου τῇ στρατιᾷ, τῶν μὲν κληρούχων κατὰ τὸ Πολυκράτους δόγμα πολε-

[1] τιμωρίαν, ἀκριβῶς εἰδότες, ὅτι τὴν

citer quoque gestum est. Philippus injuriam ulturus, Peparethum vastat, magnisque cladibus afficit. Idque merito se fecisse his literis gloriatur. *Lucches.* STOCK.

Τοὺς φρουροὺς] O. *τοὺς φῶρας, τουτέστι τοὺς λῃστάς.* Idem *ἐπεσκέψασθε* pro *ἐπεσκήψασθε.* F. *τούτοις μὲν οὐδὲν ἐπεσκήψασθε.* Sed *φρουροὺς* rectius legi existimo. Nam Philippus, Sostrato expulso, utique præsidium insulæ imposuerat: quod Peparethii in suam potestatem redactum detinuerunt. WOLF.

Πεπαῤῥήθιοι] Strabo lib. 9. Contra Magnesiam quidem frequentes incumbunt insulæ. Nobiliores sunt Sciathus et Peparethus, et Irus, et Scyrus, cum ejusdem nominis urbibus. IDEM.

Τὴν δὲ τιμωρίαν ἀκριβῶς εἰδότες, καίτοι] Fel. *τὴν δὲ τιμωρίαν, ἀκριβῶς εἰδότες, ὅτι.* Ego malim sic: *ἐπεσκήψασθε, ἀκριβῶς εἰδότες· τὴν δὲ τιμωρίαν διεβάλετε* vel *διεσύρατε,* vel *νῦν συκοφαντεῖτε.* Videtur enim et inversus esse ordo verborum, et deesse verbum aliquod. IDEM.

ϛ΄. Κατὰ τὸ Πολυκράτους δόγμα] Multum apud cives suos gratia et auctoritate valuit Polycrates, et sæpius Philippi

μούντων ἡμῖν, ὑμῶν δὲ τοιαῦτα ψηφιζομένων, τοῦ δὲ στρατηγοῦ Βυζαντίους τε παρακαλοῦντος, καὶ [1] διαγγέλλειν πρὸς ἅπαντας, ὅτι [2] πάλιν αὐτῷ προστάττετε, ἂν καιρὸν λάβῃ. τοιαῦτα δὲ πάσχων, ὅμως τῆς πόλεως, καὶ τῶν τριηρῶν, καὶ τῆς χώρας ἀπεσχόμην, ἱκανὸς ὢν τὰ πλεῖστα λαβεῖν, ἢ πάντα· καὶ διατετέλεκα προκαλούμενος ὑμᾶς εἰς κρίσιν ἐλθεῖν, ὑπὲρ ὧν αἰτιώμεθα ἀλλήλους. καίτοι σκοπεῖσθε, πότερον κάλλιόν ἐστιν, ὅπλοις ἢ λόγοις διακρίνεσθαι· καὶ πότερον αὐτοὺς εἶναι βραβευτὰς, ἢ πεῖσαί τινας ἑτέρους· καὶ λογίζεσθ', ὡς ἄλογόν ἐστιν Ἀθηναίους, Θασίους μὲν καὶ Μαρωνείτας ἀναγκάσαι περὶ Στρύμης διακριθῆναι λόγοις, αὐτοὺς δὲ πρὸς ἐμὲ μὴ διαλύσασθαι περὶ ὧν [3] ἀμφισβητοῦσι τὸν τρόπον τοῦτον· ἄλλως τε, καὶ γιγνώσκοντας, ὅτι νικηθέντες μὲν οὐδὲν ἀποβαλεῖτε· κρατήσαντες δὲ λήψεσθε τὰ νῦν ὑφ' ἡμῖν ὄντα.

ζ'. Πάντων δέ μοι δοκεῖ παραλογώτατον εἶναι, διότι πέμψαντος ἐμοῦ πρέσβεις ἀπὸ τῆς συμμαχίας πάσης, ἵν' ὦσι μάρτυρες, καὶ βουλομένου ποιήσασθαι πρὸς ὑμᾶς δικαίας ὁμολογίας ὑπὲρ τῶν Ἑλλήνων, οὐδὲ τοὺς περὶ τούτων λόγους ἐδέξασθε παρὰ τῶν πρεσβευόντων, ἐξὸν ὑμῖν, ἢ τῶν κινδύνων ἀπαλλάξαι τοὺς δυσχερὲς ὑποπτεύοντάς τι καθ' ἡμῶν, ἢ φανερῶς ἐξελέγξαί με φαυλότατον ὄντα τῶν ἁπάντων. τῷ μὲν οὖν δήμῳ, ταῦτα συνέφερε· τοῖς δὲ λέγουσιν,

[1] διαγγέλλοντος [2] πολεμεῖν [3] ἀμφισβητοῦμεν

commodis inservivit; etsi jam secus fecerit: sive quo suspicionem dilueret, sive quo fidem suam denuo pluris venderet. *Ex edit.* Stock.

Τοῦ δὲ στρατηγοῦ] Is erat Diopithes. Cæterum omnia, quæ ad hanc epistolam conferant illustrandam, videas apud Leland. Vit. Phil. IV. 2. Stock.

Καὶ διαγγέλλειν πρὸς ἅπαντας ὅτι πάλιν] Recte Felicianus καὶ διαγγέλλοντος πρὸς ἅπαντας, ὅτι πολεμεῖν. Wolf.

Θασίους καὶ Μαρωνείτας ἀναγκάσαι περὶ Στρύμης] Thasus insula Ægæi maris. Maroneum vinum apud Homerum celebratur. Stryme urbs Thraciæ, auctore Stephano. Idem.

Θασίους μὲν καὶ Μαρωνείτας] Maronea et Stryme Thraciæ urbes. Thasus, Ægæi maris insula prope Thraciam: quare nil mirum, si cum in opposito litore aliquid sub imperio habere vellet, de Stryme cum Maronitis disceptaret. Hanc vero controversiam circa Timothei tempora habitam fuisse, nullus dubito. Tunc enim respublica longe lateque per ea loca dominabatur, ac plurimum sociis urbibus ejus judicio stare opus erat. *Lucches.* Stock.

ζ'. Πέμψαντος ἐμοῦ πρέσβεις] Legationem eam post obsessas urbes Perinthum et Byzantium missam fuisse censet Lucchesinius; cum Philippus ad Persicum bellum totius Græciæ nomine suscipiendum adspiraret, atque adeo nollet pacem dirimere, cuperetque honestis, ut loquebatur, conditionibus dissidia componere. Hinc Athenas suos cum sociorum legatis oratores misit, ut inde facilius Atheniensium voluntates permoverentur.—Stock.

οὐκ ἐλυσιτελεῖ· φασὶ γὰρ οἱ τῆς πολιτείας τῆς παρ' ὑμῖν ἔμποροι, τὴν μὲν εἰρήνην, πόλεμον αὐτοῖς εἶναι· τὸν δὲ πόλεμον, εἰρήνην· ἢ γὰρ συναγωνιζομένους τοῖς στρατηγοῖς, ἢ συκοφαντοῦντας, [1]ἀντιλαμβάνειν παρ' αὐτῶν. ἔτι δὲ τῶν πολιτῶν τοῖς γνωριμωτάτοις καὶ [2]τοῖς ἔξωθεν τοῖς ἐνδοξοτάτοις λοιδορουμένους ἐπὶ τοῦ βήματος, [3]περιποιεῖσθε παρὰ τοῦ πλήθους δόξαν ὡς εἰσι δημοτικοί. ῥάδιον μὲν οὖν ἐστί μοι παῦσαι τῆς βλασφημίας αὐτοὺς, μικρὰ πάνυ προεμένῳ, καὶ ποιῆσαι λέγειν ἐπαίνους ὑπὲρ ἡμῶν. ἀλλ' αἰσχυνοίμην ἂν, εἰ τὴν πρὸς [4]ὑμᾶς εὔνοιαν παρὰ τούτων φαινοίμην ὠνούμενος, οἳ πρὸς τοῖς ἄλλοις εἰς τοῦτο τόλμης ἥκουσιν, ὥστε καὶ περὶ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἀμφισβητεῖν ἐπιχειροῦσιν, ὑπὲρ ἧς τῶν ἀντιποιουμένων αὐτῆς [5]οἶμαι πολὺ δικαιότερα λέγειν αὐτός· εἴτε γὰρ τῶν ἐξ ἀρχῆς κρατησάντων γίγνεται, πῶς οὐ δικαίως ἡμεῖς αὐτὴν ἔχομεν, Ἀλεξάνδρου τοῦ προγόνου πρώτου κατασχόντος τὸν τόπον; ὅθεν καὶ τῶν αἰχμαλώτων Μήδων ἀπαρχὴν ἀνδριάντα χρυσοῦν ἀνέστησεν εἰς Δελφούς· εἴτε τούτων μὲν ἀμφισβητήσειέ τις, ἀξιοῖ δὲ γίγνεσθαι τῶν ὕστερον γενομένων κυρίων, ὑπάρχει μοι καὶ τοῦτο τὸ δίκαιον· ἐκπολιορκήσας γὰρ τοὺς ὑμᾶς μὲν ἐκβαλόντας, ὑπὸ Λακεδαιμονίων δὲ κατοικισθέντας, ἔλαβον τὸ χωρίον. καίτοι, πάντες οἰκοῦμεν τὰς πόλεις, ἢ τῶν προγόνων παραδόντων, ἢ κατὰ πόλεμον κύριοι καταστάντες. ὑμεῖς δὲ οὔτε πρῶτοι λαβόντες, οὔτε νῦν

[1] ἀεί τι λαμβάνειν [2] τῶν [3] περιποιεῖσθαι [4] * ἡμᾶς [5] οἴομαι πολὺ δικαιότερα ἂν λέγειν

Τῆς παρ' ὑμῖν πολιτείας ἔμποροι] *Vestræ reipublicæ mercatores, nundinatores, caupones.* Legendum utique, ἔμπειροι, *gnari.* οἱ γὰρ λέγοντες οἱ τῆς πολιτείας ἔμποροί εἰσιν, οὐχὶ δὲ, οἱ ἀπαγγέλλοντες Φιλίππῳ. Oratores, quod turpissimum esse scribit Cicero, quæstui habent rempublicam. Wolf.

Τῆς πολιτείας τῆς παρ' ὑμῖν ἔμποροι] Sic editi fere omnes: quæ si vera lectio sit, in commate sequenti pro αὐτοῖς scribendum videtur αὑτοῖς. *Dicunt ii, qui in rep. vestra administranda mercatum exercent, pacem ipsis bellum esse,* &c. Sed melius multo Wolfius, duorum Codd. MSS. auctoritate munitus, pro ἔμποροι dedit ἔμπειροι· quem in convertendo sequuntur Tourellius et Lucchesinius. Stock.

Τὴν μὲν εἰρήνην πόλεμον αὐτοῖς εἶναι] Vide annotationes in Philippicam Isocratis. Wolf.

Ἀλεξάνδρου τοῦ προγόνου πρώτου κατασχόντος] Plures in eum locum, qui primo Novem Viæ nuncupabatur, colonias deductas fuisse memorat Thucydides, l. 4. ac postmodum a finitimis populis (et ab ipso fortasse Alexandro, Philippi regis avo) ejectas. Amphipolis autem ipsa annis 30 post bellum Persicum, et mortuo jam Alexandro isto, fundata fuit ab Niciæ filio Agnone. Stock.

Ὑμᾶς μὲν ἐκβαλόντας] Brasidas Lacedæmoniorum dux Amphipolim eripuerat Atheniensibus. Exinde libera mansit, donec in Philippi ditionem venit. *Ex edit.* Stock.

ἔχοντες, ἐλάχιστον δὲ χρόνον ἐν τοῖς τόποις ἐμμείναντες, ἀντιποιεῖσθε τῆς πόλεως, καὶ ταῦτα πίστιν ὑπὲρ ἡμῶν αὐτοὶ βεβαιοτάτην ἐπιθέντες· πολλάκις γὰρ ἐμοῦ γράφοντος ἐν ταῖς ἐπιστολαῖς ὑπὲρ αὐτῆς, [1] ἐγνωκότες δικαίως ἔχειν ἡμᾶς, τότε μὲν ποιησάμενοι τὴν εἰρήνην, ἔχοντος ἐμοῦ τὴν πόλιν κατὰ συμμαχίαν ἐπὶ ταῖς αὐταῖς ὁμολογίαις. καίτοι, πῶς ἂν ἑτέρα γένοιτο βεβαιοτέρα ταύτης κτῆσις, τῆς τὸ μὲν ἐξαρχῆς καταλειφθείσης ἡμῖν ὑπὸ τῶν προγόνων, πάλιν δὲ κατὰ πόλεμον ἐμῆς γεγενημένης, τρίτον δὲ συγχωρηθείσης ὑφ᾽ ὑμῶν τῶν εἰθισμένων ἀμφισβητεῖν καὶ τῶν οὐδὲν ὑμῖν προσηκόντων;

η΄. Ἃ μὲν οὖν ἐγκαλῶ, ταῦτ᾽ ἐστίν· ὡς δὲ προϋπαρχόντων, καὶ διὰ τὴν ἐμὴν εὐλάβειαν μᾶλλον ἤδη τοῖς πράγμασιν ἐπιτιθεμένων, καὶ καθ᾽ ὅσον ἂν δύνησθε κακοποιούντων, ὑμᾶς ἀμυνοῦμαι μετὰ τοῦ δικαίου· καὶ μάρτυρας τοὺς θεοὺς ποιησάμενος, διαλήψομαι περὶ τῶν καθ᾽ ὑμᾶς.

[1] ἐγνώκατε

Ὑπὲρ αὐτῆς, ἐγνωκότες] Lege ἐγνώκατε, et mox, τότε μὲν ποιησάμενοι, ἔχοντος δ᾽ ἐμοῦ. Wolf.

Τότε] *Tunc*, nempe, tunc quum ego ad vos scriberem epistolas, et vos cognosceretis me juste possidere Amphipolim. Auger.

Ἔχοντος ἐμοῦ τὴν πόλιν κατὰ συμμαχίαν ἐπὶ ταῖς αὐταῖς ὁμολογίαις] Exhibui verba, quomodo ipsa repræsentant Editores Paris. et Veneti: nec tamen video, qui sensus ex iis commode elici possit, nisi ad hunc modum liceat convertere: *habente me civitatem sociæ urbis nomine in ipsis illis fœderibus.* Wolfius suo periculo dedit, καὶ τὴν συμμαχίαν. Verum propius abest a recepta lectione ea, quam e Luteciano codice idem ille Wolfius excerpsit, κᾶτα συμμαχίαν, et deinde *societatem.* Stock.

η΄. Προϋπαρχόντων] Ad hoc participium et ad ea quæ sequuntur, subaudi ὑμῶν. Auger.

Διαλήψομαι περὶ τῶν καθ᾽ ὑμᾶς] S. πραγμάτων, ἢ διαφορῶν. *Distinguam* vel *dijudicabo res vestras*, hoc est, transigam controversiam et litem decidam. Conferant studiosi quædam loca Panegyrici Isocratis, et Archidami, cum hac epistola, ubi illic de jure principatus et Messenæ, hic Amphipoleos agitur. Wolf.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΤΟΥ ΠΡΟΣ ΤΗΝ ΦΙΛΙΠΠΟΥ ΕΠΙΣΤΟΛΗΝ.

Ὁ ΦΙΛΙΠΠΟΣ πρὸς τοὺς Ἀθηναίους πέπομφεν ἐπιστολὴν, κατηγορῶν αὐτῶν, καὶ πόλεμον προκηρύττων ἄντικρυς. οὐκ ἔτι οὖν ὁ ῥήτωρ πείθει τοὺς Ἀθηναίους πολεμεῖν· ἀνάγκη γάρ· ἀλλὰ θαρσύνει πρὸς τὸν κίνδυνον, εὐκαθαίρετον λέγων τὸν Μακεδόνα.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΡΟΣ ΤΗΝ ΦΙΛΙΠΠΟΥ ΕΠΙΣΤΟΛΗΝ ΛΟΓΟΣ.

Ol. 110, 1.

α΄. ὍΤΙ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' [1]ἀνεβάλλετο τὸν πόλεμον, πᾶσιν ὑμῖν φανερὸν γέγονεν· ἐπειδὴ γὰρ Φαρσαλίοις Ἅλον παρέδωκε, καὶ τὰ περὶ Φωκέας διῳκήσατο, καὶ τὴν Θρᾴκην κατεστρέψατο πᾶσαν, αἰτίας οὐκ οὔσας πλασάμενος, καὶ προφάσεις ἀδίκους ἐξευρὼν, τῷ μὲν ἔργῳ πάλαι πολεμεῖ πρὸς τὴν πόλιν, τῷ δὲ λόγῳ νῦν ὁμολογεῖ διὰ τῆς ἐπιστολῆς ἧς ἔπεμψεν. ὅτι δὲ χρὴ μήτε ὀῤῥωδεῖν ἡμᾶς τὴν ἐκείνου δύναμιν, μήτε ἀγεννῶς ἀντιταχθῆναι πρὸς αὐτὸν, ἀλλὰ καὶ σώμασι, καὶ χρήμασι, καὶ ναυσὶ, καὶ πᾶσιν, ὡς

[1] ἀνεβάλετο

Φαρσαλίοις] Pharsalos, Thessaliæ oppidum, pugna Pompeii et Cæsaris nobilitatum. Halos fortasse una ex illis Thessaliæ urbibus, quarum meminisse Strabo non operæ pretium esse censuit. Sed Stephanus: ἅλος πόλις ἀχαΐας καὶ φθιώτιδος, ἀπὸ τῆς συμβάσης ἀθάμαντι ἅλης. Sed Demosthenici codices ἅλον aspirant, ut a *salinis* id oppidum dici potius, quam ab *errore*, videatur. Wolf.

Ἅλον] Halus, urbs Thessaliæ, juxta fluvium Amphrysum; quam a Parmenione expugnatam, Philippus Pharsaliis dederat. *Ex edit.* Stock.

Τὰ περὶ Φωκέας] Phocense bellum, quod et sacrum dicitur, vel ex Justino

ἁπλῶς εἰπεῖν, ἀφειδῶς ὁρμῆσαι πρὸς τὸν πόλεμον, ἐγὼ πειράσομαι διδάσκειν.

β΄. Πρῶτον μὲν γὰρ εἰκὸς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς μεγίστους ἡμῖν ὑπάρχειν συμμάχους καὶ βοηθοὺς, ὧν ἐκεῖνος τὰς πίστεις ὑπερβὰς, καὶ τοὺς ὅρκους ὑπεριδὼν, λέλυκεν ἀδίκως τὴν εἰρήνην· ἔπειθ᾽, οἷς πρότερον ηὐξήθη, φενακίζων ἀεί τινας, καὶ μεγάλα ἐπαγγελλόμενος εὐεργετήσειν, πάντα ταῦτα διεξελήλυθεν ἤδη· καὶ γινώσκεται μὲν ὑπὸ τῶν Περινθίων καὶ Βυζαντίων καὶ τῶν ἐκείνοις συμμαχούντων, ὡς ἐπιθυμεῖ προσενεχθῆναι τούτοις τὸν αὐτὸν τρόπον ὅνπερ Ὀλυνθίοις πρότερον. οὐκ ἀγνοεῖται δὲ ὑπὸ Θετταλῶν δεσπόζειν, ἀλλ᾽ οὐχ ἡγεῖσθαι τῶν συμμάχων, προαιρούμενος. ὑποπτεύεται δὲ ὑπὸ [1]τῶν Θηβαίων, Νίκαιαν μὲν φρουρᾷ κατέχων, εἰς δὲ τὴν Ἀμφικτυονίαν εἰσδεδυκώς· τὰς δὲ πρεσβείας τὰς ἐκ Πελοποννήσου πρὸς αὑτὸν ἄγων, καὶ τὴν ἐκείνων συμμαχίαν παραιρούμενος· ὥστε τῶν αὐτῷ πρὸ τοῦ φίλων ὄντων, τοὺς μὲν νῦν πολεμεῖν ἀκαταλλάκτως, τοὺς δὲ μηκέτι προθύμους εἶναι συναγωνιστάς· ἅπαντας δὲ ὑφορᾶσθαι, καὶ διαβεβλῆσθαι πρὸς αὐτόν. ἔτι τοίνυν,—οὐδὲ

[1] Deest articulus.

nemini est ignotum. Wolf.

β΄. Περινθίων καὶ Βυζαντίων] Perinthus clara urbs in Propontide, olim Thraciæ metropolis, postea Heraclea dicta. Byzantium clarissima Thraciæ civitas, quæ hodie Constantinopolis, anno abhinc 95. Turcicæ ditionis facta. Idem.

Καὶ τῶν ἐκείνοις συμμαχούντων] Chii, Rhodii, aliique populi cum Byzantiis Perinthiisque adversus Philippum arma consociaverant. *Ex edit.* Stock.

Ὅνπερ Ὀλυνθίοις] Notum Olynthiorum excidium, de quo dictum illud memorabile fertur, Philippum non tam facile conditurum talem urbem, qualem evertisset. Wolf.

Νίκαιαν] Urbs prope Thermopylas, τῶν Ἐπικνημιδίων Λοκρῶν hic intelligatur, non Bithynica. Idem.

Νίκαιαν] Ostendimus in Phil. II. 4. Philippum Nicæam, quæ in Pylarum faucibus jacebat, dono Thebanis dedisse. Cum tamen sua nimium interesset Thermopylarum transitum custodire, quæcumque munitiones iis locorum angustiis imminebant, suorum denique militum præsidio custodire voluit. *Lucches.* Stock.

Ἀμφικτυονίαν] Amphictyones, qui circum Delphos habitabant et ad Pylæam conveniebant, πυλαγόραι καὶ ἱερομνήμονες dicti, id est, Pylææ præsides et legati. Pylæa vero est congressus Amphictyonum, in Pylis, quæ et Thermopylæ, fieri solitus, Hesychio auctore. Vide Strabonem lib. 8. et 9. copiosius hæc explicantem. Ἀμφικτυονίαν hic non tam locum, in quo convenire fuerint soliti, quam ipsam dignitatem Amphictyonum τὴν Πυλαίαν intelligo, de qua vide orationem περὶ εἰρήνης. Wolf.

Πρεσβείας τὰς ἐκ Πελοποννήσου πρὸς αὑτὸν ἄγων] Eo tempore, ut videtur, quo Argivorum et Messeniorum controversiis se immiscuit. Vide Arg. Tourellii in Phil. II. *Ex edit.* Stock.

Τὴν ἐκείνων συμμαχίαν] Arcades fortasse intelligit, quanquam etiam alii ex Peloponnensibus cum Thebanis conjuncti fuere. Wolf.

Ὑφορᾶσθαι καὶ διαβεβλῆσθαι πρὸς αὐτὸν] 2. Philip. μέλλειν πρὸς τοὺς Θηβαίους αὐτὸν ὑπόπτας ἔχειν. et paulo post: τὰ συμμαχικὰ τῷ Φιλίππῳ πρὸς ὑποψίαν ἥκοντα καὶ δυσμένειαν, hoc est: ὑφορᾶσθαι Φίλιππον

γὰρ τοῦτ' ἔστι μικρὸν—, οἱ κατὰ τὴν Ἀσίαν σατράπαι καθεστῶτες, ἔναγχος μὲν ξένους μισθοφόρους εἰςπέμψαντες, ἐκώλυσαν ἐκπολιορκηθῆναι Πέρινθον. νυνὶ δὲ τῆς ἔχθρας αὐτοῖς ἐνεστώσης, καὶ τοῦ κινδύνου πλησίον ὄντος, εἰ χειρωθήσεται Βυζάντιον, οὐ μόνον αὐτοὶ προθύμως συμπολεμήσουσιν, ἀλλὰ καὶ βασιλέα τῶν Περσῶν χρήματα χορηγεῖν ἡμῖν προτρέψονται· ὃς τοσοῦτον μὲν κέκτηται πλοῦτον, ὅσον οὐδ' οἱ λοιποὶ πάντες. τηλικαύτην δ' ἔχει ῥώμην πρὸς τὰς ἐνθάδε πράξεις, ὥςτε καὶ πρότερον ἡνίκα Λακεδαιμονίοις ἐπολεμοῦμεν, ὁποτέροις [1] πρόςθειτο, τούτους ἐποίει κρατεῖν τῶν ἑτέρων. καὶ νῦν μεθ' ἡμῶν γενόμενος, ῥᾳδίως καταπολεμήσει τὴν Φιλίππου δύναμιν.

γ'. Πρὸς τούτοις τοίνυν τηλικούτοις οὖσιν, οὐκ ἐρῶ μὲν, ὡς οὐ διὰ τὴν εἰρήνην πολλὰ προείληφεν ἡμῶν χωρία, καὶ λιμένας, καὶ τοιαῦθ' ἕτερα χρήσιμα πρὸς πόλεμον. ὁρῶ δὲ, ὡς ὅταν μὲν ὑπ' εὐνοίας τὰ πράγματα συνέχηται, καὶ ταὐτὰ πᾶσι συμφέρει τοῖς μετέχουσι τῶν πολέμων, μένει τὰ συσταθέντα βεβαίως· ὅταν δὲ ἐξ ἐπιβουλῆς καὶ πλεονεξίας ἀπάτῃ καὶ βίᾳ κατέχηται, καθάπερ [2] ἀπὸ τούτου νῦν, μικρὰ πρόφασις καὶ τὸ τυχὸν πταῖσμα ταχέως ἅπαντα διέσεισε καὶ διέλυσε. καὶ πολλάκις εὑρίσκω λογιζόμενος, οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ τῷ Φιλίππῳ πρὸς ὑποψίαν ἥκοντα καὶ δυσμένειαν, ἀλλὰ καὶ τὰ τῆς ἰδίας ἀρχῆς οὐ συνηρμοσμένα καλῶς, οὐδ' οἰκείως, οὐδ' ὡς οἴεταί τις· ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις, ἐν μὲν προσθήκης μέρει, ῥοπὴν ἔχει τινὰ καὶ χρῆσιν· αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενής ἐστι, καὶ πρὸς τηλικοῦτον ὄγκον πραγμά-

[1] πρόσθοιτο [2] ὑπὸ

καὶ δυσμενῆ ἔσεσθαι αὐτῷ. IDEM.

Ὑφορᾶσθαι καὶ διαβεβλῆσθαι πρὸς αὐτὸν] Intellige, *suspecto et criminoso modo habere se erga ipsum.* AUGER.

Νυνὶ δὲ τῆς ἔχθρας αὐτοῖς ἐνεστάσης] Prædictio hæc eventu rata fuit. Quippe Alexander, in literis ad Darium scriptis, memorat auxilia quæ satrapæ Perinthiis miserant, tanquam dissidii causam præcipuam. *Ex edit.* STOCK.

Ὁποτέροις πρόσθειτο, τούτους ἐποίει κρατεῖν τῶν ἑτέρων] Quod hic dicit Orator, ex historia satis liquet. In bello enim Pelop. Spartani, a Persis adjuti, Athenas devicerunt. Conon deinde, eorundem ope, res afflictas Atheniensium restituit. Postremo, Artaxerxes omnes Græcos ab armis discedere jussit; qui secus faceret, se pro hoste habiturum minatus. Ita domesticis Græcorum discordiis, Persarum rex pacis ac belli arbiter factus est. *Ibid.*

γ'. Οὐκ ἐρῶ μὲν, ὡς οὐ διὰ τὴν εἰρήνην] Concessio est, οὐκ ἀρνήσομαι. Occupavit ille quidem multa: sed minime ei profutura. Ea, quæ sequuntur, repetita pleraque sunt

των εὐκαταφρόνητος. ἔτι δὲ αὐτὴν οὗτος αὐτὸς τοῖς πολέμοις καὶ ταῖς στρατείαις, καὶ πᾶσιν οἷς ἄν τις μέγαν εἶναι νομίσειε, σφαλερωτέραν αὐτῷ πεποίηκε· μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς [1]χαίρειν Φίλιππόν τε καὶ τοὺς ἀρχομένους· ἀλλ᾽ ἐννοεῖσθε, ὡς ὁ μὲν ἐπιθυμεῖ δόξης, οἱ δὲ ἀσφαλείας· καὶ αὐτῷ μὲν οὐκ ἔστι τυχεῖν ταύτης ἀκινδύνως· οἱ δ᾽ οὐδὲν δέονται, καταλιπόντες οἴκοι τέκνα, γονεῖς, γυναῖκας, φθείρεσθαι, καὶ καθ᾽ ἑκάστην ἡμέραν κινδυνεύειν ὑπὲρ αὐτοῦ· [2]ὥστε, τοὺς μὲν πολλοὺς τῶν Μακεδόνων ἐκ τούτων ἄν τις ἴδοι, πῶς διάκεινται πρὸς τὸν Φίλιππον· τοὺς δὲ περὶ αὐτὸν ὄντας ἑταίρους καὶ τοὺς τῶν ξένων ἡγεμόνας εὑρήσετε, δόξαν μὲν ἔχοντας ἐπ᾽ ἀνδρίᾳ, περιδεῶς δὲ μᾶλλον τῶν ἀδόξων ζῶντας· τοῖς μὲν [3]γὰρ πρὸς τοὺς πολεμίους μόνον ὑπάρχει κίνδυνος· οἱ δὲ τοὺς κόλακας καὶ τοὺς διαβάλλοντας [4]αὑτοὺς μᾶλλον ἢ τὰς μάχας δεδίασι. κἀκεῖνοι μὲν μετὰ πάντων ἀγωνίζονται πρὸς τοὺς ἀντιταχθέντας· τοῖς δὲ καὶ τῶν ἐν τοῖς πολέμοις κακῶν οὐκ ἐλάχιστον μέρος μέτεστι· καὶ χωρὶς ἰδίᾳ φοβεῖσθαι τὸν τρόπον τὸν τοῦ βασιλέως συμβέβηκεν. ἔτι δὲ, τῶν μὲν πολλῶν ἐπειδὰν ἁμάρτῃ τις, ζημίαν κατὰ τὴν ἀξίαν εἴληφεν· οἱ δ᾽, [5]ὅταν μέγιστα κατορθώσωσι, τότε μάλιστα σκορακίζονται καὶ προπηλακίζονται παρὰ τὸ προσῆκον· καὶ τούτοις οὐδ᾽ ἂν εἷς εὖ φρονῶν ἀπιστήσειεν· οὕτω γὰρ αὐτὸν φιλότιμον εἶναί φασιν οἱ συνδιατρίψαντες, ὥστε βουλόμενον τὰ κάλλιστα τῶν ἔργων [6]πάντα αὑτοῦ δοκεῖν εἶναι, μᾶλλον ἄχθεσθαι τῶν στρατηγῶν καὶ τῶν ἡγεμόνων τοῖς ἄξιον ἐπαίνου τι πράξασιν, ἢ τοῖς ὅλως ἀποτυχοῦσι.

δʹ. Πῶς οὖν, εἴπερ ἐστὶ ταῦτα τοιαῦτα, πιστῶς ἤδη πολὺν χρόνον αὐτῷ παραμένουσιν; ὅτι νῦν μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς τοιούτοις· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας εἰσὶ τῶν ἀνθρώπων· εἰ δέ τι πταίσει, τότ᾽ ἀκρι-

[1] Φίλιππόν τε χαίρειν [2] ὥστε καὶ, τοὺς [3] γὰρ ὁ πρὸς
[4] αὐτοὺς [5] * ὅταν τὰ μέγιστα [6] ἅπαντ᾽ αὐτοῦ

e secunda (prima) Olynthiaca. WOLF.
Ταύτης] Nempe τῆς δόξης. AUGER.

Οὐκ ἐλάχιστον] Malim οὔτ᾽, quia sequitur καί. WOLF.

βῶς διακαλυφθήσεται πάντα ταῦτα· συμβαίνει γὰρ, ὥσπερ ἐν τοῖς σώμασιν ἡμῶν, ὅταν μὲν ἐῤῥωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν· ἐπὰν δὲ ἀῤῥωστήσῃ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα, κἂν ἄλλο τι τῶν ὑπαρχόντων ᾖ μὴ τελέως ὑγιαῖνον· οὕτω καὶ τῶν βασιλειῶν καὶ πασῶν τῶν δυναστειῶν, ἕως μὲν ἂν ἐν τοῖς πολέμοις κατορθῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστίν· ἐπὰν δέ τι πταίσωσιν, ὃ νῦν εἰκὸς παθεῖν ἐκεῖνον μεῖζον φορτίον ἢ καθ' αὑτὸν ἀράμενον, γίγνεται φανερὰ τὰ δυσχερῆ πάντα τοῖς ἅπασιν.

ε΄. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον ὁρῶν [1]εὐτυχοῦντα, φοβερὸν εἶναι νομίζει, καὶ δυσπολέμητον, σώφρονος μὲν ἀνδρὸς χρῆται προνοίᾳ· μεγάλη γὰρ ῥοπὴ, μᾶλλον δὲ τὸ ὅλον, ἡ τύχη ἐστὶ πρὸς ἅπαντα τὰ τῶν ἀνθρώπων πράγματα. κατὰ πολλοὺς μέντοι τρόπους, ἕλοιτ' ἄν τις οὐχ ἧττον τὴν ἡμετέραν εὐτυχίαν ἢ τὴν ἐκείνου· παρά τε γὰρ τῶν προγόνων ἐκ πλείονος χρόνου παρειλήφαμεν τὴν ἡγεμονίαν, οὐ τούτου μόνον, ἀλλὰ, συνελόντι φράσαι, πάντων τῶν ἐν Μακεδονίᾳ βασιλευσάντων· κἀκεῖνοι μὲν Ἀθηναίοις φόρους ἤνεγκαν· ἡ δ' ἡμετέρα πόλις [2]οὐδενί πω τῶν ἁπάντων ἀνθρώπων. ἔτι δὲ, τοσούτῳ πλείους ἀφορμὰς αὐτοῦ πρὸς [3]τὴν τῶν θεῶν εὔνοιαν ἔχομεν, ὅσῳ διατελοῦμεν εὐσεβέστερα καὶ δικαιότερα πράττοντες. τί ποτ' οὖν ἐκεῖνος ἐν τῷ προτέρῳ πολέμῳ πλείω κατώρθωσεν ἡμῶν; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι,—παῤῥησιάσομαι γὰρ πρὸς ὑμᾶς—, ὁ μὲν αὐτὸς στρατεύεται, καὶ ταλαιπωρεῖ, καὶ τοῖς κινδύνοις πάρεστιν, οὔτε καιρὸν παριεὶς, οὔτε ὥραν ἔτους παραλείπων οὐδεμίαν· ἡμεῖς δὲ,—εἰρήσεται γὰρ τἀληθὲς—, οὐδὲν ποιοῦντες ἐνθάδε καθήμεθα, μέλλοντες ἀεὶ, καὶ ψηφιζόμενοι, καὶ πυνθανόμενοι κατὰ τὴν ἀγορὰν, εἴ τι λέγεται νεώτερον. καίτοι, τί γένοιτ' ἂν νεώτερον, ἢ Μακεδὼν ἀνὴρ, καταφρονῶν Ἀθηναίων, καὶ τολμῶν ἐπιστολὰς πέμπειν τοιαύτας,

[1] εὐτυχοῦντα, ταύτῃ φοβερὸν [2] οὐδενὶ πώποτε τῶν [3] τὴν παρὰ τῶν

ε΄. Φίλιππον ὁρῶν εὐτυχοῦντα] Sallustius in Catilinario: "Sed profecto fortuna in omni re dominatur: ea res cunctas ex libidine magis, quam ex vero, celebrat obscuratque." Cicero 2. Offic. "Magnam vim esse in fortuna in utramque partem, vel secundas ad res, vel adversas, quis ignorat? Nam et cum prospero flatu ejus utimur, ad optatos exitus pervehimur, et, cum reflavit, affligimur." Idem.

Τούτου—τῶν ἐν Μακεδονίᾳ βασιλευσάντων] Hi genitivi reguntur a πλείονος. Auger.

οἵας ἠκούσατε μικρῷ πρότερον; καὶ τῷ μὲν ὑπάρχουσι μισθοφόροι στρατιῶται· καὶ νὴ Δία πρὸς τούτοις τῶν παρ' [1]ἡμῶν ῥητόρων τινὲς, οἳ τὰς παρ' ἐκείνου δωρεὰς οἴκαδε [2]λαμβάνοντες, οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες, οὐδ' αἰσθάνονται πάντα καὶ τὰ τῆς πόλεως, καὶ τὰ σφῶν αὐτῶν, μικροῦ λήμματος πωλοῦντες. ἡμεῖς δὲ, οὔτε τῶν ἐκείνου πραγμάτων οὐδὲν στασιάζειν παρασκευάζομεν, οὔτε ξενοτροφεῖν ἐθέλομεν, οὔτε αὐτοὶ στρατεύεσθαι τολμῶμεν. οὐκοῦν ἐστὶν οὐδὲν θαυμαστὸν, εἴ τι πεπλεονέκτηκεν ἡμῶν κατὰ τὸν πρότερον πόλεμον· ἀλλὰ μᾶλλον, εἰ μηδὲν ποιοῦντες ἡμεῖς, ὧν προσήκει τοὺς πολεμοῦντας, νομίζομεν κρατήσειν τοῦ πάντα πράττοντος, ἃ δεῖ τοὺς πλεονεκτήσειν μέλλοντας.

ϛ΄. Ὧν, ὦ ἄνδρες Ἀθηναῖοι, χρὴ λαβόντας ἔννοιαν, καὶ λογισαμένους ὡς οὐδ' ἐφ' ἡμῖν ἐστὶ τὸ φάσκειν ἄγειν εἰρήνην·—ἤδη γὰρ ἐκεῖνος καὶ προηγόρευκε τὸν πόλεμον, καὶ τοῖς ἔργοις ἐξενήνοχε—, μηδενὸς μὲν φείδεσθαι, μήτε τῶν κοινῶν, μήτε τῶν ἰδίων· στρατεύεσθαι δὲ, ἐάν που καιρὸς ᾖ, προθύμως ἅπαντας· χρῆσθαι δὲ στρατηγοῖς ἀμείνοσιν ἢ πρότερον· μὴ γὰρ ὑπολάβοι τις ὑμῶν, δι' ὧν ἐκ χρηστῶν ἐγένετο τὰ πράγματα χείρω τὰ τῆς πόλεως, διὰ τούτων αὐτὰ πάλιν ἀναλήψεσθαι καὶ γενήσεσθαι βελτίω· μηδὲ νομίσητε, ῥᾳθυμούντων ὑμῶν ὥσπερ πρότερον, ἑτέρους ὑπὲρ τῶν ὑμετέρων ἀγωνιεῖσθαι προθύμως· ἀλλ' ἐννοεῖσθε, ὡς αἰσχρόν ἐστι, τοὺς μὲν πατέρας ὑμῶν πολλοὺς πόνους καὶ κινδύνους μεγάλους ὑποστῆναι Λακεδαιμονίοις πολεμοῦντας, ὑμᾶς δὲ, μηδ' ὑπὲρ ὧν ἐκεῖνοι δικαίως κτησάμενοι παρέδοσαν [3]ἡμῖν, ἐθέλειν ἐῤῥωμένως ἀμύνεσθαι. ἀλλὰ τὸν μὲν ἐκ Μακεδονίας ὁρμώμενον, οὕτως εἶναι φιλοκίνδυνον, ὥσθ' ὑπὲρ τοῦ μείζω ποιῆσαι τὴν ἀρχὴν, κατατετρῶσθαι πᾶν τὸ σῶμα, τοῖς πολεμίοις μαχόμενον. Ἀθηναίους δὲ, οἷς πάτριόν ἐστι μηδενὸς ὑπακούειν, ἁπάντων δὲ [4]κρατεῖν τοῖς πολέμοις,

[1] ἡμῖν [2] λαμβάνειν νομίζοντες, οὐκ [3] ὑμῖν [4] κρατεῖν ἐν τοῖς

ϛ΄. Κατατετρῶσθαι πᾶν τὸ σῶμα] Vide Nostrum *de Corona*, §. 21. et quæ in eum locum annotavimus. STOCK.

Μηδενὸς ὑπακούειν] Malim vel μηδενὶ, vel ἀκούειν simplex verbum. Nam ὑπακούειν genitivo jungi, videtur insolentius: etsi auctorum exempla non desunt, suspecta tamen: et Suidas cum dativo construi monet. Paulo supra, (§. ε΄. *in fin.*) pro ὡς προσήκει, rectius legi videtur ὧν προσήκει:

τούτους διὰ μαλακίαν ἢ ῥᾳθυμίαν ἐγκαταλιπεῖν τά τε τῶν προγόνων ἔργα καὶ τὰ συμφέροντα τῆς πατρίδος.

ζ'. Ἵνα δὲ μὴ μακρολογῶ, φημὶ χρῆναι πάντας ἡμᾶς παρασκευάζεσθαι μὲν πρὸς τὸν πόλεμον· παρακαλεῖν δὲ τοὺς ἄλλους Ἕλληνας, μὴ λόγοις, ἀλλὰ καὶ τοῖς ἔργοις, πρὸς τὴν ὑπὲρ ἡμῶν συμμαχίαν, ὡς ἅπας μέν ἐστι λόγος μάταιος, πράξεων ἄμοιρος γενόμενος· τοσούτῳ δὲ μάλιστα ὁ παρὰ τῆς ἡμετέρας πόλεως, ὅσῳ δοκοῦμεν αὐτῷ προχειρότατα χρῆσθαι τῶν ἄλλων Ἑλλήνων.

et tamen sic quoque videtur cohærere durius cum τοὺς πολεμοῦντας. sed verbum ποιεῖν subintelligitur. WOLF.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΙ.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΣΥΜΜΟΡΙΩΝ ΛΟΓΟΥ.

ΦΗΜΗΣ γενομένης, τὸν Περσῶν βασιλέα παρασκευάζεσθαι στρατεύειν ἐπὶ τοὺς Ἕλληνας, ὁ μὲν τῶν Ἀθηναίων δῆμος κεκίνηται, καὶ συγκαλεῖν ὥρμηται τοὺς Ἕλληνας, καὶ [1] εἰς τὸν πόλεμον ἐκφέρειν ἤδη. ὁ δὲ Δημοσθένης συμβουλεύει μὴ προεξανίστασθαι, ἀλλὰ ἀναμένειν τὸν βασιλέα νεωτερίσαι. νῦν μὲν γὰρ, φησὶν, οὐ πείσομεν τοὺς Ἕλληνας συμμαχεῖν ἡμῖν, ἐπ᾽ ἀδείας εἶναι δοκοῦντας· τότε δὲ, αὐτοὺς ὁ κίνδυνος αὐτὸς συστήσεται. παραινεῖ τοίνυν ἡσυχάζοντας συντάξασθαι, καὶ πρὸς τὸν πόλεμον παρασκευάσασθαι· καὶ δὴ καὶ διέξεισιν, ὃν τρόπον ἂν συνταχθεῖεν· ὅθεν καὶ περὶ συμμοριῶν ὁ λόγος ἐπιγράφεται· συμμορία γὰρ παρὰ τοῖς Ἀττικοῖς, τὸ τῶν λειτουργούντων σύνταγμα.

[1] Deest εἰς.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΕΡΙ ΣΥΜΜΟΡΙΩΝ ΛΟΓΟΣ.

Ol. 106, 3.

ά. ΟἹ μὲν ἐπαινοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς προγόνους ὑμῶν, λόγον εἰπεῖν μοι δοκοῦσι προαιρεῖσθαι κεχαρισμένον, οὐ μὴν συμφέροντά γε ἐκείνοις οὓς ἐγκωμιάζουσι ποιεῖν· περὶ γὰρ πραγμάτων ἐπιχειροῦντες λέγειν, ὧν οὐδ᾽ ἂν εἷς ἀξίως ἐφικέσθαι δύναιτο τῷ λόγῳ, αὐτοὶ μὲν τοῦ δοκεῖν εὖ λέγειν δόξαν ἐκφέρονται· τὴν δὲ ἐκείνων ἀρετὴν ἐλάττω τῆς ὑπει-

Tit. Orat. Συμμορία, Libanio auctore in oratione περὶ ἀντιδόσεως πρὸς Φαίνιππον apud Atticos fuit *cœtus*, *ordo* seu *classis* eorum, qui munera publica graviora sustinebant. Cujus ordinis seu classis socii συμμορῖται dicebantur. Plura vide cum in enarratione Ulpianica secundæ (primæ) Olynthiacæ, tum in hoc ipso commentario. Wolf.

ά. Ὧν ἐφικέσθαι] *Quæ assequi*, id est, quorum magnitudinem dicendo æquare. Idem.

Τὴν τοῦ δοκεῖν εὖ λέγειν δόξαν ἐκφέρονται] Hoc est, eloquentiæ laudem auferunt, approbationem auditorum oratione sua emerentur. Idem.

Ἐλάττω τῆς ὑπειλημμένης] Scilicet περὶ αὐτῶν δόξης. non est προειλημμένης, *præcepta gloria:* sed ἐλάττω, ἢ ὑπείληπται, *minore, quam existimatur esse virtus eorum.*

λημμένης παρὰ τοῖς ἀκούουσι φαίνεσθαι ποιοῦσιν. ἐγὼ δ' ἐκείνων μὲν ἔπαινον τὸν χρόνον ἡγοῦμαι μέγιστον εἶναι, οὗ πολλοῦ γεγενημένου, μείζω τῶν ὑπ' ἐκείνων πραχθέντων οὐδένες ἄλλοι [1] παραδέξασθαι δεδύνηνται. αὐτὸς δὲ πειράσομαι τὸν τρόπον εἰπεῖν, ὃν ἄν μοι δοκῆτε μάλιστα [2] δύνασθαι παρεσκευάσθαι· καὶ γὰρ οὕτως ἔχει· εἰ μὲν ἡμεῖς ἅπαντες [3] οἱ μέλλοντες λέγειν δεινοὶ φανείημεν ὄντες, οὐδὲν ἂν τὰ ὑμέτερα εὖ οἶδ' ὅτι βέλτιον σχοίη· εἰ δὲ παρελθὼν εἰς ὁστισοῦν δύναιτο διδάξαι καὶ πεῖσαι, τίς παρασκευὴ, καὶ πόση, καὶ πόθεν πορισθεῖσα, χρήσιμος ἔσται νῦν τῇ πόλει, πᾶς ὁ παρὼν φόβος λέλυται. ἐγὼ δὲ τοῦτο, ἂν ἄρα οἷός τε ὦ, πειράσομαι ποιῆσαι, μικρὰ προειπὼν ὑμῖν, ὡς ἔχω γνώμης περὶ τῶν πρὸς [4] τὸν βασιλέα.

β'. Ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων εἶναι βασιλέα· οὐ μὴν διὰ ταῦτα παραινέσαιμ' ἂν μόνοις τῶν ἄλλων ὑμῖν πόλεμον πρὸς αὐτὸν ἄρασθαι· οὐδὲ γὰρ αὐτοὺς [5] τοὺς ἕλληνας ὁρῶ κοινοὺς ἀλλήλοις ὄντας φίλους· ἀλλ' ἐνίους μᾶλλον ἐκείνῳ πιστεύοντας, ἢ τισιν αὐτῶν. ἐκ δὴ τούτων τοιούτων ὄντων νομίζω συμφέρειν ὑμῖν τὴν ἀρχὴν τοῦ πολέμου τηρεῖν, ὅπως δικαία γενήσεται· παρασκευάζεσθαι δὲ ἃ προσήκει πάντα, καὶ τοῦθ' ὑποκεῖσθαι τῇ γνώμῃ· ἡγοῦμαι

[1] παραδεῖξασθαι [2] [δύνασθαι] [3] [οἱ μέλλοντες]
[4] Deest articulus. [5] ὁρῶ τοὺς ἕλληνας

Isocrates Busiride: ὅσοι μὲν γὰρ σφᾶς αὐτοὺς οὕτω κατεσχημάτισαν, ὥστε ἢ κατὰ φιλοσοφίαν, ἢ κατ' ἄλλην τινὰ ἀρετὴν ὑπολαμβάνεσθαι μειζόνως, ἢ κατὰ τὴν ἀξίαν, οὗτοι βλάπτουσι τοὺς ἐξαπατηθέντας. ὅσοι δὲ τῶν θείων πραγμάτων οὕτω προέστησαν, ὥστε καὶ τὰς ἐπιμελείας καὶ τὰς τιμωρίας εἶναι δοκεῖν ἀκριβεστέρας τῶν συμβαινόντων· οἱ δὲ τοιοῦτοι πλεῖστα τὸν τῶν ἀνθρώπων βίον ὠφελοῦσιν. Hic, τινὰ ὑπολαμβάνεσθαι κατ' ἀρετὴν μειζόνως, ἢ κατὰ τὴν ἀξίαν, est, *de virtute alicujus majorem esse opinionem, quam is mereatur:* Virtutem alicujus non respondere hominum de ea conceptæ opinioni. Idem.

Παραδέξασθαι] *Suscipere, sustinere,* ὑπομένειν, διαπράξασθαι, ἢ καὶ μιμεῖσθαι καὶ διαδέχεσθαι. Idem.

Λέγειν δεινοὶ] Vehementes oratores, elegantes esse videamur. Idem.

Λέλυται] Ἀντὶ τοῦ λυθείη ἄν. Idem.

Ὡς ἔχω γνώμης] Id est, quid sentiam: quæ mea sententia sit. Postea οὐχ ἡδέως ὑμῖν ἐνίων ἐχόντων, *cum quidam vobis non amicissimi sint.* nota constructio est verbi ἔχω cum genitivis et adverbiis. Idem.

Περὶ τῶν πρὸς τὸν βασιλέα] Scilicet πραγμάτων. de regio negotio. Idem.

β'. Μόνοις τῶν ἄλλων ὑμῖν] Id est, vobis, si ab aliis non adjuvemini, si vos alii destituant: ἐρήμοις συμμάχων οὖσι, καὶ ἐγκαταλειφθεῖσιν ὑπὸ τῶν ἑλλήνων. Idem.

Κοινοὺς φίλους] Ex æquo inter sese omnes amicos esse. Idem.

Ἢ τισιν αὐτῶν] Ἢ ἐνίοις σφῶν αὐτῶν, *quam quibusdam inter ipsos,* id est: Magis diffidunt quibusdam Græcis, quam Regi Persarum. Idem.

Τὴν ἀρχὴν τοῦ πολέμου τηρεῖν, ὅπως δικαία] Pro τηρεῖν, ὅπως ἡ ἀρχὴ τοῦ πολέμου δικαία γενήσεται. Sic, qui nominativi sequenti verbo respondere debebant, in accusativos mutantur, cum priore verbo construuntur: idque sæpissime Terentius imitatus est: ut, *Populo ut placerent, quas fecisset fabulas.* Idem.

Τοῦθ' ὑποκεῖσθαι τῇ γνώμῃ] *Subjacere*

γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς Ἕλληνας, εἰ μὲν ἐναργές τι γένοιτο καὶ σαφὲς, ὡς βασιλεὺς αὐτοῖς ἐπιχειρεῖ, καὶ συμμαχήσειν, καὶ μεγάλην χάριν ἕξειν τοῖς πρὸ αὐτῶν, καὶ μετ' αὐτῶν ἐκεῖνον ἀμυνομένοις. εἰ [1] δέ τι ἀδήλου τούτου καθεστηκότος, προαπεχθησόμεθα ἡμεῖς, δέδια, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τούτοις μετ' ἐκείνου πολεμεῖν ἀναγκασθῶμεν, ὑπὲρ ὧν προνοούμεθα· ὁ μὲν γὰρ [2] ἐπισχὼν ὧν ὥρμηκεν, εἰ ἄρα ἐγχειρεῖν ἔγνωκε τοῖς Ἕλλησι, χρήματα δώσει τισὶν αὐτῶν, καὶ φιλίαν προτενεῖται. οἱ δὲ τοὺς ἰδίους πολέμους ἐπανορθώσασθαι βουλόμενοι, καὶ τοῦτον τὸν νοῦν ἔχοντες, τὴν κοινὴν ἁπάντων σωτηρίαν παρόψονται. εἰς δὲ τὴν ταραχὴν ταύτην καὶ τὴν ἀγνωμοσύνην παραινῶ μὴ προκαθεῖναι τὴν πόλιν ἡμῶν. οὐδὲ γὰρ [3] ἐπίσης ὁρῶ τοῖς τε ἄλλοις Ἕλλησι καὶ [4] ἡμῖν πρὸς τὸν βασιλέα τὴν βουλὴν οὖσαν· ἀλλ' ἐκείνων μὲν πολλοῖς ἐνδέχεσθαί μοι δοκεῖ τῶν ἰδίᾳ τι συμφερόντων διοικουμένοις, τῶν ἄλλων Ἑλλήνων ἀμελῆσαι· ὑμῖν δὲ, οὐδὲ ἀδικουμένοις, παρὰ τῶν ἀδικούντων καλόν ἐστι λαβεῖν ταύτην τὴν δίκην, ἐᾶσαί τινας αὐτῶν ὑπὸ τῷ βαρβάρῳ γενέσθαι.

γ΄. [5] Ὅτι δ' οὕτω ταῦτ' ἔχει, σκεπτέον ἐστὶν, ὅπως μήθ' ἡμεῖς ἐν [6] τῷ πολέμῳ γενησόμεθα οὐκ [7] ἴσοι, μήτ' ἐκεῖνος, ὃν ἡμεῖς ἐπιβουλεύειν ἡγούμεθα τοῖς Ἕλλησι, τὴν τοῦ φίλος αὐτοῖς [8] δοκεῖν εἶναι πίστιν λήψεται. πῶς οὖν ταῦτα ἔσται; ἂν ἡ μὲν δύναμις τῆς πόλεως ἐξητασμένη καὶ παρεσκευασμένη πᾶσιν ᾖ φανερὰ, φαίνηται δὲ [9] δίκαια φρονεῖν

[1] δ' ἔτι [2] ἐπισχὼν ἂν, ὧν [3] ἀπ' ἴσης [4] ἡμῖν περὶ τῶν πρὸς. [5] ὅτε
[6] Deest articulus. [7] ἴσῳ [8] * [δοκεῖν] [9] δίκαια ἐπὶ ταύτῃ φρονεῖν αἱρουμένη·

sententiæ, id est, de hoc esse deliberandum. Idem.

Τοῖς πρὸ αὐτῶν καὶ μετ' αὐτῶν] Non opus est τὸ πρὸ mutare in ὑπέρ: *Ante se et secum*, id est, nos non modo socios, sed etiam duces belli futuros. Idem.

Εἰ δέ τι] Lego εἰ δ' ἔτι. *Si vero adhuc.* Idem.

Προαπεχθησόμεθα] *Auctores inimicitiarum extiterimus.* Si legas προϋπαχθησόμεθα *priores concitabimur*, scilicet ad bellum faciendum, eadem erit sententia. Idem.

Ἐπισχὼν ὧν ὥρμηκεν] *Represso impetu*, vel *mora interposita suis conatibus.* Idem.

Ἐπανορθώσασθαι] *Privata bella corrigere*, id est, vel resarcire factam jacturam, vel majoribus copiis administrare. Idem.

Ἐπ' ἴσης—τὴν βουλὴν οὖσαν] Ἐπ' ἴσης, scilicet μοίρας, ἐπ' ἴσοις μέρεσι, non ea nobis consilia, quæ cæteris Græcis capere licet. Non est eadem deliberandi ratio. Idem.

Λαβεῖν, ἐᾶσαί τινας] Pro ὥστε ἐᾶσαι, *ut sinatis.* Idem.

γ΄. Οὐκ ἴσοι] S. τοῖς ἀντιπάλοις, non pares adversariis, hostibus inferiores. Idem.

Δύναμις ἐξητασμένη] Copiæ delectæ et instructæ spectabantur. ἐξετάζειν δύναμιν, *delectum agere militum, conscribere milites*, qui εἰς ἐξέτασιν ἰέναι dicuntur, cum nomina dant militiæ, et a ducibus inspiciuntur aut lustrantur. Idem.

Φαίνηται δὲ δίκαια φρονεῖν ἐπὶ ταύτῃ τῇ προαιρέσει] Id est, ad propulsandam injuriam parata: non ad fœdera violanda propensa. Lectio variat. Nam pro τῇ προαιρέσει legi αἱρουμένη annotatur. τὸ φρο-

ἐπὶ ταύτῃ τῇ προαιρέσει· τοῖς δὲ θρασυνομένοις καὶ σφόδρα ἑτοίμως πολεμεῖν κελεύουσιν, ἐκεῖνο λέγω, ὅτι οὐκ ἔστι χαλεπὸν, οὔθ', ὅταν βουλεύεσθαι δέῃ, δόξαν ἀνδρίας λαβεῖν, οὔθ', ὅταν κίνδυνός τις ἐγγὺς ᾖ, δεινὸν εἰπεῖν φανῆναι· ἀλλ' ἐκεῖνο καὶ χαλεπὸν καὶ προσῆκον, ἐπὶ μὲν τῶν κινδύνων, τὴν ἀνδρίαν ἐπιδείκνυσθαι· ἐν δὲ τῷ συμβουλεύειν, φρονιμώτερα τῶν ἄλλων εἰπεῖν ἔχειν.

δ'. Ἐγὼ δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζω, τὸν μὲν πόλεμον τὸν πρὸς βασιλέα χαλεπὸν τῇ πόλει· τὸν δὲ ἀγῶνα τὸν ἐκ τοῦ πολέμου ῥᾴδιον ἂν συμβάντα. διὰ τί; ὅτι τοὺς μὲν πολέμους ἅπαντας ἀναγκαίως ἡγοῦμαι τριηρῶν καὶ χρημάτων καὶ τόπων δεῖσθαι. ταῦτα δὲ πάντα ἀφθονώτερα ἐκεῖνον ἔχοντα ἡμῶν εὑρίσκω· τοὺς δὲ ἀγῶνας οὐδενὸς οὕτω τῶν ἄλλων ὁρῶ δεομένους, ὡς ἀγαθῶν ἀνδρῶν· τούτους δὲ ἡμῖν καὶ τοῖς μεθ' ἡμῶν κινδυνεύουσι πλείους ὑπάρχειν νομίζω. τὸν μὲν δὴ πόλεμον διὰ ταῦτα παραινῶ μηδ' ἐξ ἑνὸς τρόπου προτέρους ἀνελέσθαι· ἐπὶ δὲ τὸν ἀγῶνα ὀρθῶς φημὶ παρεσκευασμένους ὑπάρχειν χρῆναι. εἰ μὲν οὖν ἕτερος ἦν τις τρόπος δυνάμεως, ᾧ τοὺς βαρβάρους οἷόν τε ἦν ἀμύνασθαι· ἕτερος δέ τις, ᾧ τοὺς Ἕλληνας· εἰκότως ἂν ἴσως φανεροὶ πρὸς ἐκεῖνον[1] ἐγινόμεθα ἀντιταττόμενοι· ἐπεὶ δὲ πάσης παρασκευῆς ἐστὶν ὁ αὐτὸς τρόπος, καὶ δεῖ τὰ αὐτὰ εἶναι κεφάλαια τῆς δυνάμεως, τοὺς ἐχθροὺς ἀμύνασθαι δύνασθαι, τοῖς οὖσι συμμάχοις βοηθεῖν, τὰ ὑπάρχοντ' ἀγαθὰ σώζειν,—τί, τοὺς ὁμολογοῦντας ἐχθροὺς ἔχοντες, ἑτέρους ζητοῦμεν; ἀλλ' οὐ παρα-

[1] ἐγιγνόμεθ'

νεῖν alioqui, sed adjecta voce μέγα, τηλικοῦτον, ὑψηλὰ, et similibus, ad elationem animi refertur. Hic δίκαια φρονεῖν, est *ea, quæ justa sunt, cogitare.* προαίρεσιν vocat consilium illud instructionis, quanquam malim παρασκευῇ. IDEM.

Φαίνηται κ. τ. λ.] Φαίνηται δὲ δίκαια ἐπὶ ταύτῃ (scil. τῇ δυνάμει) φρονεῖν αἱρουμένη, scil. ἡ πόλις. *Quod ego malim cum Reiskio.* AUGER.

Δόξαν ἀνδρίας λαβεῖν] *Consequi opinionem fortitudinis*, id est, videri velle fortem; simulare vel præ se ferre fortitudinem. WOLF.

Δεινὸν εἰπεῖν φανῆναι] *Videri eloquentem*, eloquentiæ laudem consequi, eloquentiam ostentare: ut supra λέγειν δεινοί. IDEM.

δ'. Τὸν πόλεμον, τὸν ἐκ τοῦ πολέμου ἀγῶνα] Πόλεμος est, quam diu hostes utrinque infestis animis in armis sunt: ἀγὼν *prælium, conflictus, dimicatio*, a qua victoria pendet. IDEM.

Συμβάντα ἂν] Ἀντὶ τοῦ συμβησόμενον. Nondum enim pugnatum erat. IDEM.

Ἀγαθῶν ἀνδρῶν] Id est, πολεμικῶν, μεγαλοψύχων, ἀνδρείων. Boni viri, δίκαιοι, σπουδαῖοι, καλοκάγαθοι, a justitia, non a fortitudine, nominantur. IDEM.

Εἰκότως ἂν ἴσως φανεροὶ πρὸς ἐκεῖνον ἐγινόμεθα ἀντιταττόμενοι] Sententia est: Rex nos violatæ pacis accusare non poterit, etiamsi nos paraverimus. Quare? Quia profiteri licebit, eum apparatum contra hostes alios fieri: cum non alia ratio sit belli adversus Barbaros gerendi, quam ejus, quod cum Græcis geritur. IDEM.

Ὁμολογοῦντας ἐχθροὺς ἔχοντες, ἑτέρους ζητοῦμεν] Ii hostes qui sint, mihi non li-

σκευαζόμεθα μὲν πρὸς τούτους, ἀμυνόμεθα δὲ κἀκεῖνον, ἐὰν [1] ἀδικεῖν ἡμᾶς ἐπιχειρῇ; καὶ νῦν [2] μὲν καλεῖτε πρὸς ὑμᾶς αὐτοὺς τοὺς Ἕλληνας· ἐὰν δὲ, ἃ κελεύουσιν οὗτοι, μὴ ποιῆτε, οὐχ ἡδέως ἐνίων ὑμῖν ἐχόντων, πῶς χρὴ προσδοκᾶν τινὰ ὑπακούσεσθαι; ὅτι νὴ Δία ἀκούσονται παρ᾽ ἡμῶν, [3] ὅτι ἐπιβουλεύει βασιλεὺς αὐτοῖς; αὐτοὺς δὲ οὐ προορᾶν· ὦ πρὸς τοῦ Διὸς οἴεσθε τοῦτο; ἐγὼ μὲν [4] γὰρ οἶμαι. ἀλλ᾽ οὔπω μείζων οὗτος ἐσθ᾽ ὁ φόβος τῶν πρὸς ὑμᾶς καὶ πρὸς ἀλλήλους ἐνίοις διαφορῶν. οὐδὲν οὖν ἀλλ᾽ ἢ ῥαψῳδήσουσιν οἱ πρέσβεις περιϊόντες. τότε δὲ ἂν ἄρα ἃ νῦν οἰόμεθα [5] ὑμεῖς πράττητε, οὐδεὶς δήπου τῶν ἁπάντων Ἑλλήνων τηλικοῦτον ἐφ᾽ ἑαυτῷ φρονήσει, ὅστις, ὁρῶν ὑμῖν χιλίους μὲν ἱππέας, ὁπλίτας δὲ, ὅσους ἂν [6] θέλῃ τις, ναῦς δὲ τριακοσίας, οὐχ ἥξει καὶ δεήσεται, μετὰ τούτων ἀσφαλέστατ᾽ ἂν ἡγούμενος σωθῆναι. οὐκοῦν, ἐκ μὲν τοῦ καλεῖν ἤδη, τὸ δεῖσθαι· κἂν μὴ τύχητε, ἀφαμαρτεῖν· ἐκ δὲ τοῦ μετὰ τοῦ παρασκευάσασθαι τὰ ὑμέτερα αὐτῶν ἐπισχεῖν, δεομένους σώζειν καὶ εὖ εἰδέναι πάντας ἥξοντάς ἐστιν.

έ. Ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτά τε καὶ τὰ παραπλήσια τούτοις λογιζόμενος, λόγον μὲν οὐδένα ἐβουλόμην θρασὺν οὐδὲ μάταιον ἔχοντα μῆκος εὑρεῖν· τὴν μέντοι παρασκευὴν ὅπως ὡς ἄριστα καὶ τάχιστα γενήσεται, πάνυ πολλὰ πράγματα ἔσχον σκοπῶν· [7] οἶμαι δὴ δεῖν ἀκούσαντας ὑμᾶς [8] αὐτοὺς, ἂν ἀρέσκῃ, ψηφίσασθαι. ἔστι τοίνυν, πρῶτον μὲν τῆς παρασκευῆς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μέγιστον, οὕτω διακεῖσθαι τὰς γνώμας [9] ὑμῶν, ὡς ἕκαστον ἑκόντα προθύμως ὅ, τι ἂν δέῃ ποιήσοντα· ὁρᾶτε γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι, ὅσα μὲν πώποθ᾽ ἅπαντες ὑμεῖς [10] ἐβουλήθητε, καὶ μετὰ

[1] ἡμᾶς ἀδικεῖν [2] μέν γε καλεῖτε [3] ὡς [4] * γὰρ οὐκ οἴομαι [5] ἡμεῖς, * πράττηται [6] ἐθέλῃ [7] οἴομαι [8] αὐτὴν [9] ὑμᾶς [10] ἠβουλήθητε

quet. forte Thebani, aut insulares, sunt intelligendi. Idem.

Ῥαψῳδήσουσιν] Eandem cantilenam subinde cantabunt, ἀπὸ τοῦ ῥάπτειν τὰς ᾠδὰς, vel ἀπὸ τῆς ῥάβδου. Sophocles ῥαψῳδὸν κύνα Sphingem vocat. Idem.

Οἱ πρέσβεις] S. οἱ ἡμέτεροι, nostri legati. Idem.

Ἃ νῦν οἰόμεθα] *Quæ nunc opinamur*, scilicet, esse facienda, id est, si tum, cum necesse erit, instructi erimus ad id bellum, quod modo nobis ipsi fingimus, propulsandum. Idem.

Ἐκ μὲν τοῦ καλεῖν] S. συμβήσεται, ἢ περιέσται τὸ δεῖσθαι, τὸ ἀφαμαρτεῖν. Idem.

Πάντας ἥξοντας] Ὅτι ἥξουσι πάντες. Sic mox, ὡς ἕκαστον ἑκόντα ποιήσοντα, ὅτι ἕκαστος ποιήσει, vel ὡς ἑκάστου ποιήσοντος. et τὸν δὲ πλησίον πράξοντα ἀντὶ τοῦ, πράξοντος. Possit etiam legi οὕτω διακεῖσθαι τὰς γνώμας ὑμᾶς, vel τὰς γνώμας ὡς ἕκαστον ὑμῶν. Idem.

έ. Πρῶτον] Forte τὸ πρῶτον. Auger.

Καὶ μετὰ ταῦτα τὸ πράττειν αὐτὸς ἑκα-

ταῦτα τὸ πράττειν αὐτὸς ἕκαστος ἑαυτῷ προσήκειν ἡγήσατο, οὐδὲν πώποθ' ὑμᾶς ἐξέφυγεν. ὅσα δὲ [1] ἐβουλήθητε μὲν, μετὰ ταῦτα δὲ ἀπεβλέψατε πρὸς ἀλλήλους, ὡς αὐτὸς μὲν ἕκαστος οὐ ποιήσων, τὸν δὲ πλησίον πράξοντα, οὐδὲν πώποτε ὑμῖν ἐγένετο. ἐχόντων δὲ ὑμῶν οὕτω καὶ [2] παροξυνομένων, τοὺς διακοσίους καὶ χιλίους ἀναπληρῶσαί φημι χρῆναι καὶ ποιῆσαι δισχιλίους, ὀκτακοσίους αὐτοῖς προσνείμαντας· ἐὰν γὰρ τοῦτ' ἀποδείξητε τὸ πλῆθος, ἡγοῦμαι τῶν ἐπικλήρων, καὶ τῶν [3] ὀρφανῶν, καὶ τῶν κληρουχικῶν, καὶ τῶν κοινωνικῶν, καὶ εἴ τις ἀδύνατος, ἀφαιρεθέντων, ἔσεσθαι χίλια καὶ διακόσια ταῦτα ὑμῖν σώματα. ἐκ τοίνυν τούτων [4] οἶμαι δεῖν ποιῆσαι συμμορίας εἴκοσιν, ὥσπερ νῦν εἰσὶν, ἑξήκοντα σώματα ἔχουσαν ἑκάστην. τούτων δὲ τῶν συμμοριῶν ἑκάστην διελεῖν κελεύω πέντε μέρη κατὰ δώδεκα ἄνδρας, ἀνταναπληροῦντας πρὸς τὸν εὐπορώτατον ἀεὶ τοὺς ἀπορωτάτους.

[1] ἠβουλήθητε [2] παρωξυμμένων [3] ὀρφανικῶν [4] οἴομαι

στος ἑαυτῷ προσήκειν ἡγήσατο] Αὐτὸς ἕκαστος dixit, hoc est, *singuli* et *unusquisque*. Sic etiam Thucydides in secundo, καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαι τι ὧν ἤκουσε. Similiter etiam πᾶς τις dicitur pro *unoquoque*, καὶ πᾶς ἕκαστος, quemadmodum πᾶς ὅστις pro *quivis* et *quicumque*, cum verbo junctum, quanquam *singuli* etiam dicuntur οἱ καθ' ἕκαστον, καὶ ὁ καθ' ἕκαστον, quemadmodum τὸ καθ' ἕκαστον, καὶ τὰ καθ' ἕκαστον, *singula*. Sic etiam αἱ καθ' ἑκάστην, *singulæ*. *Ex edit.* Wolf.

Ἀναπληρῶσαί φημι χρῆναι] Hinc apparet, complures illi numero 1200. defuisse, aliis ad egestatem redactis, aliis alio atque alio casu ab eo cœtu avulsis. Itaque diminuto numero, reliqui graviora onera sustinebant, majoresque sumtus facere, cogebantur: quos sublevare studet Demosthenes. Wolf.

Τῶν ἐπικλήρων] Puella orba hæreditatem consequitur: sed non ex sese genus propagat. De hac Suidas: ἐπίκληρον, inquit, puellam pupillam, parentibus et fratribus orbam, in cujus potestate opes sunt, vocant, &c. ἐπίκληροι etiam vocantur, sive binæ, sive plures fuerint. Idem.

Τῶν ὀρφανῶν] Hos igitur, qui hic recensentur, immunes fuisse apparet. Idem.

Τῶν κληρουχικῶν] Κληροῦχοι qui sint, vide Libanium in argumento περὶ τῶν ἐν Χεῤῥονήσῳ. Suidas: κληρουχικὰ, inquit, Demosthenes dicere videtur, bona eorum, qui in aliam quamcumque provinciam, obtinendi agri nomine, mittuntur. Qui enim fieri potest, ut, qui peregre abest, triremem Athenis instruat? Idem.

Καὶ τῶν κοινωνικῶν] Suidas: κοινωνικοὺς Demosthenes vocat sive fratres, qui hæreditate indivisa fruuntur: quorum pater munera obire publica potuit, cum ejusdem hæredes singuli triremes instruere propter fortunarum tenuitatem non possint: sive etiam eos, qui voluntariam coivere societatem vel mercimoniorum, vel rei cujuspiam alterius, quorum singuli totum communium opum censum non habebant. κοινωνικοὶ igitur emolumenti et detrimenti sunt participes. *Gesellschaffter.* Idem.

Τῶν κληρουχικῶν καὶ τῶν κοινωνικῶν] Subaudi σωμάτων. Auger.

Εἴ τις ἀδύνατος] S. λειτουργεῖν. Si quis pauperior est, quam ut reipublicæ inserviat. Wolf.

Διελεῖν κελεύω πέντε μέρη] Lego εἰς πέντε μέρη, quanquam postea sequitur ἅπαντα ἐκ τοῦ διαγράμματος νεῖμαι κελεύω μέρη εἴκοσι, etsi et hic ut a librario sit omissa præpositio fieri potest: dura certe est constructio. Sic et apud Platonem legitur de legibus: νέμειν πάντα ἐκ γῆς γινόμενα δώδεκα μέρη. Ubi ego malim: νέμειν πάντα τὰ ἐκ τῆς γῆς γινόμενα εἰς δώδεκα μέρη. Incredibile est, quoties articuli et aliæ minutæ particulæ a librariis omittantur: id quod ostendit codicum diversorum collatio. Idem.

Ἀνταναπληροῦντας] Ut pauperrimi cujusque inopia ditissimi copiis ita pense-

καὶ τὰ μὲν σώματα οὕτω φημὶ δεῖν συντετάχθαι. δι᾽ ὃ δὲ, εἴσεσθε, ἐπειδὰν ὅλον τὸν τρόπον τῆς συντάξεως ἀκούσητε. τὰς δὲ τριήρεις, πῶς; τὸν ἅπαντα ἀριθμὸν κελεύω τριακοσίας ἀποδείξαντας, κατὰ τὴν [1] πεντεκαιδεκαναίαν εἴκοσι ποιῆσαι μέρη· τῶν πρώτων ἑκατὸν, πέντε· καὶ τῶν δευτέρων ἑκατὸν, πέντε· καὶ τῶν τρίτων ἑκατὸν, πέντε, ἑκάστῳ μέρει διδόντας. εἶτα συγκληρῶσαι συμμορίᾳ σωμάτων ἑκάστῃ τὴν [1] πεντεκαιδεκαναίαν· τὴν δὲ συμμορίαν ἑκάστῳ τῷ μέρει σφῶν αὐτῶν, τρεῖς ἀποδοῦναι τριήρεις.

ς΄. Ἐπειδὰν δὲ ταῦτα οὕτως ἔχοντα ὑπάρχῃ, κελεύω, ἐπειδὴ τὸ τίμημά ἐστι τὸ τῆς χώρας ἑξακισχιλίων ταλάντων, ἵν᾽ ὑμῖν καὶ τὰ χρήματα ᾖ συντεταγμένα, διελεῖν τοῦτο, καὶ ποιῆσαι καθ᾽ ἑξήκοντα τάλαντα, ἑκατὸν μέρη· εἶτα πέντε [2] ἑξήκοντα ταλαντείας εἰς ἑκάστην τῶν μεγάλων

[1] πεντεκαιδεκαναΐαν

[2] ἑξηκονταταλαντίας

tur, ut fiat inter eos æqualitas: et perinde sit, ac si pauper tantundem contulisset, quantum, si cæteris æqualis foret, conferre debuisset: ac potius, ut plures pauperes tantum conferant, quantum unus ditissimus: multorum re familiari quasi in unum acervum collata: ut si Crassus conferret decem talenta de 120. talentis: alii 120. viri, quorum singuli non ultra talentum possideant, uni Crasso æquentur, decem et ipsi talentis conferendis. Idem.

Τριακοσίας ἀποδείξαντας] S. ὑμᾶς, ἐπειδὰν ἀποδείξητε, ἢ ἀποδεῖξαι καὶ ποιῆσαι εἴκοσι μέρη κατὰ τὴν πεντεκαιδεκαναίαν. Idem.

Κατὰ τὴν πεντεκαιδεκαναίαν] Quasi dicat, *quindenaviam*. Est enim compositum a πεντεκαίδεκα et ναῦς, ut Euripides χιλιόναυν στόλον, id est, *millenaviam* (si nobis ita, ut Græcis, nomina fingere liceat) *classem*. Vicies autem quindena, seu (quod perinde est) decies et quinquies vicena, trecenta conficiunt, (quanquam postea singulis centuriis, quinas adjicit naves) ut supra quinquies duodena vel duodecies quina, sexaginta: vicies sexagena vel sexages vicena, mille ducenta. Idem.

Εἶτα συγκληρῶσαι συμμορίᾳ σωμάτων ἑκάστῃ] Ἑκάστοις ἑξήκοντα ἀνδράσι διὰ τοῦ κλήρου παραδοῦναι, ἢ ἁπλῶς, προσνεῖμαι. Idem.

ς΄. Ἐπειδὴ τὸ τίμημά ἐστι τὸ τῆς χώρας] Suidas τίμημα, ἡ καταδίκη, ζημία, ἐνέχυρον, τιμωρία, κεφάλαιον, ὡς Δημοσθένης ἐν τῷ περὶ συμμοριῶν (Sic enim legendum, non συμμάχων) καὶ τὸ ἐκ τῆς οὐσίας εἰσφερόμενον παρ᾽ ἑκάστου. Idem.

Ἑξακισχιλίων ταλάντων] Thucydides Atticam λεπτόγαιον vocat: et est tamen non parva æstimatio ipsius soli, præter ædificia et reliquas opes: si singula talenta, ut Budæus tradidit, sexcentenis coronatis æstimes, singulos vero coronatos cruciferis circiter 75. aut 76. Sic enim talentum florenos Rhenenses, superiori Germaniæ usitatos, qui vel pazios quindenos, vel cruciferos sexagenos continent, valebit 750. Talenta 10. conficiunt fl. 7500. Talenta 100. fl. 75000. Talenta 1000. fl. 750000. Talenta 6000. fl. 4500000. hoc est, tonnas auri 45. aut Milliones $4\frac{1}{2}$. Haud igitur stulte sapuit Philippus, si Athenas (ut criminatur Demosthenes) in suam redigere potestatem voluit. Idem.

Ἵν᾽ ὑμῖν καὶ τὰ χρήματα ᾖ συντεταγμένα] Quomodo? Nec enim solent possessores fundorum tantum habere præsentis pecuniæ, (quam bella non postulant, sed flagitant) quanti sunt ipsa prædia. Idem.

Πέντε ἑξηκονταταλαντείας] Ὑφὲν legatur. Est enim composita vox, ut πεντεκαιδεκαναία. Idem.

Εἰς ἑκάστην τῶν μεγάλων] Magnæ classes sexagenum virorum naves quindenas: parvæ duodenum virorum, ternas habebant naves. Magnis attribui vult quinquies sexagena talenta, id est, trecentena. Parvis quintam horum partem, id est, sexagena. Cum autem parvæ sub magnis contineantur, easque constituant, videtur hæc distinctio, ordinis et perspicuitatis causa

τῶν εἴκοσι συμμοριῶν ἐπικληρῶσαι· τὴν δὲ συμμορίαν ἑκάστῳ τῶν μερῶν, μίαν [1] ἑξήκοντα ταλαντείαν ἀποδοῦναι· ὅπως, ἐὰν μὲν ὑμῖν ἑκατὸν δέῃ τριηρῶν, τὴν μὲν δαπάνην ἑξήκοντα τάλαντα συντελῇ· τριήραρχοι δ' ὦσι δώδεκα. ἐὰν δὲ [2] δέῃ διακοσίων, τριάκοντα μὲν ᾖ τάλαντα τὰ τὴν δαπάνην συντελοῦντα, ἓξ δὲ σώματα τριηραρχοῦντα. ἐὰν δὲ τριακοσίων, εἴκοσι μὲν ᾖ [3] τάλαντα τὴν δαπάνην διαλύοντα, τέτταρα δὲ σώματα τριηραρχοῦντα. τὸν αὐτὸν δὲ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὰ νῦν ὀφειλόμενα τῶν σκευῶν ἐπὶ τὰς τριήρεις τιμήσαντας, ἅπαντα ἐκ τοῦ διαγράμματος νεῖμαι κελεύω,

[1] ἑξηκονταταλαντίαν [2] [δέῃ] [3] τάλαντα * τὰ τὴν

esse instituta. Sed repetam (ut vel rudioribus vel segnioribus gratificer) omnem hanc Demosthenis arithmeticam.

I. Viri, qui triremes instruant, sint mille et ducenti. Adjungit autem his octingentos, ut, si qui inter illos immunes quacumque de causa fuerint, numerus ille 1200. compleatur.

II. Hi 1200. sunt dividendi in vicies sexagenos. ita fiunt ex his mille ducentis 20. symmoriæ, id est, cœtus, ordines seu classes, quarum classium singulæ sexagenos viros complectantur.

III. Hæ singulæ sexagenariæ classes, ut ita dicam, in quinas partes duodenarias distribuantur: in quibus partibus tenuissimus quisque cum locupletissimo conjungatur.

IV. Triremes sint trecentæ. Hæ dividantur in vicies quindenas naves. Addantur autem singulis navium centuriis quinæ naves, ita naves conficientur 315. Cur autem hæ 15. adduntur? Eandem ob causam opinor, ob quam supra 1200. viris, 800. sunt adjecti: uti nimirum, si quæ naves minus utiles essent, aliæ illarum loco haberentur.

V. Unaquæque *συμμορία* quindecim naves instruat, ita unaquæque pars duodenaria tres naves instruet, id est, quaterni viri singulas naves.

. VI. In has viginti sexagenarias, quæ sunt centum duodenariæ, distribuenda sunt sexies mille talenta. Idque hac ratione fieri debet: 1. hæc sexies mille talenta dividenda sunt in centies sexagena talenta. 2. in unamquamque *συμμορίαν* quinquies sexagena, id est, 300. talenta, sunt dispartienda. 3. ita unaquæque duodenaria 60. talenta accipiet, id est, in singulas triremes vicena talenta impendentur. Solet enim Demosthenes tanquam a summis generibus ad infimas species, sic a tota summa ad minutissimas partes, perspicuitatis gratia, descendere. Sed hæc hactenus satis perspicua et intellecta esse puto. Quæ vero sequuntur, intricatiora illa quidem, explicare et ipsa conemur. Proposuit Demosthenes, perinde ac si summa urgeret necessitas, 300. triremes instruendas, easque divisit in vicies quindenas, et singulis quindenis 300. talenta attribuit, et singulis ternis sexagena. Deinde ab imo iterum adscendit ad summum, hoc modo: Naves 100. postulant talenta 60. Trierarchos 12. Naves vero 200. talenta 30. Trierarchos 9. Naves 300. talenta 20. Viros 4. Sed qui fit, ut, aucto navium numero, et hominum et talentorum decrescat numerus, cum potius adaugendus uterque una esse videatur? et cum antea quindenis navibus, 300. talenta assignarit, nunc tantum 60. centenis attribuat? Quia crescente numero triremium, decrescit numerus et virorum et talentorum: ut quaterni viri de vicenis talentis tantundem conferant ad trecentas naves, quantum viri duodeni de sexagenis, in centum navium classem contulissent. IDEM.

Καὶ τὰ νῦν ὀφειλόμενα τῶν σκευῶν] De illis hoc intelligendum esse, qui mutuo accepta instrumenta, ut sunt, remi, vela, rudentes, mali, et id genus alia, nondum reddiderunt: et verbum *εἰσπράξαντας*, quod sequitur, innuit, et apparet fieri solitum e Midiana, et ex oratione *περὶ τοῦ στεφάνου τῆς τριηραρχίας*. IDEM.

Ἅπαντα ἐκ τοῦ διαγράμματος νεῖμαι κελεύω] Suidas et *μίσθωμα* interpretatur, id est, mercedem meretriciam, ab ædilibus cuique constitutam: et (quæ significatio huc pertinet) constitutionem, quantum cuique classico, belli temporibus, pro modo facultatum, tributi nomine conferendum esset: cui æstimationi qui præerat, *διαγραφεὺς* appellabatur. IDEM.

μέρη εἴκοσιν. ἔπειτα ταῖς μεγάλαις ἐπικληρῶσαι συμμορίαις μέρος ἓν χρηστὸν ἑκάστῃ· τὴν δὲ συμμορίαν ἑκάστην διανεῖμαι τῶν ἑαυτῆς μερῶν ἑκάστῳ τὸ ἴσον· τοὺς δὲ δώδεκα τοὺς ἐν ἑκάστῳ [1] τῷ μέρει ταῦτ' εἰσπράξαντας, τὰς τριήρεις ἃς ἂν ἕκαστοι λάχωσι παρεσκευασμένας παρέχειν, τὴν μὲν δαπάνην, καὶ τὰ σκάφη, καὶ τοὺς τριηράρχους, καὶ τὴν τῶν σκευῶν εἴσπραξιν, οὕτως ἂν ἄρισθ' ἡγοῦμαι καὶ ποριςθῆναι καὶ παρασκευασθῆναι. πλήρωσις δὲ καὶ σαφὴς ὅθεν ἔσται καὶ ῥαδία, μετὰ ταῦτα λέγω.

ζ'. Φημὶ τοὺς στρατηγοὺς δεῖν διανεῖμαι τόπους δέκα τῶν νεωρίων, σκεψαμένους ὅπως ὡς ἐγγύτατα ἀλλήλων κατὰ τριάκοντα ὦσι νεώσοικοι. ἐπειδὰν δὲ τοῦτο ποιήσωσι, δύο συμμορίας καὶ τριάκοντα τριήρεις τούτων ἑκάστῳ προςνεῖμαι τῶν τόπων. εἶτ' ἐπικληρῶσαι τὰς φυλάς· τὸν δὲ τριήραρχον ἕκαστον, καθ' ἕκαστον νεώριον, ἵνα ὦσι συμμορίαι δύο, τριήρεις τριάκοντα, φυλὴ μία· [2] ὃν ἂν ἡ φυλὴ τόπον λάχῃ, διελεῖν τρίχα· καὶ τὰς ναῦς ὡσαύτως. εἶτ' ἐπικληρῶσαι τὰς τριττῦς, ὅπως ἄν, τῶν μὲν ὅλων νεωρίων, ἓν ἑκάστης μέρος ᾖ τῶν φυλῶν· τοῦ δὲ μέρους ἑκάστου τὸ τρίτον μέρος, ἡ τριττὺς ἔχῃ· εἰδῆτε δέ, ἄν τι δέῃ, πρῶτον μὲν τὴν φυλήν, ὅπου τέτακται· μετὰ ταῦτα δὲ τὴν τριττύν· εἶτα τριήραρχοι τίνες, καὶ τριήρεις πόσαι. καὶ τριάκοντα μὲν ἡ φυλή, δέκα δὲ ἡ τριττὺς ἑκάστη τριήρεις ἔχῃ· ἐὰν γὰρ ταῦθ' οὕτως εἰς ὁδὸν καταστῇ, εἴ τι καὶ παρελίπομεν νῦν·—πάντα γὰρ ἀκριβῶς πως εὑρεῖν οὐ ῥᾴδιον—· αὐτὸ τὸ πρᾶγμα ἑαυτῷ εὑρήσει· καὶ μία σύνταξις καὶ πασῶν τῶν νεῶν, καὶ μέρους ἔσται.

η'. Ὑπὲρ δὲ χρημάτων καὶ πόρου φανεροῦ τινός, ἤδη πα-

[1] Deest articulus.

[2] ὃν δ' ἂν

Μέρος ἓν χρηστὸν ἑκάστῃ] *Commodam.* Quia fortasse triremes non omnes fuere pares, aliæ majora vela, malos, remos postularunt: aliæ, minora eadem.

Τῶν ἑαυτῆς μερῶν ἑκάστῳ τὸ ἴσον] Duodenariis ex æquo. IDEM.

Εἰσπράξαντας] S. ab iis, quos τὸ διάγραμμα jubet. πλήρωσις sunt ἐρέται, ἐπιβάται, στρατιῶται. IDEM.

ζ'. Κατὰ τριάκοντα νεώσοικοι] *Tricenaria navalia*, id est, tricenarum triremium capacia. IDEM.

Τὸν δὲ τριήραρχον ἕκαστον] Malim τῶν δὲ τριηράρχων ἑκάστους, singulos trierarchos in sua navalia. IDEM.

Ὃν ἂν ἡ φυλὴ] Malim ὃν δ' ἄν, addito δέ. Est autem hic sensus: Una tribus continet triginta triremes. hæ in tres decurias sunt distribuendæ, nimirum vitandæ confusionis causa. IDEM.

Ἐπικληρῶσαι τὰς τριττῦς] Sors ducenda, quæ tribus tertia pars quam navalium partem occupare debeat? IDEM.

Καὶ τριάκοντα .... ἔχῃ] Hæc transtuli ad phrasim superiorem, ὅπως ἂν τῶν κ. τ. λ. AUGER.

Ἀκριβῶς πως εὑρεῖν] Πῶς, *quomodo*, πως, *aliquo modo*, sine accentu, *adeo exacte.* WOLF.

Μία σύνταξις] Id est, ordinatis partibus tota classis ordinata fuerit. IDEM.

ράδοξον μὲν οἶδα [1] λόγον ὃν μέλλω λέγειν· ὅμως δ' εἰρήσεται· πιστεύω γὰρ, ἐάν τις ὀρθῶς σκοπῇ, μόνος τἀληθῆ καὶ τὰ γενησόμενα εἰρηκὼς φανήσεσθαι. ἐγὼ φημι χρῆναι μὴ λέγειν νυνὶ περὶ χρημάτων· εἶναι γὰρ πόρον ἂν δέῃ [2] μέγαν καὶ καλὸν καὶ δίκαιον, ὃν, ἐὰν μὲν ἤδη ζητῶμεν, οὐδ' εἰς τόθ' ὑπάρχειν ἡγησόμεθα ἡμῖν· οὕτω πολὺ τοῦ πορίσαι νῦν ἀποσχήσομεν· ἐὰν δὲ ἐῶμεν, ἔσται. τίς οὖν ἔσθ' οὗτος; ὁ νῦν μὲν οὐκ ὢν, [3] ὑπάρξων δὲ τότε· αἰνίγματι γὰρ ὅμοιον τοῦτό γε ἐγὼ φράσω. ὁρᾶτε τὴν πόλιν, ὦ ἄνδρες Ἀθηναῖοι, πᾶσαν ταυτηνί; ἐν ταύτῃ χρήματα ἔνεστιν ὀλίγου δέω, πρὸς ἁπάσας τὰς ἄλλας εἰπεῖν πόλεις. ταῦτα δ' οἱ κεκτημένοι τοιοῦτον ἔχουσι [4] τον νοῦν, ὥστ', εἰ πάντες οἱ [5] ἐνταυθοῖ λέγοντες φοβοῖεν, ὡς ἥξει βασιλεὺς, ὡς πάρεστιν, ὡς οὐχ οἷόν τε ταῦτ' ἄλλως ἔχειν, καὶ μετὰ τῶν λεγόντων ἴσοι τὸ πλῆθος τούτοις [6] χρησμῳδεῖεν, οὐ μόνον οὐκ ἂν εἰσενέγκαιεν, [7] ἀλλ' οὐδ' ἂν δείξαιεν, [8] οὐδ' ἂν ὁμολογήσαιεν κεκτῆσθαι. εἰ μέντοι τὰ νῦν διὰ τῶν λόγων φοβερὰ ἔργῳ πραττόμενα αἴσθοιντο, οὐδεὶς οὕτως ἠλίθιός ἐστιν, ὅστις οὐχ [9] ἱκανὸν δοίη, καὶ πρῶτος εἰσενέγκοι· τίς γὰρ αἱρήσεται μᾶλλον αὐτὸς, καὶ τὰ ὄντα πάντ' ἀπολωλέναι, ἢ μέρος τῶν ὄντων ὑπὲρ ἑαυτοῦ καὶ τῶν λοιπῶν [10] προσενεγκεῖν; χρήματα μὲν δή φημι εἶναι τότε, ἂν ὡς ἀληθῶς δέῃ· πρότερον δὲ οὔ· διὸ μηδὲ ζητεῖν παραινῶ· ὅσα γὰρ νυνὶ πορίσαισθ' ἂν, εἰ προέλοισθε πορίζειν, πλείων ἐστὶ γέλως τοῦ μηδενός· φέρε γὰρ,

[1] * λόγον μέλλων λέγειν [2] καὶ μέγαν [3] ὑπάρχων δ' εἰς τότε
[4] Deest articulus. [5] ἐνταυθὶ [6] * χρησμῳδοὶ [7] Deest ἀλλ'.
[8] * ἀλλ' οὐδ' [9] * ἑκὼν ἂν [10] προεισενεγκεῖν

ή. Οὐδ' εἰς τότε ὑπάρχειν] Id est, εἰς ἐκεῖνον τὸν χρόνον. Idem.

Τοῦ πορίσαι νῦν ἀποσχήσομεν] *A nunc exigendo aberimus.* παρὰ τὸ ἀπέχω, τὸ ἄπειμι. Idem.

Ὀλίγου δέω, εἰπεῖν] *Parum abest, quin dicam.* Idem.

Πρὸς ἁπάσας] Quæ conferri queant. Idem.

Ταῦτ' ἄλλως ἔχειν] Scilicet quin sit tributum pendendum. Idem.

Ἴσοι τὸ πλῆθος τούτοις] Ἴσοι τούτοις κατὰ πλῆθος, id est, τῷ πλήθει totidem. Idem.

Χρησμῳδεῖεν] Hinc apparet, jactata esse aliqua oracula, quibus, (ut apud Thucydidem est) tametsi a scurra aliquo conficta sint, mirum est, quantum a stulta plebecula tribui soleat: ut ea ultro decipi se velle videatur. Idem.

Διὰ τῶν λόγων φοβερὰ] Terrores verborum, nuntii terribiles. Idem.

Ἔργῳ πραττόμενα] Ad rem conferri. Idem.

Ἱκανὸν δοίη] Multum det, liberaliter numeret. Idem.

Αὐτὸς ἀπολωλέναι] Ipse perire una cum suis opibus. Idem.

Τῶν λοιπῶν] Opibus post tributum reliquis. Idem.

Χρήματα μὲν δή φημι εἶναι τότε] Ἀντὶ τοῦ ἔσεσθαι. Idem.

Μηδὲ ζητεῖν] Ne quidem quærendum. Idem.

Πλείων ἐστὶ γέλως τοῦ μηδενὸς] *Major risus est nihilo.* Potest intelligi, οὑτινοσοῦν γελοιότερον, *omnium maxime ridiculum, ma-*

[1] ἑκατοστὴν τις εἰςφέρειν [2] ἐρεῖ; οὐκοῦν ἑξήκοντα τάλαντα ἐρεῖ. ἀλλὰ πεντηκοστὴν τις ἐρεῖ, τὸ διπλοῦν; οὐκοῦν ἑκατὸν καὶ εἴκοσι. καὶ τί τοῦτ᾽ ἔστι πρὸς διακοσίας καὶ χιλίας καμήλους, ἃς βασιλεῖ τὰ χρήματ᾽ ἄγειν φασὶν οὗτοι. ἀλλὰ θῶ, βούλεσθε, δωδεκάτην ἡμᾶς εἰςοίσειν, πεντακόσια τάλαντα; ἀλλ᾽ οὔτ᾽ ἂν ἀνάσχοισθε, οὔτ᾽ ἄν, εἰ [3] καταθεῖτε, ἄξια τοῦ πολέμου τὰ χρήματα. δεῖ τοίνυν ὑμᾶς τἄλλα παρασκευάσασθαι· τὰ δὲ χρήματα, νῦν μὲν ἐᾶν τοὺς κεκτημένους ἔχειν· οὐδαμοῦ γὰρ ἂν ἐν καλλίονι σώζοιτο τῇ πόλει. ἐὰν δέ ποθ᾽ ὁ καιρὸς οὗτος ἔλθοι, τότε ἑκόντων εἰςφερόντων αὐτῶν, λαμβάνειν. ταῦτα δὲ καὶ δυνατά ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ πράττειν καλὰ καὶ συμφέροντα· καὶ βασιλεῖ περὶ ὑμῶν ἐπιτήδεια ἀπαγγελθῆναι, καὶ φόβος οὐκ ὀλίγος γένοιτ᾽ ἂν ἐκείνῳ διὰ τούτων. οἵδε μέν γε τριακοσίαις τριήρεσιν, ὧν ἑκατὸν παρεσχόμεθ᾽ ἡμεῖς, τοὺς προγόνους

[1] τὴν ἑκατοστὴν [2] ἐρεῖ νῦν; [3] καταθῆτε

gis ridiculum, quam quicquam aliud. Sed malim τοῦ μηδενὸς πεπορισμένου, quam si nulla omnino pecunia exacta esset. Idem.

Ἑκατοστήν τις εἰσφέρειν ἐρεῖ] Centesima, talenta 60. quinquagesima, 120. duodecima, 500. talenta. Sed quo refertur ista ἀναλογία; Ad 6000. talentum, quorum duodecima pars sunt talenta 500. Idem.

Οὐκοῦν ἑκατὸν καὶ εἴκοσι] Præponunt etiam Græci inferiorem numerum plerumque supra viginti: et viceversa supra centum, ut Latini solent facere, siquidem addetur copula, ut Laurentius docuit in tertio, cujus exemplum hic est satis luculentum. Athen. ἑκατὸν γὰρ καὶ τεσσαράκοντά εἰσι πρὸς ταῖς τέσσαρσι. Idem, ἐν τῇ πρώτῃ πρὸς ταῖς εἴκοσι, quod Latini dicunt *primo et vicesimo libro.* Secus vero sine copula, ut idem, ἐν τῇ τριακοστῇ δευτέρᾳ, *tricesimo secundo* vel *altero libro.* Et, ἐν τῇ τριακοστῇ ἐνάτῃ. Demosthenes πέντε καὶ εἴκοσι δραχμῶν. Xenophon ἓξ καὶ ὀγδοήκοντα νῆες. Cicero in Catone, *Uno et octogesimo anno,* quod Gaza πρώτῳ καὶ ὀγδοηκοστῷ ἔτει dixit. At ubi Cicero, *centum et septem complevit annos,* ipse, ἑπτὰ καὶ ἑκατὸν ἔτη διετέλεσε, vertit. Hoc tamen non est perpetuum. Æschines περὶ παραπρεσβ. ἔτη γὰρ ἤδη βεβίωκεν ἐνενήκοντα καὶ τέτταρα. Sic Tranquil. in Aug. *Obiit in cubiculo eodem quo pater Octavius septuagesimo et sexto ætatis anno, diebus quinque et triginta minus.* Idem in Nerone, *Obiit trigesimo et secundo ætatis anno.* Contra in Galba, *Obiit tertio et septuagesimo ætatis anno.* Et in Tiberio, *Octavo et septuagesimo.* Rursus in Othone, *Tricesimo et octavo ætatis anno, nonagesimo et quinto imperii die.* Varro etiam *octoginta et una* non semel dixit, et Cicero pro Cluentio *triginta et duo* dixit. Quod vero ante millenarium etiam minor numerus ponatur, exemplo erit quod mox hic apud Demosthenem sequitur, καὶ τί τοῦτ᾽ ἔστι πρὸς διακοσίας καὶ χιλίας καμήλους, &c. Idem, ἐχόντων δὲ ἡμῶν οὕτω καὶ παρωξυνομένων τοὺς διακοσίους καὶ χιλίους ἀναπληρῶσαί φημι χρῆναι. Sed et ante centenarium quoque minorem numerum posuit idem, his verbis, λαβεῖν γὰρ ἐκ τῶν ἐμῶν ὁμολογοῦσιν, οὗτος μὲν ὀκτὼ καὶ ἑκατὸν μνᾶς. Hæc et plura in Comment. Budæus. *Ex edit.* Wolf.

Δωδεκάτην] S. τῶν ἑξακισχιλίων ταλάντων. Wolf.

Οὐδαμοῦ γὰρ ἂν ἐν καλλίονι] *Nusquam enim commodius.* ἐν καλῷ, καλλίονι, καλλίστῳ. Idem.

Ἐν καλλίονι] S. τόπῳ, κάλλιον, ἢ καλλιόνως. Idem.

Τριακοσίαις τριήρεσιν, ὧν ἑκατὸν παρεσχόμεθ᾽ ἡμεῖς] Herodot. Calliope, [Urania,] id est, lib. 8. [44.] Ἀθηναῖοι πρὸς πάντας τοὺς ἄλλους παρεχόμενοι νῆας ὀγδώκοντα καὶ ἑκατὸν μοῦνοι. et post, ἀριθμὸς δ᾽ ἐγένετο ὁ πᾶς τῶν νεῶν, πάρεξ τῶν πεντηκοντέρων, τριακόσιαι καὶ ἑβδομήκοντα, καὶ ὀκτώ. Non solent oratores diligentiam historicam in numeris adhibere. Isocrates Panegyrico ad He-

αὐτοῦ χιλίας ἀπολέσαντας ναῦς. ἀκούσεται δὲ, τριακοσίας αὐτοὺς ὑμᾶς παρεσκευασμένους [1] τριήρεις· ὥστε μὴ κομιδῇ, μηδ' εἰ πάνυ μαίνοιτο, νομίσαι ῥᾴδιον εἶναι τὸ τὴν ἡμετέραν πόλιν ἐχθρὰν ποιήσασθαι. ἀλλὰ μὴν, εἴγε ἐπὶ χρήμασιν αὐτῷ μέγα ἐπέρχεται φρονεῖν, καὶ ταύτην ἀσθενεστέραν ἀφορμὴν τῆς ὑμετέρας εὑρήσει· ὁ μέν γε χρυσίον, ὥς φασιν, ἄγει. τοῦτο δὲ ἂν διαδῷ, ζητήσει· καὶ γὰρ [2] τὰς κρήνας, καὶ τὰ φρέατα [3] ἐπιλιπεῖν πέφυκεν, ἐάν τις ἀπ' αὐτῶν ἀθρόα καὶ πολλὰ λαμβάνῃ· ἡμῖν δὲ τὸ τῆς χώρας τίμημα ὑπάρχον, ἀφορμὴν ἑξακισχίλια τάλαντα [4] ἀκούσετε· ὑπὲρ ἧς ὡς μὲν τοὺς ἐπιόντας ἐκείνων ἀμυνούμεθα, οἱ [5] ἐν Μαραθῶνι τῶν προγόνων αὐτοῦ μάλιστ' ἂν εἰδεῖεν. ἕως δ' ἂν κρατῶμεν, οὐκ ἔνι δήπου χρήμαθ' ἡμᾶς ἐπιλιπεῖν.

θ'. Καὶ μὴν οὐδ' ὅ τινες δεδίασι, μὴ ξενικὸν πολὺ συστήσηται χρήματα ἔχων, ἀληθὲς εἶναί μοι δοκεῖ· ἐγὼ γὰρ ἡγοῦμαι ἐπὶ μὲν Αἴγυπτον καὶ Ὀρρόντην καί τινας τῶν ἄλλων βαρβάρων πολλοὺς ἂν ἐθελῆσαι τῶν Ἑλλήνων μισθοφορεῖν παρ' ἐκείνῳ, οὐχ ἵνα ἐκεῖνος ἕλῃ τινὰ τούτων, ἀλλ' ἵν' εὐπορίαν τινὰ ἕκαστος αὑτῷ κτησάμενος ἀπαλλαγῇ τῆς ὑπαρχούσης πενίας· ἐπὶ δὲ τὴν [6] ἄλλην Ἑλλάδα Ἕλληνα οὐδένα ἂν ἐλθεῖν ἡγοῦμαι· [7] πῇ γὰρ αὐτὸς τρέψεται μετὰ ταῦτα; εἰς Φρυγίαν ἐλθών; δουλεύσει· οὐ γὰρ ὑπὲρ ἄλλου τινός ἐστιν

[1] [τριήρεις] [2] αἱ κρῆναι [3] ἐπιλείπειν [4] ἀκούσεται [5] Deest ἐν. [6] [ἄλλην] [7] ποῖ

rodoti sententiam propius accedit, *πλείους*, inquiens, *ἡ πόλις ἡμῶν συνεβάλετο τριήρεις εἰς τὸν κίνδυνον τὸν ὑπὲρ τῆς ἑλλάδος, ἢ πάντες οἱ ναυμαχήσαντες.* Idem.

Τοῦτο δὲ ἂν διαδῷ, ζητήσει] Τουτέστιν, *ἀπορήσει χρημάτων.* Quasi vero omnem regis pecuniam 1200. cameli vexerint. *ζητήσει requiret, desiderabit,* id est, carebit. Idem.

Φρέατα ἐπιλιπεῖν] Cicero: Fons liberalitatis facile exhauritur. Idem.

Ἀθρόα καὶ πολλὰ] *Et multum simul, et sæpe, ἀντὶ τοῦ ἀθρόως καὶ πολλάκις.* Idem.

Ἡμῖν δὲ τὸ τῆς χώρας τίμημα] Quid vero Attica est, cujus amplissimi reditus 400. talenta 4. Philip. memorantur, cum Asia et Ægypto et nonnulla Europæ parte collata? satis igitur apparet, eum ita muscam cum elephanto conferre, ut nec stulti offendantur, et prudentes intelligant, quantum Athenienses regis Persarum opibus sint inferiores. Idem.

Ὑπὲρ ἧς ὡς μὲν τοὺς ἐπιόντας ἐκείνων ἀμυνούμεθα] Alii rectius opinor, *ὡς μὲν ἂν ἐπιόντ' ἐκείνων ἀμυνούμεθα.* Idem.

Οἱ ἐν Μαραθῶνι] Hoc auribus Atheniensium gratum est. Sic Isocrates de Evagora: *τοσούτους τῶν πολεμίων ἀπώλεσεν, ὥστε πολλοὺς τῶν Περσῶν, πενθοῦντας τὰς ἑαυτῶν συμφορὰς, μεμνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνου.* Idem.

Ἕως δ' ἂν κρατῶμεν] Quasi vero id exploratum sit: aut deorum quispiam spoponderit. Sed et hoc vulgi auribus datur, de quo Isocrates oratione de pace: *λίαν τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, καὶ τὰ λοιπά.* Idem.

θ'. Ὀρρόντην] Vide Diodorum. Idem.

Ἐπὶ δὲ τὴν ἄλλην Ἑλλάδα] Artificiosa dehortatio ab oppugnanda patria: eas ratiocinationes militibus tribuendo, quæ viris cordatis et patriæ amantibus dignæ sunt. Idem.

Δουλεύσει] Malo, ut Felicianus, interrogative legere. Idem.

ὁ πρὸς τὸν βάρβαρον πόλεμος, ἢ περὶ χώρας, καὶ βίου, καὶ ἐθῶν, καὶ ἐλευθερίας, καὶ πάντων τῶν τοιούτων. τίς οὖν οὕτως ἐστὶ δυστυχὴς, ὅστις ἑαυτὸν, γονέας, τάφους, πατρίδα, ἕνεκα κέρδους βραχέος προέσθαι βουλήσεται; ἐγὼ μὲν οὐδένα ἡγοῦμαι· καὶ μὴν οὐδ' ἐκείνῳ συμφέρει, ξένους κρατῆσαι τῶν Ἑλληνικῶν· οἱ γὰρ ἡμῶν [1]κρατήσαντες, ἐκείνου γε πάλαι κρείττους εἰσί. βούλεται δ' ἐκεῖνος οὐκ ἀνελὼν ἡμᾶς ἐπ' ἄλλοις εἶναι, ἀλλὰ μάλιστα μὲν πάντων· εἰ δὲ μή γε, τῶν ὑπαρχόντων δούλων ἑαυτῷ νῦν ἄρχειν.

ί. Εἰ τοίνυν τὶς οἴεται Θηβαίους ἔσεσθαι μετ' ἐκείνου, ἔστι μὲν χαλεπὸς πρὸς [2]ἡμᾶς ὁ περὶ τούτων λόγος· διὰ γὰρ τὸ μισεῖν αὐτοὺς, οὐδ' ἂν [3]ἀληθὲς ἡδέως οὐδ' ἂν ἀγαθόν τι περὶ αὐτῶν ἀκούσαιτε· οὐ μὴν ἀλλὰ δεῖ τοὺς περὶ πραγμάτων μεγάλων σκοποῦντας μηδένα συμφέροντα λογισμὸν παραλιπεῖν διὰ μηδεμίαν πρόφασιν. ἐγὼ τοίνυν [4]οἶμαι τοσοῦτον ἀπέχειν Θηβαίους τοῦ μετ' ἐκείνου πότ' ἂν ἐλθεῖν ἐπὶ τοὺς Ἕλληνας, ὥστε πολλῶν ἂν χρημάτων εἰ ἔχοιεν δοῦναι πρίασθαι γενέσθαι τινὰ αὐτοῖς καιρὸν, δι' οὗ τὰς προτέρας [5]ἀναλύσονται πρὸς τοὺς Ἕλληνας ἁμαρτίας. εἰ δ' ἄρα παντάπασί τις οὕτως οἴεται φύσει δυστυχεῖς Θηβαίους εἶναι, ἐκεῖνό γε δήπουθεν ἅπαντες ἐπίστασθε, ὅτι, Θηβαίων τὰ ἐκείνου φρονούντων, ἀνάγκη τοὺς τούτων ἐχθροὺς τὰ τῶν Ἑλλήνων φρονεῖν. ἡγοῦμαι τοίνυν ἐγὼ ταύτην τὴν τάξιν τοῦ δικαίου, καὶ τοὺς μετ' αὐτῆς ὄντας, τῶν προδοτῶν κρείττους καὶ τοῦ βαρβάρου ἔσεσθαι πρὸς ἅπαντας. ὥστ' οὔτε φοβεῖσθαί φημι δεῖν πέρα τοῦ μετρίου, οὔθ' ὑπαχθῆναι προτέρους ἐκφέρειν τὸν πόλεμον. καὶ μὴν οὐδὲ τῶν ἄλλων οὐδένα ἂν εἰκότως Ἑλλήνων φοβηθέντα τὸν πόλεμον τοῦτον

[1] κρατήσαντες * ἂν, [2] ὑμᾶς [3] ἀληθὲς οὐδὲν ἡδέως [4] οἴομαι [5] ἀναλύσωνται

Οὕτω δυστυχὴς] Ἀντὶ τοῦ ἄφρων, et sane stultitia non in minima parte infelicitatis numeranda est: si modo recte finitur φρόνησις ἀρετὴ τοῦ λογιστικοῦ, παρασκευαστικὴ τῶν συντεινόντων πρὸς εὐδαιμονίαν. Comicus, ἄνοια δυστύχημ' ἀνθαίρετον βροτοῖς. Sed calamitas hæc et de prœlio et de inopia potest intelligi. Idem.

Οἱ γὰρ ἡμῶν κρατήσαντες] Ὑποθετικῶς καὶ σοφιστικῶς. Græci enim illi mercenarii Persæ ἐν προσθήκης μέρει futuri erant, non soli rem gesturi. Idem.

ί. Τὰς προτέρας ἀναλύσονται] M. ἀπολύσωνται. Intelligenda est autem eorum cum Xerxe conspiratio: quæ sunt eorum πρὸς τοὺς Ἕλληνας ἁμαρτίαι: etsi et post Leuctricam victoriam satis insolenter se gesserunt. Vide τὸν περὶ εἰρήνης Isocratis. Idem.

Τοὺς τούτων ἐχθροὺς] Lacedæmonios opinor intelligendos, aut Phocenses. Idem.

Ὥστ' οὔτε φοβεῖσθαι] Vide, ut concitationem populi timori tribuat, et confirmandis ejus animis a bello dehortetur. Idem.

ὁρῶ· τίς γὰρ οὐκ οἶδεν αὐτῶν, ὅτι [1] ἕως μὲν ἐκεῖνον κοινὸν ἐχθρὸν ὑπειληφότες ὡμονόουν ἀλλήλοις, πολλῶν ἀγαθῶν ἦσαν κύριοι· ἐπειδὴ δὲ φίλον αὐτὸν νομίσαντες αὑτοῖς ὑπάρχειν, περὶ τῶν πρὸς [2] αὑτοὺς διηνέχθησαν [3] διαφορῶν, ὅσα ἂν οὐδὲ καταρώμενος εὕροι τις αὐτοῖς, τοσαῦτα πεπόνθασι κακά;

ιά. Εἶθ' ὃν ἡ τύχη καὶ τὸ δαιμόνιον, φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δ' ἐχθρὸν ἐμφανίζει, τοῦτον ἡμεῖς [4] φοβούμεθα; μηδαμῶς· ἀλλὰ [5] μὴ ἀδικῶμεν ἡμῶν αὐτῶν ἕνεκα καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ταραχῆς καὶ ἀπιστίας· ἐπεὶ, εἴγε ὁμοθυμαδὸν ἦν μετὰ πάντων ἐπιθέσθαι μόνῳ, οὐδ' ἀδικεῖν ἂν ἡμᾶς [6] ἔθηκα ἐκεῖνον. ἐπειδὴ δὲ τοῦτ' οὐχ οὕτως ἔχει, φυλάττεσθαί φημι δεῖν, μὴ πρόφασιν δῶμεν βασιλεῖ τοῦ τὰ δίκαια ὑπὲρ τῶν ἄλλων Ἑλλήνων ζητεῖν· ἡσυχίαν μὲν γὰρ ἐχόντων ὑμῶν, ὕποπτος ἂν εἴη, τοιοῦτό τι [7] πραττων· πόλεμον δὲ ποιησαμένων προτέρων, εἰκότως ἂν δοκοίη διὰ τὴν πρὸς ὑμᾶς ἔχθραν τοῖς ἄλλοις φίλος εἶναι βούλεσθαι. μὴ οὖν ἐξελέγξητε, ὡς κακῶς ἔχει τὰ Ἑλληνικὰ, συγκαλοῦντες, ὅτε οὐ [8] πείσονται, καὶ πολεμοῦντες, ὅτε οὐ δυνήσεσθε· ἀλλ' ἔχετε ἡσυχίαν, θαῤῥοῦντες καὶ παρασκευαζόμενοι. καὶ βούλεσθε ἀπαγγέλλεσθαι περὶ ὑμῶν πρὸς βασιλέα, μὴ μὰ Δία, ὡς ἀποροῦσιν ἢ φοβοῦνται ἢ θορυβοῦνται πάντες οἱ Ἕλληνες, καὶ οἱ Ἀθηναῖοι· πολλοῦ γε καὶ δεῖ· ἀλλ' ὅτι, εἰ [9] μὴ τοῖς Ἕλλησιν ὁμοίως αἰσχρὸν ἦν τὸ ψεύδεσθαι καὶ ἐπιορκεῖν, ὥσπερ ἐκείνῳ καλὸν, πάλαι ἂν ὑμεῖς ἐπ' ἐκεῖνον ἐπορεύεσθε. νῦν δὲ τοῦτο μὲν οὐκ ἂν ποιήσαιτε ὑμῶν ἕνεκα αὐτῶν. εὔχεσθε δὲ πᾶσι τοῖς θεοῖς τὴν αὐτὴν λαβεῖν παράνοιαν ἐκεῖνον, ἥνπερ ποτε τοὺς προγόνους αὐτοῦ. καὶ ταῦτ' ἂν ἐπίῃ σκοπεῖν αὐτῷ, οὐκ ὀλιγώρως ὑμᾶς βουλευομένους εὑρήσει. ἐκ μέν γε τῶν πρὸς τοὺς ἑαυτοῦ προγόνους πολέμων, σύνοιδε τὴν πόλιν εὐδαίμονα, καὶ μεγάλην

[1] τέως [2] αὐτοὺς [3] διαφόρων [4] φοβώμεθα [5] μηδ' [6] ἐκεῖνον ἀδίκημ' ἂν ἔθηκα [7] πράττειν [8] πείσετε [9] εἰ μὲν μὴ

Ὅσα ἂν οὐδὲ καταρώμενος] Hæc de bello Peloponnesiaco videntur intelligenda. Idem.

Οὐδ' ἀδικεῖν ἂν ἡμᾶς ἔθηκα ἐκεῖνον] Sic et Isocrates in Panegyrico. Idem.

Τοῦ τὰ δίκαια ζητεῖν] Hoc declarat mox, εἰκότως ἂν δοκοίη τοῖς ἄλλοις Ἕλλησι φίλος εἶναι βούλεσθαι. Idem.

Ἐπορεύεσθε] Post ἐπορεύεσθε· punctum supra, pro puncto infra. Auger.

γεγενημένην. ἐκ δὲ τῆς ἡσυχίας, ἣν ἦγε πρὸ τούτων, οὐδεμιᾶς τῶν ἄλλων Ἑλληνίδων πόλεων τοσοῦτον, ὅσον νῦν, ὑπεραίρουσαν· καὶ μὴν καὶ τοὺς Ἕλληνας ὁρᾷ δεομένους, ἤτοι τινὸς ἑκουσίου, ἢ [1] ἀκουσίου διαλλακτοῦ. τοῦτον δ' αὐτὸν [2] ἂν οἶδε φανέντα αὐτοῖς, εἰ πόλεμον κινοίη, ὥστε καὶ γνώριμα καὶ πιστὰ [3] αὐτῷ τῶν ἀπαγγελλόντων ἀκούειν ἔσται.

ιβ'. Ἵνα δ', ὦ ἄνδρες Ἀθηναῖοι, μὴ μακρὰ λέγων λίαν ἐνοχλῶ, τὰ κεφάλαια ὧν συμβουλεύω φράσας ἄπειμι, παρασκευάζεσθαι μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθροὺς κελεύω· ἀμύνεσθαι δὲ καὶ βασιλέα καὶ πάντας, ἂν ἀδικεῖν ἐπιχειρῶσι, ταύτῃ τῇ δυνάμει φημὶ δεῖν· ἄρχειν δὲ μηδενὸς μήτε λόγου μήτε ἔργου ἀδίκου. τὰ δὲ ἔργα ἡμῶν ὅπως ἄξια τῶν προγόνων ἔσται σκοπῶμεν, μὴ τοὺς ἐπὶ τοῦ βήματος λόγους· κἂν ταῦτα ποιῆτε, καὶ ὑμῖν αὐτοῖς καὶ τοῖς τἀναντία πείθουσι συμφέροντα πράξετε· οὐ γὰρ ὀργισθήσεσθε αὐτοῖς ὕστερον, [4] νῦν ἁμαρτόντες.

[1] κἀκουσίου [2] οἶδεν ἂν [3] αὐτῷ τὰ τῶν [4] νῦν * οὐχ

Ὅσον νῦν ὑπεραίρουσαν] M. ὑπεραίρει. Wolf.

Ἄρχειν δὲ μηδενὸς] F. ὑπάρχειν, ἢ ἄρχεσθαι. Sed et ἄρχειν χειρῶν ἀδίκων, est apud Isocratem et Demosthenem. Idem.

Ἄρχειν δὲ μηδενὸς μήτε λόγου μήτε ἔργου ἀδίκου] Ἄρχειν hic idem quod ἄρχεσθαι significat. Alibi enim est quod ὑπάρχειν, id est, *lacessere*, item *principium et originem esse*, et *priores partes occupare*, etiam in bonam partem. Item, *præesse*, et *imperium habere*, unde ἄρχων privato nomine, peculiarique dicebatur ὁ ἡγεμὼν καὶ πρύτανις Ἀθήνησιν ἐπώνυμος τῶν ἀρχόντων, a cujus nomine fasti perscribebantur, ut a Consulum Romæ. Is ἄρχων ita præerat judicibus, judiciorumque moderator erat, ut Romæ Prætor. Demosthenes κατὰ ὀλυμπιοδ. καὶ μετὰ ταῦθ' ὁ ἄρχων ἀνέκρινε πᾶσιν ἡμῖν τοῖς ἀμφισβητοῦσι. Et sententias judicum numerabat, ut patet ex Isæo περὶ τοῦ δικαιογένους κλήρου, &c. *Ex edit.* Wolf.

Οὐ γὰρ ὀργισθήσεσθε αὐτοῖς ὕστερον, νῦν ἁμαρτόντες] Ὑποθετικῶς, εἰ νῦν ἁμάρτοιτε, πεισθέντες αὐτοῖς. Wolf.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΤΟΥ ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ.

ΟΤΕ Λακεδαιμόνιοι νικηθέντες ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας, εἰς κίνδυνον μέγαν κατέστησαν, ἀποστάντων Ἀρκάδων καὶ προσθεμένων τοῖς Θηβαίοις, Ἀθηναῖοι σύμμαχοι Λακεδαιμονίοις γενόμενοι, διέσωσαν αὐτούς· ὕστερον δὲ Λακεδαιμόνιοι τῶν κινδύνων ἀπαλλαγέντες, καὶ προϊόντες πάλιν εἰς δύναμιν, ἐπὶ Μεγάλην πόλιν τῆς Ἀρκαδίας ἤρχοντο· καὶ τοὺς Ἀθηναίους παρεκάλουν διὰ πρεσβείας, κοινωνεῖν αὐτοῖς τοῦ πολέμου. πεπόμφασι δὲ καὶ οἱ Μεγαλοπολῖται πρέσβεις Ἀθήναζε παρακαλοῦντες ὑπὲρ ἑαυτῶν· ὁ τοίνυν Δημοσθένης συμβουλεύει μὴ περιορᾶν αἱρεθεῖσαν Μεγάλην πόλιν, μηδὲ εἰς ἰσχὺν προελθόντας Λακεδαιμονίους, συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ μὴ φοβερὰν εἶναι τὴν Λακεδαίμονα.

Παρακαλοῦντες ὑπὲρ ἑαυτῶν] Id est, petitum auxilium. Potest etiam παρακαλοῦντας legi, ut ad legatos, non ad Megalopolitanos, oratio referatur. Xenophon ζ'. Ἑλληνικῶν, tradit, Ἀρκάδας Ἀθηναίων ξυμμάχους γενέσθαι. et, ὅτι Ἀθηναῖοι ἐβοήθουν Μαντινεῦσι. WOLF.

Μὴ περιορᾶν αἱρεθεῖσαν] *Non despicere captam.* Atqui capta non erat, sed in obsidionis metu. Expones igitur αἱρεθεῖσαν pro ὅπως αἱρεθείη, προελθόντας, pro ὅπως προέλθοιεν· μὴ περιορᾶν ὥστε αἱρεθήσεσθαι καὶ προελεύσεσθαι. Usurpantur enim hi aoristi loco futurorum. περιορᾶν autem, quanquam si vocem spectes, *circumspicere* significat: unde Phavorinus περιορᾶσθαι, *exspectare, prospicere, circumspicere, curare* interpretatur: tamen pro ὑπερορᾶν, vel παρορᾶν, id est, *negligere* et *despicere*, crebro accipitur. παροράσθαι tamen Suidas ὑποτοπεῖσθαι (F. ὑποτοπῆσαι) καὶ ὑφορᾶσθαι, *existimare*, vel *existimari* et *suspectum esse*, vel *suspicari* interpretatur. Latinis περιορᾶν est *committere, pati, non prohibere, connivere, destituere.* IDEM.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΛΟΓΟΣ ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ.

Ol. 106, 4.

α΄. ᾿ΑΜΦΟ΄ΤΕΡΟΙ΄ μοι δοκοῦσιν ἁμαρτάνειν, ὦ ἄνδρες ᾿Αθηναῖοι, καὶ οἱ τοῖς ᾿Αρκάσι, καὶ οἱ τοῖς Λακεδαιμονιοις συνειρηκότες· ὥσπερ γὰρ ἀφ᾽ ἑκατέρων ἥκοντες, οὐχ ὑμῶν ὄντες πολῖται, πρὸς οὓς ἀμφότεροι πρεσβεύονται, κατηγοροῦσι καὶ διαβάλλουσιν ἀλλήλους. ἦν δὲ τοῦτο μὲν τῶν ἀφιγμένων ἔργον· τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγμάτων λέγειν καὶ τὰ βέλτιστα ὑπὲρ ὑμῶν σκοπεῖν ἄνευ φιλονεικίας, τῶν ἐνθάδε συμβουλεύειν ἀξιούντων. νῦν δ᾽ ἔγωγε, εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκεσθαι καὶ τὸ τῇ φωνῇ λέγειν ᾿Αττικῶς, πολλοὺς ἂν [1] οἶμαι, τοὺς μὲν, ᾿Αρκάδας, τοὺς δὲ, Λάκωνας αὐτῶν εἶναι νομίσαι. ἐγὼ δὲ, ὁρῶ μὲν ὡς χαλεπὸν τὸ τὰ βέλτιστα λέγειν ἐστί· συνεξηπατημένων γὰρ ὑμῶν καὶ τῶν μὲν ταυτὶ βουλομένων τῶν δὲ ταυτὶ, ἐὰν τὰ μεταξύ τις ἐγχειρῇ λέγειν, καὶ ὑμεῖς μὴ [2] περιμείνητε μαθεῖν, χαριεῖται μὲν οὐδετέροις· διαβεβλήσεται δὲ πρὸς ἀμφοτέρους· οὐ μὴν ἀλλ᾽ αἱρήσομαι μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πάθω,

[1] οἴομαι [2] περιμένητε

᾿Αφ᾽ ἑκατέρων] Alii a Lacedæmoniis, alii ab Arcadibus missi. WOLF.

Πρὸς οὓς] Scilicet ἡμᾶς, cum apud nos illi utrique, tam Arcades, quam Lacedæmonii, legatos agant. IDEM.

Εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκεσθαι] *Si quis eis ademerit cognosci et voce attice dicere.* Hæc, obscuritatis vitandæ causa, liberius mihi vertenda fuerunt. IDEM.

Τὰ βέλτιστα λέγειν] *Optima dicere*, id est, suadere salutaria. χαλεπὸν hic non tam *difficile* significat, quam ἐπικίνδυνον, *periculosum*. Nam vir sapiens quid in re non perplexa dici expediat, facile perspicit. Pertinet igitur τὸ χαλεπὸν non ad facultatem oratoris, sed ad approbationem auditoris, optimique consilii eventum. Sic Isocrates in Trapezitico: ἔστι δὲ, ὦ ἄνδρες δικασταὶ, πάντων χαλεπώτατον, τοιούτων ἀντιδίκων τυχεῖν. Ubi certe significat, non esse difficile invenire adversarium, qui multum sit molestus, (nam vel ille adolescens in Pasionem incidit, minime quidem litigandi causa quæsitum) sed hoc dicit, ejusmodi adversarios difficillime convinci et superari posse. quare nos ibi vertimus: *Est autem, judices, omnium molestissimum in tales adversarios incidere.* IDEM.

Συνεξηπατημένων] S. τοῖς ῥήτορσι. Cum una cum oratoribus decepti sitis, alii cum his, alii cum illis conjuncti. IDEM.

Τὰ μεταξὺ] *Ea, quæ in medio sunt*, quæ

δοκεῖν φλυαρεῖν, [1] ἥπερ ἃ βέλτιστα νομίζω τῇ πόλει, προέσθαι τισὶν ὑμᾶς ἐξαπατῆσαι. τὰ μὲν οὖν ἄλλα ὕστερον, ἂν ὑμῖν βουλομένοις ᾖ, λέξω· ἀπὸ δὲ τῶν ὁμολογουμένων ὑφ᾽ ἁπάντων ἄρξομαι ἃ κράτιστα νομίζω διδάσκειν.

β΄. Οὐκοῦν, οὐδ᾽ ἂν εἷς ἀντείποι, ὡς οὐ συμφέρει τῇ πόλει καὶ Λακεδαιμονίους ἀσθενεῖς εἶναι καὶ Θηβαίους τουτουσί. ἔστι τοίνυν ἔν τινι καιρῷ [2] τοιούτῳ τὰ πράγματα νῦν, εἴ τι δεῖ τοῖς εἰρημένοις πολλάκις παρ᾽ ὑμῖν λόγοις τεκμήρασθαι, ὥστε Θηβαίους μὲν Ὀρχομενοῦ καὶ [3] Θεσπιέων καὶ Πλαταιέων οἰκισθεισῶν ἀσθενεῖς γενέσθαι· Λακεδαιμονίους δέ, εἰ ποιήσονται Ἀρκαδίαν ὑφ᾽ ἑαυτοῖς καὶ Μεγάλην πόλιν αἱρήσουσι, πάλιν ἰσχυροὺς γενήσεσθαι. σκεπτέον τοίνυν, μὴ πρότερον τούσδε γενέσθαι φοβεροὺς καὶ μεγάλους ἐάσωμεν, ἢ ἐκεῖνοι μικροὶ γενήσονται· καὶ λάθωσιν ἡμᾶς πλείονι μείζους οἱ Λακεδαιμόνιοι γενόμενοι ἢ ὅσῳ τοὺς Θηβαίους ἐλάττους συμφέρει γενέσθαι· οὐ γὰρ ἐκεῖνό γ᾽ ἂν εἴποιμεν, ὡς ἀνταλλάξασθαι βουλοίμεθα ἀντιπάλους Λακεδαιμονίους ἀντὶ Θηβαίων· οὐδὲ τοῦτ᾽ ἔσθ᾽ ὃ σπουδάζομεν, ἀλλ᾽ ὅπως μηδέτεροι δυνήσονται μηδὲν ἡμᾶς ἀδικεῖν· οὕτω γὰρ ἂν ἡμεῖς μετὰ πλείστης ἀδείας εἴημεν. ἀλλὰ νὴ Δία ταῦτα μὲν οὕτω δεῖν ἔχειν φήσομεν, δεινὸν δὲ εἰ, πρὸς οὓς παρεταττόμεθα ἐν Μαντινείᾳ, τούτους συμμάχους αἱρησόμεθα· εἶτα βοηθήσομεν τούτοις ἐναντία [4] ἐκείνοις μεθ᾽ ὧν

[1] ἢ, παρ᾽ ἃ [2] τοιούτῳ καιρῷ [3] Θεσπιῶν καὶ Πλαταιῶν [4] ἐκείνων

intersunt inter oratorum sententias, id est, quæ cum neutrius factionis sententia congruunt. Idem.

Ἧπερ ἃ] Malo παρ᾽ ἃ, *præter* vel *contra ea, quæ*, etc. Idem.

Προέσθαι τισὶν ὑμᾶς ἐξαπατῆσαι] *Objicere quibusdam vos decipiendos*, id est, committere, ut vos aliqui decipiant. Idem.

Ὀρχομενοῦ καὶ Θεσπιῶν καὶ Πλαταιῶν] Sic legendum est. Nam Θεσπιέων, Πλαταιέων, Thespiensium et Platæensium significat, a nominativis Θεσπιεὺς, Πλαταιεύς. Ipsæ vero urbes, ad quas participium οἰκισθεισῶν refertur, Θεσπιαὶ, Πλαταιαί· quas nondum fuisse instauratas, sed instaurandas, illud declarat, quod sequitur, τὰς μὲν Θεσπιὰς, καὶ τὸν Ὀρχομενὸν καὶ τὰς Πλαταιὰς κατοικίζεσθαι φῶμεν δεῖν. οἰκισθεισῶν igitur, ut supra in argumento monuimus, ὑποθετικῶς est accipiendum, *si instaurentur*. Cautus igitur eris in hujusmodi participiis interpretandis, et sententiam inprimis spectabis, a qua vera verborum intelligentia pendet. Idem.

Πλείονι μείζους ἢ ὅσῳ ἐλάττους] *Multo majores, quam quanto minores*, id est, ne longe major accessio ad potentiam Lacedæmoniorum, quam utilis decessio et diminutio de viribus Thebanorum fiat. Idem.

Δεινὸν δὲ εἰ, πρὸς οὓς ἐν Μαντινείᾳ παρεταττόμεθα, τούτους συμμάχους αἱρησόμεθα] Eleganter usus est verbo παρατάττεσθαι, quod est *in acie stare*. Unde παραταξάμενος πρός τινα dicitur, *qui contra eum in acie stat*, et *ei ex adverso stat*. Idem Demosthenes [ὑπὲρ Μεγαλοπολ. γ΄.] καὶ τὴν εἰρήνην δόξετε σπουδάζειν εἶναι βεβαίαν, ὑπὲρ ἧς ἐκινδυνεύσατε καὶ παρετάξασθε. Est etiam παρατάττεσθαι *opponere se ut repugnaturum*, &c. *Ex edit.* Wolf.

Ἐν Μαντινείᾳ] Vide ζ΄. Ἑλληνικῶν, et argumentum Isocratici Archidami. Wolf.

Ἐναντία ἐκείνοις] *Contraria illis*. id est, κατ᾽ ἐκείνων, *contra illos*. Idem.

τότε ἐκινδυνεύομεν; [1] καί μοι ταῦτα δοκεῖ· προςδεῖσθαι [2] δέ τι τοῦ τὰ δίκαια ποιεῖν ἐθελόντων τῶν ἑτέρων.

γʹ. Εἰ μὲν τοίνυν ἐθελήσουσι πάντες εἰρήνην ἄγειν, οὐ βοηθήσομεν τοῖς Μεγαλοπολίταις· οὐδὲν γὰρ δεήσει· ὥςτε οὐδοτιοῦν ὑπεναντίον ὑμῖν ἔσται πρὸς τοὺς συμπαραταξαμένους. σύμμαχοι δ' ἡμῖν, οἱ μὲν ὑπάρχουσιν, ὥς φασιν· οἱ δὲ προςγενήσονται νυνί. καὶ τί ἂν ἄλλο βουλοίμεθα; ἐὰν δὲ ἀδικῶσι καὶ πολεμεῖν οἴωνται δεῖν, εἰ μὲν ὑπὲρ τούτου [3] μόνον βουλευτέον, εἰ χρὴ Μεγάλην πόλιν ἡμᾶς προέσθαι Λακεδαιμονίοις, ἢ μή· δίκαιον μὲν οὔ, [4] συγχωρῶ δ' ἔγωγ' ἐᾶσαι καὶ μηδὲν ἐναντιωθῆναι τοῖς τότε τῶν αὐτῶν μετασχοῦσι κινδύνων. εἰ δ' ἅπαντες ἐπίστασθε, ὅτι, ταύτην ἂν ἕλωσιν, ἴασιν ἐπὶ Μεσσήνην, φρασάτω τις ἐμοὶ τῶν νῦν χαλεπῶν τοῖς Μεγαλοπολίταις, τί τόθ' ἡμῖν συμβουλεύσει ποιεῖν; ἀλλ' οὐδεὶς ἐρεῖ. καὶ μὴν πάντες ἐπίστασθε ὡς, καὶ παραινούντων τούτων καὶ μή, βοηθητέον καὶ διὰ τοὺς ὅρκους οὓς ὀμωμόκαμεν Μεσσηνίοις καὶ διὰ τὸ συμφέρον εἶναι κατοικεῖσθαι ταύτην τὴν πόλιν. σκοπεῖσθε δὴ πρὸς ὑμᾶς αὐτούς, ποτέραν τὴν ἀρχὴν καλλίονα καὶ φιλανθρωποτέραν ποιήσεσθε τοῦ μὴ ἐπιτρέπειν [5] ἡμᾶς ἀδικεῖν Λακεδαιμονίοις; τὴν ὑπὲρ Μεγάλης πόλεως, ἢ τὴν ὑπὲρ Μεσσήνης; νῦν μέν γε βοηθεῖν δόξετε Ἀρκάσι καὶ τὴν εἰρήνην σπουδάζειν εἶναι βεβαίαν ὑπὲρ ἧς ἐκινδυνεύσατε καὶ παρετάξασθε.

[1] κἀμοὶ [2] δ' ἔτι τοῦ, τὰ [3] μόνου [4] συνχορῶ [5] Deest ἡμᾶς.

Προσδεῖσθαι δέ τι τὸ] Malim δ' ἔτι τῶν, ut referatur (quanquam id quoque durius est) ad ἐθελόντων. τοῦ enim (quod in diversis lectionibus annotatur) locum non habet, nisi legas aut τοῦ τὰ δίκαια ποιεῖν ἐθέλειν τοὺς ἑτέρους, *alteros*, scilicet Lacedæmonios. Nec enim puto esse causam, cur ἑταίρους per αι, id est, *socios* legere malis: (quod ea vox ἀντὶ συμμάχων satis accipi commode nequit) aut τεχνικῶς accipias, τοῦ, τουτέστι τῆς προσθήκης ταύτης. Nec incommodum fuerit interpretari προσδεῖσθαι δ' ἔτι του, id est, τινός· τὰ δίκαια, etc. IDEM.

γʹ. Ἀντιταξαμένους] Parum refert, utrum sic, an συμπαραταξαμένους legas, intelligendi certe sunt Arcades, qui Thebanis conjuncti, Atheniensibus restiterunt. IDEM.

Ὥς φασι] S. Lacedæmonii. IDEM.

Ἀδικῶσι] Nempe Λακεδαιμόνιοι. AUGER.

Εἰ χρὴ Μεγάλην πόλιν ὑμᾶς προέσθαι Λακεδαιμονίοις] Id est, *prodere et condonare*, vel *evertendam objicere*, quod ipsum καθυφιέναι quoque dicitur. Idem, ἐγὼ δὲ νομίζω τὴν πόλιν πρῶτον μὲν καὶ χωρὶς τοῦ καθυφεῖναι Λακεδαιμονίοις τινὰς Ἀρκάδων Ὠρωπὸν ἂν κομίσασθαι. *Ex edit.* WOLF.

Δίκαιον μὲν οὔ] S. προέσθαι Μεγάλην πόλιν. WOLF.

Ἐᾶσαι] S. ὑμᾶς. ut vos missam faciatis. IDEM.

Τῶν νῦν χαλεπῶν τοῖς Μεγαλοπολίταις] Fortassis addendum ὄντων, τί τόθ'. IDEM.

Ἀλλ' οὐδεὶς ἐρεῖ] *Sed nemo dicet.* quid? utrum non defendendos esse Megalopolitanos? vel potius, Messenios? an vero: nemo de re nota verba facturus est: sed vos ultro bellum suscipietis. IDEM.

Κατοικεῖσθαι ταύτην τὴν πόλιν] Messenam potius, quam Μεγάλην πόλιν. IDEM.

Ἀρχὴν τοῦ μὴ ἐπιτρέπειν ὑμᾶς] *Princi-*

τότε δ' εὔδηλοι πᾶσιν ἔσεσθε οὐ τοῦ δικαίου μᾶλλον ἕνεκα Μεσσήνην εἶναι βουλόμενοι ἢ τοῦ πρὸς Λακεδαιμονίους φόβου. δεῖ δὲ σκοπεῖν μὲν ἀεὶ καὶ πράττειν τὰ δίκαια· συμπαρατηρεῖν δὲ ὅπως ἅμα καὶ συμφέροντα ἔσται ταῦτα.

δ'. Ἔστι τοίνυν καὶ τοιοῦτός τις λόγος παρὰ τῶν ἀντιλεγόντων, ὡς κομίσασθαι τὸν Ὠρωπὸν ἡμᾶς ἐγχειρεῖν δεῖ. εἰ δὲ τοὺς βοηθήσοντας ἂν [1] ἡμῖν ἐχθροὺς ἐπ' αὐτὸν νῦν κτησόμεθα, οὐχ ἕξομεν συμμάχους. ἐγὼ δὲ, τὸ μὲν κομίσασθαι Ὠρωπὸν πειρᾶσθαι, φημὶ δεῖν καὶ αὐτός· τὸ δ' ἐχθροὺς ἡμῖν ἔσεσθαι Λακεδαιμονίους νῦν, ἐὰν ποιησώμεθα συμμάχους Ἀρκάδων τοὺς βουλομένους ἡμῖν εἶναι φίλους, μόνοις οὐδ' εἰπεῖν ἐξεῖναι νομίζω τοῖς πείσασιν [2] ἡμᾶς, ὅτ' ἐκινδύνευον Λακεδαιμόνιοι, βοηθεῖν αὐτοῖς· οἱ γὰρ ταῦτα λέγοντες ἔπεισαν ὑμᾶς, πάντων Πελοποννησίων ἐλθόντων ὡς ὑμᾶς καὶ μεθ' ὑμῶν ἀξιούντων ἐπὶ τοὺς Λακεδαιμονίους ἰέναι, [3] τοὺς μὲν μὴ προσδέξασθαι,—καὶ διὰ τοῦθ', ὅπερ ἦν ὑπόλοιπον αὐτοῖς, ἐπὶ Θηβαίους ἦλθον—ὑπὲρ δὲ τῆς Λακεδαιμονίων σωτηρίας καὶ χρήματα εἰσφέρειν καὶ τοῖς σώμασι κινδυνεύειν· καίτοι, οὐδ' ἂν ὑμεῖς ἠθελήσατε δή που σώζειν αὐτοὺς, εἰ τοῦτο προύλεγον ὑμῖν, ὅτι σωθέντες, ἐὰν μὴ ποιεῖν ὅ, τι [4] βούλονται πάλιν αὐτοὺς ἐᾶτε καὶ ἀδικεῖν, οὐδεμίαν χάριν ὑμῖν ἕξουσι τῆς σωτηρίας. καὶ μὴν εἰ καὶ σφόδρα ἐναντίον ἐστὶ τοῖς Λακεδαιμονίων ἐπιχειρήμασι τὸ τοὺς Ἀρκάδας ἡμᾶς συμμάχους ποιήσασθαι, προσήκει δή που πλείω χάριν αὐτοὺς ἔχειν ὧν ἐσώθησαν ὑφ' ἡμῶν εἰς τοὺς ἐσχάτους ἐλθόντες κινδύνους ἢ ὧν ἀδικεῖν κωλύονται νῦν ὀργίζεσθαι. ὥστε πῶς οὐ βοηθήσουσιν ὑμῖν ἐπ' Ὠρωπὸν [5] ἢ κάκιστοι πάντων ἀνθρώπων δόξουσιν εἶναι; [6] ὃ, μὰ τοὺς θεοὺς, ἔγωγε οὐχ ὁρῶ.

[1] ἡμῖν ἐπ' αὐτὸν ἐχθροὺς [νῦν] [2] ὑμᾶς [3] τούτους [4] βούλωνται [5] ἢ οὐ κάκιστοι [6] Deest ὅ.

pium non concedendi vos, id est, ut vos non concedatis. Idem.

δ'. Εἰ δὲ τοὺς κ. τ. λ.] Ego lego et distinguo: εἰ δὲ τοὺς βοηθήσοντας ἂν ἡμῖν ἐπ' αὐτὸν, nempe Ὠρωπὸν, ἐχθροὺς νῦν κτησώμεθα. Auger.

Ὅπερ ἦν ὑπόλοιπον αὐτοῖς] S. τοῖς Πελοποννησίοις. Wolf.

Ἢ ὧν ἀδικεῖν κωλύονται νῦν ὀργίζεσθαι] Attica est locutio, ἀντὶ τοῦ, ἀνθ' ὧν κωλύονται ἀδικεῖν. Cui similis est illa Lys. ὥστε οὐκ ἔτι ὧν οὗτοι κλέπτουσιν ὀργίζεσθαι. ἀντὶ τοῦ, ὑπὲρ ὧν. Thucydides, καὶ ἡμῖν ἄνομα παθοῦσιν ἀνταπόδοτε χάριν δικαίαν ὧν πρόθυμοι γεγενήμεθα. ἀντὶ τοῦ, ἀνθ' ὧν πρόθυμοι. Ex edit. Wolf.

Ἢ κάκιστοι πάντων] Malim repeti negationem ἢ οὐ κάκιστοι πάντων ἀνθρώπων δό-

έ. Θαυμάζω τοίνυν τῶν λεγόντων τὸν λόγον τοῦτον, ὡς, εἰ συμμάχους ποιησόμεθα Ἀρκάδας καὶ ταῦτα πράξομεν, μεταβάλλεσθαι δόξει καὶ οὐδὲν ἔχειν πιστὸν ἡ πόλις· ἐμοὶ [1] γὰρ δοκεῖ τοὐναντίον, ὦ ἄνδρες Ἀθηναῖοι. διὰ τί; ὅτι τῶν ἁπάντων οὐδένα ἀντειπεῖν [2] οἶμαι, ὡς οὐ καὶ Λακεδαιμονίους καὶ πρότερον Θηβαίους καὶ τὸ τελευταῖον Εὐβοέας ἔσωσεν ἡ πόλις, καὶ μετὰ ταῦτα συμμάχους ἐποιήσατο, ἕν τι καὶ τὸ [3] αὐτὸ ἀεὶ βουλομένη πράττειν. ἔστι δὲ τοῦτο τί; τοὺς ἀδικουμένους σώζειν. εἰ τοίνυν τοῦθ' οὕτως ἔχει, οὐκ ἔτ' ἂν ἡμεῖς εἴημεν οἱ μεταβαλλόμενοι· ἀλλ' οἱ μὴ θέλοντες τοῖς δικαίοις ἐμμένειν· καὶ φανήσεται τὰ πράγματα διὰ τοὺς ἀεὶ πλεονεκτεῖν βουλομένους μεταβαλλόμενα, οὐχ ἡ πόλις ἡμῶν.

ς'. Δοκοῦσι δέ μοι Λακεδαιμόνιοι μάλα δεινῶν ἔργον ἀνθρώπων ποιεῖν· νυνὶ γάρ φασιν ἐκεῖνοι δεῖν Ἠλείους μὲν τῆς Τριφυλίας τινὰ κομίσασθαι· Φλιασίους δὲ τὸ Τρικάρανον· ἄλλους δέ τινας τῶν Ἀρκάδων τὴν αὑτῶν· καὶ τὸν Ὠρωπὸν ἡμᾶς· οὐχ ἵνα ἑκάστους ἡμῶν ἴδωσιν ἔχοντας τὰ ἑαυτῶν· οὐδὲ ὀλίγου δεῖ· ὀψὲ γὰρ ἂν φιλάνθρωποι γεγονότες εἶεν· ἀλλ' ἵνα πᾶσι δοκῶσι συμπράττειν, ὅπως ἂν ἕκαστοι κομίσωνται ταῦθ' ἅ φασιν αὑτῶν εἶναι· ἵν', ἐπειδὰν ἴωσιν ἐπὶ [4] Μεσσήνην, καὶ αὐτοὶ συστρατεύωνται πάντες αὐτοῖς οὗτοι καὶ βοηθῶσι προθύμως, ἢ δοκῶσιν ἀδικεῖν, περὶ ὧν ἔφασαν ἕκαστοι σφῶν αὐτῶν εἶναι συμψήφους λαβόντες ἐκείνους, μὴ τὴν ὁμοίαν αὐτοῖς χάριν ἀποδιδόντες. ἐγὼ δὲ νομίζω τὴν πόλιν πρῶτον μὲν καὶ χωρὶς τοῦ καθυφεῖναι Λακεδαιμονίοις τινὰς Ἀρκάδων Ὠρωπὸν ἂν κομίσασθαι· καὶ μετ' ἐκείνων, ἂν τὰ δίκαια ποιεῖν ἐθέλωσι, βοηθούντων· καὶ μετὰ τῶν ἄλλων τῶν οὐκ οἰομένων δεῖν Θηβαίους ἐᾶν ἔχειν τὰ ἀλλότρια. εἰ δ' ἄρα τοῦτ' εὔδηλον ἡμῖν γένοιτο, ὅτι μὴ Λα-

[1] ἐμοὶ μὲν γὰρ [2] οἴομαι [3] αὐτὸ πᾶσιν ἀεὶ
[4] Μεσσήνην αὐτοὶ, συστρατεύωνται

ξουσιν εἶναι; WOLF.

έ. Ἕν τι καὶ τὸ αὐτὸ ἀεὶ βουλομένη πράττειν] Sic eleganter Cicero ad Lentulum: "Non idem semper dicere, sed idem semper spectare debemus." IDEM.

ς'. Τῆς Τριφυλίας] Τῆς Ἤλιδος, auctore Stephano. IDEM.

Τινὰ] Nempe μέρη. AUGER.

Τρικάρανον] Φρούριον τῆς Φλιασίας. WOLF.

Τὴν αὑτῶν] Subaudi χώραν. AUGER.

Οὐδὲ ὀλίγου δεῖ] S. ἀλλὰ πολλοῦ, id est, *plurimum abest*: quod alioqui πολλοῦ γε καὶ δεῖ solet dicere. WOLF.

Ὀψὲ γὰρ ἂν φιλάνθρωποι] Rapacitatis et violentiæ Laconicæ accusationem. Vide in Isocratis Panathenaico. IDEM.

κεδαιμονίους ἐῶντες τὴν Πελοπόννησον καταστρέψασθαι οὐχ οἷοί τε ἐσόμεθα Ὠρωπὸν λαβεῖν, αἱρετώτερον, εἰ οἷόν τ' εἰπεῖν, ἡγοῦμαι τὸν Ὠρωπὸν ἐᾶν ἢ Λακεδαιμονίοις Μεσσήνην προέσθαι καὶ Πελοπόννησον. οὐ γὰρ ἂν ἡγοῦμαι περὶ τούτου μόνον ἡμῖν εἶναι τὸν λόγον πρὸς ἐκείνους. ἀλλ' ἐάσω τόγε ἐπελθὸν εἰπεῖν μοι· περὶ πολλῶν δ' ἂν [1] οἶμαι κίνδυνον ἡμῖν γενέσθαι.

ζ'. Ἀλλὰ μὴν, ἅ γέ φασι πεπρᾶχθαι διὰ Θηβαίους τοῖς Μεγαλοπολίταις ὑπεναντία πρὸς ὑμᾶς, ἄτοπον νῦν μὲν ἐν κατηγορίας μέρει ποιεῖσθαι· βουλομένων δὲ γενέσθαι φίλων αὐτῶν, ἵνα τοὐναντίον εὖ ποιῶσιν ὑμᾶς, βασκαίνειν καὶ σκοπεῖν ἐξ ὅτου τρόπου μὴ γενήσονται· καὶ μὴ γιγνώσκειν ὅτι, ὅσῳ ἂν σπουδαιοτέρους τούτους περὶ Θηβαίους γεγενημένους ἀποδείξωσι, τοσούτῳ πλείονος ὀργῆς αὐτοὶ δικαίως ἂν τυγχάνοιεν, εἰ τοιούτων συμμάχων τὴν πόλιν, ὅτ' ἐφ' ὑμᾶς προτέρους ἦλθον, ἢ Θηβαίους ἀπεστέρησαν. ἀλλ' οἶμαι ταῦτα μέν ἐστι δεύτερον ἀνθρώπων βουλομένων ἑτέρων ποιῆσαι τούτους συμμάχους. [2] ἐγὼ δὲ ὅσα ἂν ἐκ λογισμοῦ σκοπῶν τις εἰκάσαι,—καὶ τοὺς πολλοὺς ὑμῶν οἴομαι [3] ταῦτα φῆσαι—, ὅτι, εἰ λήψονται Μεγάλην πόλιν Λακεδαιμόνιοι, κινδυνεύσει Μεσσήνη· εἰ δὲ καὶ ταύτην λήψονται, φημὶ ὑμᾶς ἔσεσθαι συμμάχους Θηβαίων. πολὺ δὴ κάλλιον καὶ ἄμεινον [4] τὴν Θηβαίων συμμαχίαν αὐτοὺς παραλαβεῖν, τῇ δὲ Λακεδαιμονίων πλεονεξίᾳ μὴ ἐπιτρέπειν, ἢ νῦν ὀκνοῦντας μὴ τοὺς Θηβαίων σώσωμεν συμμάχους, τούτους μὲν προέσθαι, πάλιν δὲ σώζειν αὐτοὺς τοὺς Θηβαίους, καὶ προσέτι ἐν φόβῳ καθεστάναι περὶ ἡμῶν αὐτῶν· οὐ γὰρ ἔγωγε ἀδεὲς τοῦτο

[1] οἴομαι [2] ἐγὼ δὲ οἶδα, ὅσα [3] ταὐτὰ [4] τὴν μὲν Θηβαίων

Οὐ γὰρ ἂν ἡγοῦμαι περὶ τούτου μόνον] S. de Messena. Quod reliquum erat: sed de excidio nostræ urbis: subticuit, et subjecit περὶ πολλῶν. Idem.

ζ'. Πεπρᾶχθαι τοῖς] *Facta esse Megalopolitanis hostilia contra nos*, id est, Megalopolitanos hostiliter contra nos fecisse. Idem.

Δεύτερων ἀνθρώπων] Annotatur legi δεύτερον. ego puto βδελυρῶν legendum, id est, amentium. Idem.

Ὅσα] Adverbialiter, *quantum*. Auger.

Φημὶ ὑμᾶς ἔσεσθαι συμμάχους τῶν Θηβαίων] Sic innuit Lacedæmonios daturos operam, ut Thebanos internecione deleant, idque prohibituros Athenienses. Wolf.

Τὴν Θηβαίων συμμαχίαν παραλαβεῖν] Legi queat et προλαβεῖν, ἢ προσλαβεῖν. Isocrates Areopagitico Atheniensibus objicit, ὅτι τοὺς μὲν Θηβαίων φίλους σώζειν ἠναγκάσθησαν· τοὺς δ' ἑαυτῶν συμμάχους ἀπολωλέκασι. et Xenophon ζ'. Ἑλληνικῶν· Ἀρκάδες Ἀθηναίων ξύμμαχοι. et paulo post καὶ Ἀθηναῖοι βοηθοῦντες τοῖς Μαντινεῦσι. Sed hæc fortassis ad aliud tempus pertinent. Idem.

Τὴν Θηβαίων συμμαχίαν] *Thebanorum societatem suscipere*, i. e. socios Thebanorum defendere. Auger.

ὑπολαμβάνω τῇ πόλει, τὸ λαβεῖν Μεγάλην πόλιν Λακεδαιμονίους καὶ πάλιν γενέσθαι μεγάλους· ὁρῶ γὰρ αὐτοὺς καὶ νυνὶ οὐχ ὑπὲρ τοῦ μὴ παθεῖν τι κακὸν πόλεμον ἀραμένους, ἀλλ᾽ ὑπὲρ τοῦ κομίσασθαι τὴν πρότερον [1] οὖσαν ἑαυτοῖς δύναμιν· ὧν δ᾽ ὅτ᾽ ἐκείνην εἶχον ὠρέγοντο, ταῦθ᾽ ὑμεῖς μᾶλλον ἴσως εἰδότες, ἢ ἐγώ, φοβοῖσθ᾽ ἂν εἰκότως.

η᾽. Ἡδέως δ᾽ ἂν πυθοίμην [2] τῶν λεγόντων καὶ τοὺς Θηβαίους μισεῖν φασκόντων καὶ τοὺς Λακεδαιμονίους, πότερα [3] δὴ ἑκάτεροι μισοῦσιν, οὓς δὴ μισοῦσιν, ὑπὲρ ὑμῶν καὶ τοῦ συμφέροντος ὑμῖν; ἢ ὑπὲρ μὲν Λακεδαιμονίων Θηβαίους, ὑπὲρ δὲ Θηβαίων Λακεδαιμονίους ἑκάτεροι; εἰ μὲν γὰρ ὑπὲρ ἐκείνων, οὐδετέροις ὡς μαινομένοις πείθεσθαι προσήκει· εἰ δ᾽ ὑπὲρ ἡμῶν φήσουσι, τί πέρα τοῦ καιροῦ τοὺς ἑτέρους ἐπαίρουσιν; ἔστι γάρ, ἔστι Θηβαίους ταπεινοὺς ποιεῖν ἄνευ τοῦ Λακεδαιμονίους ἰσχυροὺς [4] καθεστάναι· καὶ πάνυ γε ῥᾷον· ὡς δ᾽ ἐγὼ πειράσομαι πρὸς ὑμᾶς εἰπεῖν· ἴσμεν ἅπαντες τοῦθ᾽, ὅτι τὰ μὲν δίκαια πάντες, ἐὰν καὶ μὴ βούλωνται, μέχρι [5] τούτου γε αἰσχύνονται μὴ πράττειν· τοῖς δὲ ἀδικοῦσιν ἐναντιοῦνται φανερῶς· ἄλλως τε κἂν τινες βλάπτωνται· καὶ τοῦτο τὸ λυμαινόμενον πάνθ᾽ εὑρήσομεν καὶ ταύτην [6] ἀρχὴν οὖσαν [7] πάντων τῶν κακῶν, τὸ μὴ θέλειν τὰ δίκαια πράττειν ἁπλῶς. ἵνα τοίνυν μὴ τοῦτο ἐμποδὼν γένηται, [8] τό, τοὺς Θηβαίους γενέσθαι μικρούς, τὰς μὲν

[1] πρότερόν ποτε οὖσαν [2] τῶν λεγόντων] * τῶνδ᾽ ἐγὼ τῶν [3] Deest δή. [4] καθιστάναι [5] τοῦ γε [6] τὴν ἀρχὴν [7] ἁπάντων [8] τῷ [τοὺς] Θηβαίους

ή. Καὶ τοὺς Θηβαίους μισεῖν φασκόντων καὶ τοὺς] Malim utrobique τῶν τε τοὺς, καὶ τῶν τούς. Non enim hoc vult, quosdam utrorumque odium profiteri, sed esse nonnullos, qui Thebanis, nonnullos item, qui Lacedæmoniis inimici videri velint. Idem.

Τί πέρα τοῦ καιροῦ] Id est παρακαίρως, *intempestive* et *ultra modum*. Idem.

Ἄνευ τοῦ Λακ. ἰσχυροὺς καθεστάναι] *Sine firmos Lacedæmonios constituendo*, id est, etsi non firmi constituantur, non confirmetur eorum potentia. malim καθιστάναι per ι, quam καθεστάναι per ε. quia hoc passive, illud active significat, ut ad oratores referatur: *etiamsi isti non confirment Laconum potentiam*. sed parum refert. Idem.

Ὡς δ᾽ ἐγὼ] Pro ὅπως δέ: *quo autem pacto, id ego dicere conabor*, vel ὡς δὴ ἐγώ, *ut ego sane*. Idem.

Μέχρι τούτου γε] *Eo quidem usque*. quousque? ego non satis assequor. si enim τούτου exponas τοῦ αἰσχύνεσθαι, ταυτολογία videtur, quanquam τὸ οὐχ ἁπλῶς, quod sequitur, eam expositionem probat. Quid enim est, justitiam non simpliciter, hoc est, ex animo colere? Id enim, quod recte fit, tum demum est justum, cum est voluntarium. μέχρι τοῦ αἰσχύνεσθαι, id est, verecundiæ causa. Velle οὐκ εἶναι, ἀλλὰ δοκεῖν ἄριστον, *non esse, sed videri optimum*. Fel. legit μέχρι τού γε *aliquousque, ad tempus*. hoc est, dissimulant aliquamdiu ingenia, et justitiæ studium præ se ferunt: sed erumpunt tandem injustæ cupiditates. Idem.

Ἵνα τοίνυν μὴ τοῦτο ἐμποδὼν γένηται τῷ τοὺς Θηβαίους] Sic lego cum Feliciano pro τὸ τοὺς Θηβαίους: τοῦτο, id est, τὸ μὴ ἐθέλειν τὰ δίκαια πράττειν ἁπλῶς, id est, ne Thebanis tergiver-

Θεσπιὰς καὶ τὸν Ὀρχομενὸν καὶ τὰς Πλαταιὰς κατοικίζεσθαι φῶμεν δεῖν· καὶ συμπράττωμεν [1] αὐτοῖς καὶ τοὺς ἄλλους ἀξιῶμεν — ταῦτα [2] γὰρ καλὰ καὶ δίκαια — μὴ περιορᾶν πόλεις ἀρχαίας ἐξανεστώσας· τὴν δὲ Μεγάλην πόλιν καὶ τὴν Μεσσήνην μὴ προώμεθα τοῖς ἀδικοῦσι, μηδ' ἐπὶ τῇ προφάσει τῇ Θεσπιέων καὶ Πλαταιέων τὰς οὔσας καὶ κατοικουμένας πόλεις ἀναιρεθείσας περιίδωμεν· κἂν ᾖ πρόδηλα ταῦτα, οὐδεὶς ὅστις οὐ βουλήσεται παύσασθαι Θηβαίους ἔχοντας τὴν ἀλλοτρίαν· εἰ δὲ μή, πρῶτον μὲν ἐναντίους ἕξομεν πρὸς ἐκεῖνα τούτους, εἰκότως, ὅταν ἡγῶνται τὴν ἐκείνων κατοίκισιν ἑαυτοῖς ὄλεθρον φέρειν· εἶτ' ἀνήνυτα πράγματα ἕξομεν αὐτοί. τί γὰρ ὡς ἀληθῶς ἔσται πέρας, ὅταν ἀεὶ τὰς μὲν οὔσας πόλεις ἐῶμεν ἀναιρεῖν, τὰς δὲ ἀνῃρημένας ἀξιῶμεν οἰκίζειν;

θ'. Λέγουσι τοίνυν οἱ μάλιστα δοκοῦντες δίκαια λέγειν, ὡς δεῖ τὰς στήλας καθελεῖν [3] τὰς πρὸς Θηβαίους, εἴπερ ἡμέτεροι βεβαίως ἔσονται σύμμαχοι· οἱ δὲ φασὶ μὲν αὐτοῖς οὐκ εἶναι στήλας, ἀλλὰ τὸ συμφέρον εἶναι τὸ ποιοῦν τὴν φιλίαν· τοὺς δὲ βοηθοῦντας ἑαυτοῖς, τούτους νομίζειν εἶναι συμμάχους. ἐγὼ δ', εἰ τὰ μάλιστά εἰσι τοιοῦτοι, ὡδί πως ἔχω· φημὶ δεῖν ἅμα τούτους τε ἀξιοῦν καθαιρεῖν τὰς στήλας καὶ Λακεδαιμονίους ἄγειν εἰρήνην. ἐὰν δὲ μὴ ἐθέλωσι

[1] αὐτοὶ [2] γὰρ καὶ καλὰ [3] καθελεῖν αὐτοὺς τὰς

sandi relinquatur occasio, quo minus urbes illas instaurari sinant, si Lacedæmoniis grassandi contra Messenios et Arcadas licentia dabitur. Sic Archidamus apud Isocratem queritur de Thebanis, ὅτι Πλάταιαν μὲν καὶ Θεσπιὰς ἐχθὲς καὶ πρώην πεποιήκασιν ἀναστάτους· Μεσσήνην δὲ διὰ τριακοσίων ἐτῶν κατοικίζουσιν, id est, *quod Platæas et Thespias nuper admodum everterint, et Messenam post annos trecentos instaurari jubeant*. Idem.

Συμπράττωμεν αὐτοῖς] Τοῖς Ὀρχομενίοις. Idem.

Ἐξανεστώσας] Ἐξανεσταμένας, ἀναστάτους γεγενημένας. Idem.

Μηδ' ἐπὶ τῇ προφάσει] Verba satis perspicua sunt, sed sensus obscurior est. Nec enim video, cur necesse sit, Platæis non instauratis, everti Megalopolin et Messenam. Sed quod sequitur, locum hunc declarat: δῆλοι δήπου πᾶσιν ἔσονται, οὐχ ἵνα Θεσπιαὶ κατοικισθῶσι, ποιούμενοι τὴν σπουδὴν, etc. Unde apparet, Laconas ursisse instaurationem Thespiarum, conquestos, inique secum agi, si Thebani in Bœotia dominentur, jus idem in Peloponneso sibi non permittatur. Idem.

Κἂν ᾖ πρόδηλα ταῦτα] S. ὅτι τοῖς Λάκωσιν οὐκ ἐπιτρέψομεν ἀδικεῖν. Si palam factum fuerit, Laconum grassationes prohibitum iri a nobis. Idem.

Πρὸς ἐκεῖνα τούτους] Τοὺς Θηβαίους πρὸς τὴν τῶν Πλαταιῶν κατοίκισιν (sic enim per ι, non κατοίκησιν per η, in penultima legendum censeo). Thebani Platæarum instaurationi adversabuntur. Idem.

Ἀνήνυτα πράγματα] *Irrita negotia habebimus*, id est, frustra labores atque molestias capiemus.

θ'. Δεῖ τὰς στήλας καθελεῖν] S. τοὺς Ἀρκάδας, pilas, quibus fœdera inscripta erant, demoliendas esse a Megalopolitanis. Idem.

ποιεῖν ὁπότεροι ταῦτα, τότ' ἤδη μετὰ τῶν ἐθελόντων ἡμᾶς γίνεσθαι· εἴτε γὰρ εἰρήνης[1] γιγνομένης αὐτοῖς οἱ Μεγαλοπολῖται ἔτι τῆς Θηβαίων συμμαχίας ἕξονται, φανεροὶ δή που πᾶσιν ἔσονται τὴν πλεονεξίαν τὴν Θηβαίων, οὐ τὸ δίκαιον, αἱρούμενοι, εἴτε συμμάχους ἀδόλως ἡμᾶς τῶν Μεγαλοπολιτῶν ποιουμένων μὴ ἐθελήσουσιν ἄγειν εἰρήνην οἱ Λακεδαιμόνιοι, δῆλοι δή που πᾶσιν ἔσονται οὐχ ἵνα Θεσπιαὶ κατοικισθῶσι[2] ποιούμενοι τὴν σπουδὴν, ἀλλ' ἵνα τοῦ πολέμου τούτου περιεστηκότος Θηβαίοις τὴν Πελοπόννησον ὑφ' ἑαυτοῖς ποιήσωνται.

ι'. Θαυμάζω δ' ἐνίων, εἰ τὸ μὲν Θηβαίων συμμάχους εἶναι τοὺς Λακεδαιμονίων ἐχθροὺς φοβοῦνται· εἰ δὲ καταστρέψονται Λακεδαιμόνιοι τούτους αὐτοὺς, μηδὲν ἡγοῦνται φοβερὸν, καὶ ταῦτ' ἔργῳ πεῖραν ἡμῖν δεδωκότος τοῦ χρόνου ὅτι Θηβαῖοι μὲν τούτοις συμμάχοις ἐπὶ Λακεδαιμονίους ἀεὶ χρῶνται· Λακεδαιμόνιοι δὲ ὅτ' εἶχον αὐτοὺς ἐφ' ἡμᾶς ἐχρῶντο.[3] οἶμαι τοίνυν ἔγωγε κἀκεῖνο ἐνθυμεῖσθαι δεῖν, ὅτι μὴ προσδεξαμένων μὲν ὑμῶν τοὺς Μεγαλοπολίτας, ἐὰν μὲν ἀναιρεθῶσι καὶ διοικισθῶσιν, ἰσχυροῖς Λακεδαιμονίοις εὐθὺς ἔστιν εἶναι· ἐὰν δὲ σωθῶσιν ἄρα, ὡς ἤδη τι καὶ παρ' ἐλπίδας ἐξέβη, βέβαιοι σύμμαχοι Θηβαίων δικαίως ἔσονται. ἐὰν δὲ προσδέξησθε, τούτοις μὲν ὑπάρξει ἤδη σωθῆναι δι' ὑμᾶς· τὸ δὲ συμβησόμενον[4] καὶ τὸν τοῦ κινδύνου λογισμὸν μετενεγκόντες σκοπῶμεν ἐπὶ Θηβαίων καὶ Λακεδαιμονίων. ἐὰν μὲν τοίνυν καταπολεμηθῶσιν οἱ Θηβαῖοι, ὥσπερ αὐτοὺς

[1] *γενομένης* [2] *κατοικισθῶσι μόνον ποιούμενοι* [3] *οἴομαι* [4] * *κατὰ*

Τότ' ἤδη μετὰ τῶν ἐθελόντων] S. *ποιεῖν τὸ προσταττόμενον*, hos defendemus, qui nostris mandatis obtemperabunt. Sic Cyrus apud Xenophontem *γ'*. Παιδείας, de Chaldæis et Armeniis loquens: *κἂν ἀδικῶσιν ὑμῶν ὁποτεροιοῦν, σὺν τοῖς ἀδικουμένοις ἐσόμεθα ἡμεῖς· Utri utri vestrum jus violarint, nos opem affectis injuria feremus.* Fel. perperam habet, *μετὰ τῶν ἐλθόντων*: ii vero et Arcades erant et Lacedæmonii. Sic utrisque mittenda erant auxilia, quod est absurdum. Idem.

Περιεστηκότος Θηβαίοις] Malim Θηβαίους, ut alibi construitur hoc verbum. Idem.

Τοῦ πολέμου τούτου] S. si urbes illas instaurari vetuerint. Idem.

ι'. Τὸ μὲν Θηβαίων συμμάχους εἶναι] *τὸ εἶναι. si sint, ἐὰν ὦσι.* Videtur aliquis Arcadum patronus dixisse, si Athenienses Megalopolitanos non receperint, eos conjunctos cum Thebanis, fore Atheniensibus formidabiles. id argumentum specie confutationis in suum commodum vertit, quodam fere dilemmate, ad hunc modum: sive succubuerint Arcades, illorum opibus aucti Lacones nos invadent: sive restiterint, firmiores Thebanorum socii, acriores nostri hostes erunt. Defendendi sunt igitur. Idem.

Διοικισθῶσι] Dissipata eorum urbe, et in vicos redacta. Sic in Isocrate: *εἰρήνης οὔσης Μαντινέας διῴκισαν.* Idem.

Μετενεγκόντες] S. a nobis. Non dicamus de nostris, sed de Thebanorum et Laconum commodis aut incommodis. Idem.

δεῖ, οὐκ ἔσονται μείζους τοῦ δέοντος οἱ Λακεδαιμόνιοι, τούτους ἔχοντες ἀντιπάλους, τοὺς Ἀρκάδας ἐγγὺς οἰκοῦντας· ἐὰν δὲ ἀνενέγκωσιν ἄρα οἱ Θηβαῖοι καὶ σωθῶσι [1] καὶ μὴ πέσωσιν, ἀλλ' οὖν ἀσθενέστεροί γε ἔσονται. ἡμῖν συμμάχων γεγενημένων τῶνδε [2] καὶ δι' ἡμᾶς σεσωσμένων· ὥςτε πανταχῇ συμφέρει μήτε προέσθαι τοὺς Ἀρκάδας μήτε δι' αὐτοὺς, ἂν ἄρα σωθῶσι, περιγεγονέναι δοκεῖν, [3] μηδὲ δι' ἄλλους τινὰς ἀλλὰ δι' ὑμᾶς.

ιά. Ἐγὼ [4] μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, μὰ τοὺς θεοὺς οὔτε φιλῶν οὐδετέρους οὔτε μισῶν ἰδίᾳ εἴρηκα· ἀλλ' ἃ νομίζω συμφέρειν ὑμῖν· καὶ παραινῶ μὴ προέσθαι Μεγαλοπολίτας μηδ' [5] ἄλλων ἁπλῶς μηδένα τῶν ἐλαττόνων τῷ μείζονι.

1 [καὶ μὴ πέσωσιν] 2 τῶνδε, * τῶν καὶ 3 μήτε 4 μὲν οὖν, ὦ 5 ἄλλον

Ἀνενέγκωσι] S. ἐκ τῆς ἥττης τοῦ Φωκικοῦ πολέμου. nisi forte ἀναφέρειν hic improprie sit usurpatum, pro ἀντέχωσι, et intelligendum sit non de præterito Phocensi, sed de futuro Atheniensium bello. IDEM.

ιά. Μηδ' ἄλλων ἁπλῶς] Lego aut τῶν ἄλλων, aut ἄλλον per ο. IDEM

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ ΛΟΓΟΥ.

ΤΟ`Ν συμμαχικὸν κληθέντα πόλεμον [1] πρὸς Ἀθηναίους, Χῖοι, καὶ Ῥόδιοι, καὶ Βυζάντιοι, πρότερον μὲν αὐτῶν ὑπήκοοι γεγονότες, τότε δὲ ἀλλήλοις συμμαχίαν πεποιημένοι κατὰ τῶν Ἀθηναίων· γείτονες δὲ ὄντες οἱ Ῥόδιοι τῇ Καρίᾳ, πρὸς τὸν ταύτης ὕπαρχον Μαύσωλον οἰκείως ἔχειν ἐδόκουν. ὁ δὲ, κατ' ὀλίγον πιστευόμενος ὑπ' αὐτῶν, ἐπιβουλὴν κατὰ τοῦ δήμου συνεστήσατο· καὶ τὴν δημοκρατίαν τῶν Ῥοδίων [2] καθελόμενος, ὀλίγοις τοῖς δυνατωτέροις [3] πόλιν κατεδούλωσε. συμβουλεύει τοίνυν ὁ Δημοσθένης, μὴ περιορᾷν ταῦτα, ἀλλὰ βοηθεῖν τῷ δήμῳ τῶν Ῥοδίων, συμφέρειν τοῖς Ἀθηναίοις τὸ δημοκρατεῖσθαι λέγων τὰς πόλεις. εἰ δὲ ἠδικήκασιν ἡμᾶς Ῥόδιοι, φησίν· ἀλλὰ πρέπον ἐστὶν ἡμῖν καὶ σύνηθες, τὸ καὶ τοὺς λυπήσαντάς τι τῶν Ἑλλήνων ἐλευθεροῦν, καὶ μὴ μνησικακεῖν ἁμαρτάνουσιν εἰς τὴν πόλιν.

[1] πόλεμον ἤραντο πρὸς [2] ἀφελόμενος [3] τὴν πόλιν

Πόλεμον πρὸς Ἀθηναίους] Lege cum Fel. πόλεμον ἤραντο πρός. Nam omnino hujus generis aliquod verbum deest. Wolf.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ ΛΟΓΟΣ.

Ol. 107, 2.

α΄. [1] ΟΊΜΑΙ δεῖν ἡμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους διδόναι παῤῥησίαν ἑκάστῳ τῶν συμβουλευόντων. ἐγὼ δὲ οὐδεπώποτε ἡγησάμην χαλεπὸν [2] διδάξαι τὰ βέλτιστα ὑμᾶς—ὡς γὰρ εἰπεῖν [3] ἁπλῶς, ἅπαντες

[1] οἴομαι * μὲν δεῖν ὑμᾶς , [2] τὸ διδάξαι [3] ἁπλῶς εἰπεῖν

α΄. Ὡς γὰρ εἰπεῖν ἁπλῶς] Alias ὡς ἔπος εἰπεῖν, eodem sensu. Wolf.

Ἅπαντες ἐγνωκότες ὑπάρχειν μοι δοκεῖτε] Ὑπάρχω præter id quod *licere*, *contingere*, *evenire*, &c. significat, jungitur etiam cum aliis verbis, ut τυγχάνω et εἰμὶ, quemadmodum etiam hoc loco videre est. Græci enim, præsertim Attici, sunt φιλομέτοχοι,

ἐγνωκότες ὑπάρχειν μοι δοκεῖτε—ἀλλὰ τὸ πράττειν [1] πεῖσαι ταῦτα· ἐπειδὰν γάρ τι δόξῃ καὶ ψηφισθῇ, [2] τοσοῦτον τοῦ πραχθῆναι ἀπέχει, [3] ὅσον πρὶν δόξαι.

β΄. Ἔστι μὲν οὖν ἓν, ὧν ἐγὼ [4] νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς [5] ὀφείλειν, τὸ, τοὺς διὰ τὴν αὐτῶν ὕβριν ὑμῖν πολεμήσαντας οὐ πάλαι, νῦν ἐν ὑμῖν μόνοις τῆς αὐτῶν σωτηρίας ἔχειν τὰς ἐλπίδας. ἄξιον δὲ ἡσθῆναι τῷ παρόντι καιρῷ· συμβήσεται γὰρ ὑμῖν, ἐὰν ἃ χρὴ βουλεύσησθε ὑπὲρ αὐτοῦ, τὰς παρὰ τῶν διαβαλλόντων τὴν πόλιν ἡμῶν βλασφημίας ἔργῳ μετὰ δόξης καλῆς ἀπολύσασθαι. ᾐτιάσαντο μὲν γὰρ ἡμᾶς ἐπιβουλεύειν αὐτοῖς Χῖοι καὶ Βυζάντιοι καὶ Ῥόδιοι· καὶ διὰ ταῦτα συνέστησαν ἐφ᾿ ἡμᾶς τὸν τελευταῖον τουτονὶ πόλεμον. φανήσεται δὲ ὁ μὲν πρυτανεύσας ταῦτα καὶ πείσας Μαύσωλος, φίλος εἶναι φάσκων Ῥοδίων, τὴν ἐλευθερίαν αὐτῶν ἀφῃρημένος· οἱ δ᾿ ἀποδείξαντες αὐτοὺς συμμάχους Χῖοι καὶ Βυζάντιοι, τοῖς ἀτυχήμασιν αὐτῶν οὐ βεβοηθηκότες. ὑμεῖς δὲ οὓς ἐφοβοῦντο μόνοι τῶν πάντων τῆς σωτηρίας αὐτοῖς αἴτιοι. ἐκ δὲ τοῦ ταῦτα ὑπὸ πάντων ὀφθῆναι ποιήσετε τοὺς πολλοὺς ἐν ἁπάσαις ταῖς πόλεσι τοῦτο ποιεῖσθαι σύμβολον τῆς αὐτῶν σωτηρίας, ἐὰν ὑμῖν ὦσι φίλοι· οὗ μεῖζον οὐδὲν ἂν ὑμῖν γένοιτο ἀγαθὸν ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτου τυχεῖν εὐνοίας.

[1] πεῖσαι πράττειν [2] τότε τοσοῦτον [3] ὅσονπερ πρὶν [4] νομίζω δεῖν χάριν
[5] ὀφείλειν, ὁρῶντας, τοὺς

sæpius tamen τῷ εἶναι καὶ τῷ τυγχάνειν utuntur cum participio, quam τῷ ὑπάρχειν. *Ex edit.* Wolf.

β΄. Βλασφημίας] *Convicia, maledicta.* Nam quod Suidas βλάσφημος ὁ εἰς θεὸν ἐξυβρίζων, id est, *Blasphemum esse, qui probra in Deum congerat*, exponit, id non Demosthenicum, sed theologicum est. Fortasse fit ἀπὸ τοῦ βλάσκειν, quod Hesychio est λέγειν, καπνίζειν, ut sit, βλάσφημος ὁ βλάσκων τὴν φήμην, *qui famam alterius incessit, infuscat et denigrat*: aut quasi βλάπτων τὴν φήμην, *qui famæ nocet.* Wolf.

Φανήσεται δὲ ὁ μὲν πρυτανεύσας ταῦτα] Id est, *qui harum rerum transactor et summus administer fuit.* Sic supra in tertia Philippica, χορηγὸν ἔχοντες Φίλιππον, καὶ πρυτανευόμενοι παρ᾿ ἐκείνου. Translatio ab iis qui publice in Prytaneo alebantur. Aristoph. Ἀχαρν. μὰ τὸν Ἀπόλλω ἐγὼ μὲν οὐ σιγήσω, ἢν μὴ περὶ εἰρήνης πρυτανεύητε. id est, *consultetis, consilia agitetis, et de pace agatis*, χρηματίζητε, πράττητε. ideo dictum, ὅτι πάντα διὰ τῶν πρυτανέων διεπράττοντο. *Ex edit.* Wolf.

Τοῖς ἀτυχήμασιν αὐτῶν] Hoc malo, quam τοῖς ἀτυχήσασιν, etsi oligarchici felices videbantur. Sed fit hic mentio τοῦ δήμου τῶν Ῥοδίων. Wolf.

Τῆς σωτηρίας αὐτοῖς αἴτιοι γεγενημένοι] Hoc participium et sententia, et compositio, et priora duo, ἀφῃρημένος, βεβοηθηκότες, requirunt: ne tertium membrum sit mutilum et κακόφωνον. Idem.

Τοὺς πολλοὺς ἐν ἁπάσαις] Id est, τοὺς δήμους, τοὺς δημοκρατουμένους; multitudinem liberam. Idem.

Ἀνυπόπτου τυχεῖν εὐνοίας] S. τοῦ ἐπιβουλεύειν αὐτοῖς ἡμᾶς, ut nobis et bene cupiant, et nos suæ libertati insidiari minime suspicentur, omnique tyrannidis suspicione liberent. Idem.

γ'. Θαυμάζω δ', ὅτι τοὺς αὐτοὺς ὁρῶ ὑπὲρ μὲν Αἰγυπτίων τἀναντία πράττειν βασιλεῖ τὴν πόλιν πείθοντας, ὑπὲρ δὲ τοῦ Ῥοδίων δήμου φοβουμένους τὸν αὐτὸν ἄνδρα τοῦτον. καίτοι τοὺς μὲν, Ἕλληνας ὄντας ἅπαντες ἴσασι· τοὺς δ', ἐν τῇ ἀρχῇ τῇ ἐκείνου μεμερισμένους.

δ'. [1]Οἶμαι δὲ ὑμῶν μνημονεύειν ἐνίους, ὅτι ἡνίκα ἐβουλεύεσθε περὶ τῶν βασιλικῶν παρελθὼν ἐγὼ πρῶτος παρῄνεσα· οἶμαι δὲ καὶ μόνος ἢ δεύτερος εἰπεῖν, ὅτι μοι σωφρονεῖν ἂν δοκοῖτε, εἰ [2]τὴν πρόφασιν τῆς παρασκευῆς μὴ τὴν πρὸς ἐκεῖνον ἔχθραν ποιοῖσθε, ἀλλὰ παρασκευάζοισθε μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθροὺς, ἀμύνοισθε δὲ κἀκεῖνον, ἐὰν ὑμᾶς ἀδικεῖν ἐπιχειρῇ. καὶ οὐκ ἐγὼ μὲν ταῦτα εἶπον, ὑμῖν δ' οὐκ ἐδόκουν ὀρθῶς λέγειν, ἀλλὰ καὶ ὑμῖν ἤρεσκε ταῦτα. ἀκόλουθος τοίνυν [3]λόγος ἐστί μοι τῷ τότε ῥηθέντι· ἐγὼ γὰρ, εἰ βασιλεὺς παρ' αὐτὸν ὄντα με σύμβουλον ποιοῖτο, ταῦτ' ἂν αὐτῷ παραινέσαιμι ἅπερ ὑμῖν· ὑπὲρ μὲν τῶν ἑαυτοῦ πολεμεῖν, ἐάν τις ἐναντιῶται τῶν Ἑλλήνων· ὧν δὲ μηδὲν αὐτῷ προσήκει, τούτων μηδ' ἀντιποιεῖσθαι τὴν ἀρχήν. εἰ μὲν οὖν ὅλως ἐγνώκατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσων ἂν βασιλεὺς ἐγκρατὴς γένηται [4]φθάσας καὶ παρακρουσάμενός τινας τῶν ἐν ταῖς πόλεσι, παραχωρεῖν, οὐ καλῶς ἐγνώκατε ὡς ἐγὼ κρίνω. εἰ δ' ὑπέρ γε τῶν δικαίων καὶ πολεμεῖν, ἂν τούτου δέῃ, καὶ πάσχειν ὁτιοῦν ἂν οἴεσθε χρῆναι, πρῶτον μὲν ὑμῖν

[1] οἴομαι [2] [τὴν] [3] τοίνυν ὁ νῦν λόγος [4] φθάσας, * ἢ καὶ

γ'. Θαυμάζω δὲ] Perstringit oratores, ut qui sibi parum constent. Idem.

δ'. Εἰ τὴν πρόφασιν τῆς παρασκευῆς] Confer huc locum præcedentis orationis: Quod si alia copiarum esset ratio, qua ulcisci liceret Barbarum, alia, qua Græcos, fortasse palam fieret, nos adversus eum instrui, etc. Nam ibi vult instructionem ita fieri, ut de oppugnando Persa, fœdere intercedente, cogitare nihil videantur. Idem.

Πρὸς τοὺς ὑπάρχοντας ἐχθροὺς] Ὑπάρχοντες ἐχθροὶ et ὁμολογοῦντες ἐχθροὶ, sunt *haud dubii hostes*: quorum odia non provocanda, sed vindicanda sunt. Idem.

Καὶ οὐκ ἐγὼ μὲν ταῦτ' εἶπον] Id est: *Non ego modo hæc dixi: sed vobis et placuit, et probata mea fuit oratio.* Vel, *quemadmodum hæc ego dixi: sic vos probastis.* Idem.

Ἀκόλουθος τοίνυν] Ἀκόλουθος substantivum, *puerum pedissequum* significat: θεράπων, *servus, qui domini corpus tuetur.* ἀκόλουθος adjectivum, ὅμοιον, *similem, consentaneum.* ἀκολουθῆσαι, ὁμοίως διαπράξασθαι, *rem eodem modo gerere*: ἕπεσθαι, *sequi*: ἐνέχεσθαι, *in aliqua re contineri et inesse.* ἀκόλουθον ἀπέβη τὸ τέλος ταῖς προτέραις ἐνεργείαις, *Consentaneus fuit exitus prioribus actionibus*, et Polybius: βουλόμενος ἀκόλουθον εἶναι τοῖς ἔργοις τὴν διὰ τῶν λόγων ἐπαγγελίαν, *ut res ipsæ verborum pollicitationi responderent.* Ex Hesychio et Suida. ἀνακόλουθον, τὸ μαχόμενον, *dissentaneum.* Idem.

Τούτων μηδ' ἀντιποιεῖσθαι τὴν ἀρχὴν] His verbis probare vult, non consentaneum esse, regem Persarum Rhodiorum magistratuum defensionem suscepturum. Idem.

Τινὰς τῶν ἐν ταῖς πόλεσι] Quarundam civitatum magistratus. Idem.

ἧττον δεήσει [1] τούτου, ὅσῳ μᾶλλον ἂν ἐγνωκότες ἦτε ταῦτα· ἔπειθ᾽ ἃ προσήκει φρονεῖν δόξετε.

έ. Ὅτι δ᾽ οὐδὲν καινὸν οὔτ᾽ ἐγὼ λέγω νῦν κελεύων Ῥοδίους ἐλευθεροῦν, οὔθ᾽ ὑμεῖς, ἂν πεισθῆτέ μοι, ποιήσετε, τῶν γεγενημένων ὑμᾶς τι καὶ [2] τῶν συνενηνοχότων ὑπομνήσω. ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, βοηθήσοντα Ἀριοβαρζάνῃ, προσγράψαντες τῷ ψηφίσματι μὴ λύοντα τὰς σπονδὰς τὰς πρὸς βασιλέα. ἰδὼν δ᾽ ἐκεῖνος τὸν μὲν Ἀριοβαρζάνην φανερῶς ἀφεστῶτα τοῦ βασιλέως, Σάμον δὲ φρουρουμένην ὑπὸ Κυπροθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος, τῷ μὲν ἀπέγνω μὴ βοηθεῖν, τὴν δὲ προσκαθεζόμενος καὶ [3] πολεμήσας ἠλευθέρωσε· καὶ μέχρι τῆς τήμερον ἡμέρας οὐ γέγονε πόλεμος διὰ ταῦθ᾽ ὑμῖν· οὐ γὰρ ὁμοίως οὐδεὶς ὑπέρ τε τοῦ πλεονεκτεῖν πολεμήσειεν ἂν καὶ [4] ὑπὲρ τῶν ἑαυτοῦ· ἀλλ᾽ ὑπὲρ μὲν ὧν ἐλαττοῦνται μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν· ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν οὐχ οὕτως· ἀλλ᾽ ἐφίενται μέν, ἐάν τις ἐᾷ· ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι τοὺς ἐναντιωθέντας αὐτοῖς ἡγοῦνται.

ς́. Ὅτι δ᾽ [5] οὐδ᾽ ἐναντιωθῆναί μοι δοκεῖ τῇ πράξει ταύτῃ νῦν Ἀρτεμισία, τῆς πόλεως οὔσης ἐπὶ τῶν πραγμάτων, μικρὰ ἀκούσαντες σκοπεῖτε, εἴτε ὀρθῶς ἐγὼ λογίζομαι ταῦτα εἴτε καὶ μή. ἐγὼ νομίζω, πράττοντος μὲν ἐν Αἰ-

[1] τούτων [2] [τῶν] [3] βοηθήσας [4] [ὑπὲρ] [5] οὐδ᾽ ἂν

Δεήσει τούτου] Scilicet τοῦ πολεμεῖν. Idem.

Ἐγνωκότες ἦτε ταῦτα] *Statueritis hæc*, scilicet, ὅτι ὑπὲρ τῶν δικαίων πολεμεῖν χρὴ, jus bello tuendum. Idem.

έ. Τῶν συνενηνοχότων] Συμφέρειν alias *conferre*, id est, *prodesse*, quod ea ferat, quibus juvemur. συμφορὰ *casum* significat, sæpius adversum, nonnunquam tamen *eventum* simpliciter, sicut et τύχη. Possis igitur hic τὰ συνενηνοχότα, ἀντὶ τῶν συμβάντων, *pro his quæ evenerunt*, interpretari. Melius tamen est, ut ἀντὶ τῶν ὠφεληκότων, *pro his quæ profuerunt*, accipias. Idem.

Τῷ μὲν ἀπέγνω μὴ βοηθεῖν] Est Græca negationis geminatio, vehementius negans: Minime committendum censuit, ut Ariobarzanem adjuvaret. Hujus et in Aristocratea fit mentio, quem Ulpianus Persicum satrapam fuisse scribit. Alius est ille Ἀριοβαρζάνης ὁ εὐσεβὴς καὶ φιλορώμαιος βασιλεὺς τῶν Καππαδοκῶν, a Cicerone defensus. Idem.

Καὶ μέχρι τῆς τήμερον ἡμέρας οὐ γέγονε πόλεμος] Id est, *ad hodiernum usque diem*. Sic Cicero Philip. 4. *hodierno die* dixit pro *hodie*, quemadmodum Græci τὴν τήμερον ἡμέραν, ἀντὶ τοῦ σήμερον καὶ τήμερον. Dinarch. καὶ ἡ τήμερον ἡμέρα, καὶ ἡ ἡμετέρα ψῆφος πολλὴν ἀσφάλειαν τῇ πόλει καταστήσει. *Ex edit.* Wolf.

Ὑπέρ τε τοῦ πλεονεκτεῖν] *Pro amplificando imperio.* Wolf.

ς́. Ὅτι δ᾽ οὐδ᾽ ἐναντιωθῆναι] Pro ἐναντιωθήσεσθαι. sic paulo post, σφόδρα ἂν πειραθῆναι, ἀντὶ τοῦ πειράσεσθαι. Idem.

Ἐπὶ τῶν πραγμάτων εἶναι] *In rebus esse*, id est, ἀντιλαβέσθαι τῶν πραγμάτων, *rerum curam suscepisse.* Idem.

Πράττοντος ὅσα] Ὑποθετικῶς accipiendum: Si regi, quæ molitur, ex animi sententia succederent. Sequitur adversativa,

γύπτῳ πάντα [1]ὅσ᾽ ὥρμηκε βασιλέως, σφόδρα ἂν Ἀρτεμισίαν πειραθῆναι περιποιῆσαι Ῥόδον αὐτῷ, οὐ τῇ βασιλέως εὐνοίᾳ, ἀλλὰ τῷ βούλεσθαι, πλησίον αὐτῆς διατρίβοντος ἐκείνου, μεγάλην εὐεργεσίαν καταθέσθαι πρὸς αὐτὸν, ἵν᾽ ὡς οἰκειότατ᾽ αὐτὴν ἀποδέχοιτο· πράττοντος δὲ ὡς λέγεται καὶ διημαρτηκότος οἷς ἐπεχείρησεν, ἡγεῖσθαι τὴν νῆσον ταύτην, ὅπερ ἐστὶν, ἄλλο μὲν [2]οὐδὲν εἶναι βασιλεῖ χρησίμην ἐν τῷ παρόντι· τῆς δ᾽ [3]αὐτῆς ἀρχῆς ἐπιτείχισμα πρὸς τὸ μηδοτιοῦν παρακινεῖν. ὥστε μοι δοκεῖ μᾶλλον ἂν ὑμᾶς ἔχειν, μὴ φανερῶς αὐτῆς ἐνδούσης, ἢ ἐκεῖνον λαβεῖν βούλεσθαι. [4]οἶμαι μὲν οὖν οὐδὲ βοηθήσειν αὐτήν. ἂν δ᾽ ἄρα τοῦτο ποιῇ, φαύλως καὶ κακῶς· ἐπεὶ καὶ βασιλέα [5]ὅ, τι μέν [6]ποτε ποιήσει, μὰ Δί᾽ οὐκ ἂν εἴποιμι ἔγωγε ὡς οἶδα. ὅτι μέντοι συμφέρει τῇ πόλει δῆλον ἤδη γενέσθαι, πότερα ἀντιποιήσεται τῆς πόλεως τῆς Ῥοδίων ἢ οὔ, ταῦτα ἂν ἰσχυρισαίμην· οὐ γὰρ ὑπὲρ Ῥοδίων βουλευτέον [7]ἂν ἀντιποιῆται μόνον, ἀλλ᾽ ὑπὲρ ὑμῶν αὐτῶν καὶ πάντων τῶν Ἑλλήνων.

ζʹ. Οὐ μὴν, οὐδ᾽ ἂν εἰ δι᾽ [8]αὐτῶν εἶχον τὴν πόλιν οἱ νῦν ὄντες ἐν αὐτῇ Ῥόδιοι, παρῄνεσα ἂν ὑμῖν τούτους ἑλέσθαι, οὐδ᾽ εἰ πάντα ὑπισχνοῦντο ἡμῖν ποιήσειν· ὁρῶ γὰρ αὐτοὺς τὸ μὲν πρῶτον, ὅπως καταλύσωσι τὸν δῆμον, προσλαβόντας τινὰς τῶν πολιτῶν· ἐπειδὴ δὲ τοῦτ᾽ ἔπραξαν, πάλιν ἐκβαλόντας τούτους· τοὺς οὖν μηδετέροις πιστῶς κεχρημένους οὐδ᾽ ἂν ὑμῖν βεβαίους ἡγοῦμαι γενέσθαι συμμάχους. καὶ ταῦτα οὐδέποτ᾽ εἶπον ἂν, εἰ τῷ Ῥοδίων δήμῳ μόνον ἡγούμην συμφέρειν. οὔτε γὰρ [9]πρόξενος τῶν ἀνδρῶν οὔτε ἰδίᾳ ξένος αὐτῶν οὐδείς ἐστί μοι. οὐ μὴν, οὐδ᾽ εἰ ταῦτα ἀμφότερα ἦν, εἰ μὴ συμφέρειν ὑμῖν ἡγούμην, εἶπον ἄν· ἐπεὶ Ῥοδίοις γε—εἰ οἷόν τε τοῦτ᾽ εἰπεῖν τῷ συναγορεύοντι τῇ σωτηρίᾳ αὐτῶν—

[1] ὡς [2] οὐδὲν ἂν εἶναι [3] αὑτῆς [4] οἴομαι [5] γ᾽ ὅ, τι [6] [ποτε] [7] ἄν γ᾽ ἀντιποιῆται [8] αὑτῶν [9] προξενῶ

πράττοντος δ᾽ ὡς λέγεται, cum vero ita, uti fertur, cum eo agatur, ejusque conatus sint irriti. Vide Panegyricum Isocratis. IDEM.

ζʹ. Πρόξενος] Ξένος, παρὰ τὸ ἔξω εἶναι τῆς πατρίδος, *quod extra patriam sit*, dicitur Latine *hospes*, tam is, qui excipit, quam qui excipitur, *peregrinus*. πρόξενος, *qui alicui rei cujuspiam, seu bonæ, seu malæ, est auctor*. πρόξενοι item dicebantur, qui publice in hoc constituti erant, ut exterarum civitatum legatos exciperent. Sed usitatissima et huic loco apta significatio vocabuli hæc est, ut is intelligatur, qui exteræ civitati est amicus, ejusque negotia curat. et sic accipiendum esse declarat id, quod sequitur, οὔτε ἰδίᾳ ξένος, quem alioqui composito vocabulo nominant ἰδιόξενον, cum quo propter privatas rationes amicitia, vel hospitium intercedit. δορύξενος, ὁ ἐκ τῆς κατὰ τὸν

συγχαίρω τῶν γεγενημένων, ὅτι τοῦ κομίσασθαι τὰ ὑμέτερ' ὑμῖν φθονήσαντες τὴν αὐτῶν ἐλευθερίαν ἀπολωλέκασι. καὶ παρὸν αὐτοῖς [1]Ἕλλησι καὶ βελτίοσιν ὑμῖν αὐτῶν ἐξ ἴσου συμμαχεῖν, βαρβάροις καὶ δούλοις, οὓς εἰς τὰς ἀκροπόλεις παρεῖνται, δουλεύουσιν. ὀλίγου δὲ δέω λέγειν, ἂν ὑμεῖς αὐτοῖς ἐθελήσητε βοηθῆσαι, ὡς καὶ συνενήνοχε ταῦτ' αὐτοῖς· εὖ μὲν γὰρ πράττοντες οὐκ οἶδ' [2] εἴποτ' εὖ φρονῆσαι ἠθέλησαν, ὄντες Ῥόδιοι. ἔργῳ δὲ πειραθέντες καὶ διδαχθέντες, ὅτι πολλῶν κακῶν ἡ ἄνοια πολλοῖς αἰτία γίγνεται, τάχ' ἂν εἰ τύχοιεν σωφρονέστεροι πρὸς [3]τὸ λοιπὸν τοῦ χρόνου γένοιντο. τοῦτο δὲ οὐ μικρὸν αὐτοῖς ὠφέλημα ἡγοῦμαι. φημὶ δὴ χρῆναι πειρᾶσθαι σώζειν τοὺς ἄνδρας καὶ μὴ μνησικακεῖν ἐνθυμουμένους, ὅτι πολλὰ καὶ ὑμεῖς ὑπὸ τῶν ἐπιβουλευσάντων ἐξηπάτησθε, ὧν οὐδενὸς αὐτοὶ δίκην δοῦναι [4]δίκαιον ἂν εἶναι φήσαιτε.

η'. Ὁρᾶτε δὲ κἀκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πολλοὺς ὑμεῖς πεπολεμήκατε πολέμους καὶ πρὸς δημοκρατίας καὶ πρὸς ὀλιγαρχίας, καὶ τοῦτο [5]ἴστε μὲν καὶ αὐτοί· ἀλλ' ὑπὲρ ὧν πρὸς ἑκατέρους ἔσθ' ὑμῖν ὁ πόλεμος, τοῦτ' ἴσως ὑμῶν οὐδεὶς λογίζεται. ὑπὲρ τίνων οὖν ἐστί; πρὸς μὲν τοὺς δήμους ἢ περὶ τῶν ἰδίων ἐγκλημάτων, οὐ δυνηθέντων δη-

[1] ἕλλησί τε καὶ [2] εἴποτ' ἂν εὖ [3] τὸν [4] * δίκαιοι [5] μὲν ἴστε

πόλεμον ἐπιμιξίας τὴν γνῶσιν πεποιημένος, ein Spiessgesell. [a comrade.] Idem.

Τοῦ κομίσασθαι τὰ ὑμέτερα] S. qui pendere tributa detrectarunt, nostramque societatem repudiarunt: vel, qui nostras opes nobis restituere voluerunt. Isocrates in oratione de pace: ὅτι τὰς ἐν ταῖς πόλεσι κτήσεις κομιούμεθα. Idem.

Βελτίοσιν ὑμῖν αὐτῶν] *Vobis, qui dignitate illos antecellitis.* Idem.

Οὓς εἰς τὰς ἀκροπόλεις παρεῖνται] Passiva voce usus est verbo παρεῖνται, id est, παρῆκαν, παρείκασι, *admiserunt*. Sunt enim non pauca ejus generis, quæ vel Atticorum more dicuntur, vel auctoritate constant, ut κολάζομαι ἀντὶ τοῦ κολάζω, ἐγκαλεῖσθαι pro ἐγκαλεῖν, παρεῖμαι ἀντὶ τοῦ πάρεικα ut hoc loco, συνίσταμαι ἀντὶ τοῦ συνίστημι, ἀνίεσθαι ἀντὶ τοῦ ἀνεῖναι. Atque his plura, quæ collegit Bud. in Comment. *Ex edit.* Wolf.

Παρεῖνται] Pro παρείκασιν, *admiserunt, receperunt*, a παρίημι, παρεῖμαι, παρεῖσαι, παρεῖται, παρεῖνται. Wolf.

Ὄντες Ῥόδιοι] Id est, homines pertinaces et superbi. Homerus Ῥοδίους ἀγερώχους cognominat. et Livius Decad. v. lib. 5. "Tradidere quidam, legatos Rhodios nondum missos, post victoriam nunciatam, velut ad ludibrium stolidæ superbiæ, in Senatum vocatos esse." Isocrates Plataico: ἀλλὰ τολμῶσιν ὄντες Θηβαῖοι λακωνισμὸν ἑτέροις ὀνειδίζειν· et noster auctor paulo post Ἀθηναῖοι ὄντες. Idem.

Τάχ' ἂν εἰ τύχοιεν] *Fortasse, si ita ceciderit, si fors ita tulerit.* εἰ τύχοιμι, τύχοις, τύχοι, τύχοιτον, τυχοίτην, τύχοιμεν, τύχοιτε, τύχοιεν, per omnes personas et numeros, adverbialiter accipitur, pro *fortasse:* ut τελευτῶν participium. τάχα, *fortasse*, εἰ τύχοιεν, *si fors Rhodiorum ita tulerit.* Est fere pleonasmus. Sic in 2. (1.) Olynthiaca. καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ, id est, *fieri potest, ut res bona spe floreant.* ἂν τύχῃ τὰ πράγματα, *si fors negotiorum ita tulerit*, id est, *fortasse*, vel, *fieri potest*, ut, ἐνδέχεται. Idem.

η'. Οὐ δυνηθέντων δημοσίᾳ διαλύσασθαι ταῦ-

μοσίᾳ διαλύσασθαι ταῦτα, ἢ περὶ γῆς μέρους ἢ ὅρων ἢ φιλοτιμίας ἢ τῆς ἡγεμονίας· πρὸς δὲ τὰς ὀλιγαρχίας ὑπὲρ μὲν τούτων οὐδενὸς, ὑπὲρ δὲ τῆς πολιτείας καὶ τῆς ἐλευθερίας· ὥστε ἔγωγ᾽ οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν, μᾶλλον ἡγεῖσθαι συμφέρειν δημοκρατουμένους τοὺς Ἕλληνας ἅπαντας πολεμεῖν ἡμῖν ἢ ὀλιγαρχουμένους φίλους εἶναι· πρὸς μὲν γὰρ ἐλευθέρους ὄντας, οὐ χαλεπῶς ἂν ὑμᾶς εἰρήνην ποιήσασθαι νομίζω ὁπότε βουληθείητε. πρὸς δὲ [1] τοὺς ὀλιγαρχουμένους, οὐδὲ τὴν φιλίαν ἀσφαλῆ νομίζω· οὐ γὰρ ἔσθ᾽ ὅπως ὀλίγοι πολλοῖς καὶ ζητοῦντες ἄρχειν τοῖς μετ᾽ ἰσηγορίας ζῆν ᾑρημένοις εὖνοι γένοιντ᾽ ἄν.

θ΄. Θαυμάζω δὲ, εἰ μηδεὶς ὑμῶν ἡγεῖται, Χίων ὀλιγαρχουμένων καὶ Μιτυληναίων καὶ νυνὶ Ῥοδίων, καὶ πάντων ἀνθρώπων ὀλίγου δέω λέγειν εἰς ταύτην τὴν δουλείαν ὑπαγομένων, συγκινδυνεύειν τι τὴν παρ᾽ ἡμῖν πολιτείαν, μηδὲ λογίζεται τοῦθ᾽, ὅτι οὐκ ἔστιν ὅπως, εἰ δι᾽ [2] ὀλιγαρχίας ἅπαντα συστήσεται, τὸν παρ᾽ [3] ἡμῖν δῆμον ἐάσουσιν· ἴσασι γὰρ οὐδένας ἄλλους πάλιν εἰς ἐλευθερίαν τὰ πράγματ᾽ ἂν ἐπανάξοντας. ὅθεν δὴ κακὸν αὐτοῖς ἄν τι γενέσθαι προσδοκῶσι, τούτους ἀνελεῖν βουλήσονται. τοὺς μὲν οὖν ἄλλους τοὺς ἀδικοῦντάς τινας αὐτῶν τῶν κακῶς πεπονθότων ἐχθροὺς ἡγεῖσθαι χρὴ, τοὺς δὲ τὰς πολιτείας καταλύοντας καὶ μεθιστάντας εἰς ὀλιγαρχίαν κοινοὺς ἐχθροὺς παραινῶ νομίζειν πάντων τῶν ἐλευθερίας ἐπιθυμούντων· ἔπειτα καὶ δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, δημοκρατουμένους αὐτοὺς τοιαῦτα φρονοῦντας φαίνεσθαι περὶ τῶν ἀτυχούντων δήμων, [4] οἷα τοὺς ἄλλους ἀξιώσετε φρονεῖν περὶ ὑμῶν, εἴποτε, ὃ μὴ γένοιτο, τοιοῦτό τι συμβαίη· καὶ γὰρ, [5] εἰ δίκαιά τις ἂν φήσειε Ῥοδίους πεπονθέναι, οὐκ ἐπιτήδειος ὁ καιρὸς ἐφησθῆναι· δεῖ γὰρ τοὺς εὐτυχοῦντας περὶ τῶν ἀτυχούντων ἀεὶ φαίνεσθαι βουλευομένους τὰ βέλτιστα, ἐπειδήπερ ἄδηλον τὸ μέλλον ἅπασιν ἀνθρώποις.

[1] Deest articulus. [2] ὀλιγαρχιῶν [3] ὑμῖν
[4] οἷάπερ ἂν τοὺς ἄλλους ἀξιώσαιτε [5] οὐδ᾽ εἰ

τα] S. τῶν δήμων, etsi fortasse rectius, οὐ βουληθέντων. *Cum non possent aut vellent* (S. οἱ δῆμοι) *ea publice diluere*, aut *pro iis satisfacere*. ἴδια ἐγκλήματα utrum ea vocat, quæ a privatis hominibus sunt commissa: an quæ ad solos Athenienses pertinuerunt? Idem.

θ΄. Εἰ δι᾽ ὀλιγαρχίας ἅπαντα συστήσεται]

ί. Ἀκούω δ' ἔγωγε πολλάκις [1]ἐνταυθοῖ παρ' ὑμῖν τινῶν λεγόντων, ὡς, ὅτε ἠτύχησεν [2]ἡ πόλις ἡμῶν, συνεβουλεύθησάν τινες [3]αὐτὴν σωθῆναι· ὧν ἐγὼ [4]μόνον Ἀργείων ἐν τῷ παρόντι μνησθήσομαι βραχύ τι. οὐ γὰρ ἂν [5]ἡμᾶς βουλοίμην δόξαν ἔχοντας τοῦ σώζειν τοὺς ἀτυχήσαντας ἀεὶ χείρους Ἀργείων ἐν ταύτῃ τῇ πράξει φανῆναι, οἳ χώραν ὅμορον τῇ Λακεδαιμονίων οἰκοῦντες, ὁρῶντες ἐκείνους γῆς καὶ θαλάττης ἄρχοντας, οὐκ ἀπώκνησαν οὐδ' ἐφοβήθησαν εὐνοϊκῶς ὑμῖν ἔχοντες φανῆναι· ἀλλὰ καὶ πρέσβεις ἐλθόντας ἐκ Λακεδαίμονος, ὥς φασιν, ἐξαιτήσοντάς τινας τῶν φυγάδων τῶν ὑμετέρων ἐψηφίσαντο, ἐὰν μὴ πρὸ ἡλίου δύνοντος ἀπαλλάττωνται, πολεμιους κρίνειν. εἶτα οὐκ αἰσχρὸν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὸ μὲν Ἀργείων πλῆθος οὐκ ἐφοβήθη τὴν Λακεδαιμονίων ἀρχὴν ἐν ἐκείνοις τοῖς καιροῖς οὐδὲ τὴν ῥώμην, ὑμεῖς δὲ ὄντες Ἀθηναῖοι βάρβαρον ἄνθρωπον καὶ ταῦτα γυναῖκα φοβηθήσεσθε; καὶ μὴν οἱ μὲν ἔχοιεν ἂν εἰπεῖν, ὅτι πολλάκις ἥττηνται ὑπὸ Λακεδαιμονίων· ὑμεῖς δὲ νενικήκατε μὲν πολλάκις βασιλέα, ἥττησθε δὲ οὐδὲ ἅπαξ οὔτε [6]τῶν δούλων τοῦ βασιλέως οὔτε αὐτοῦ ἐκείνου· εἰ γάρ τοί που καὶ κεκράτηκε τῆς πόλεως βασιλεὺς, ἢ τοὺς πονηροτάτους τῶν Ἑλλήνων καὶ προδότας αὐτῶν χρήμασι πείσας ἢ οὐδαμῶς ἄλλως κεκράτηκε· καὶ οὐδὲ τοῦτο αὐτῷ συνενήνοχεν· [7]ἀλλὰ μὴν εὑρήσετε αὐτὸν τήν τε πόλιν [8]Λακεδαιμονίων ἀσθενῆ ποιήσαντα καὶ περὶ τῆς αὑτοῦ βασιλείας κινδυνεύσαντα πρὸς Κλέαρχον καὶ Κῦρον. οὔτ' οὖν ἐκ τοῦ φανεροῦ κεκράτηκεν, οὔτ' ἐπιβουλεῦσαι συνενήνοχεν αὐτῷ.

ιά. Ὁρῶ δ' ὑμῶν ἐνίους Φιλίππου μὲν ὡς ἄρα οὐδενὸς ἀξίου πολλάκις ὀλιγωροῦντας, βασιλέα δὲ ὡς ἰσχυρὸν ἐχθρὸν οἷς ἂν προέληται φοβουμένους. εἰ δὲ τὸν μὲν ὡς

[1] ἐνταυθὶ [2] ἡ πόλις] ὁ δῆμος [3] αὐτὸν [4] μόναν [5] ὑμᾶς
[6] ὑπὸ τῶν δούλων τῶν βασιλέως, οὐθ' ὑπ' αὐτοῦ
[7] ἀλλ' ἅμα εὑρήσετε [8] διὰ λακεδαιμονίων

Id est, si paucorum dominatus passim invalescet. Idem.

ί. Εἰ γάρ τοί που καὶ κεκράτηκε τῆς πόλεως] Hoc non ad excidium Athenarum bello Xerxis, sed ad alias clades bello Peloponnesiaco acceptas pertinet. Idem.

Τήν τε πόλιν Λακεδαιμονίων] Lego cum Feliciano διὰ Λακεδαιμονίων. Idem.

Πρὸς Κλέαρχον καὶ Κῦρον] Vide Ἀνάβασιν Xenophontis, et Isocratis Panegyricum et Symmachicum. Idem.

Οὔτ' ἐπιβουλεῦσαι συνενήνοχεν αὐτῷ] Potuisset et per participium dicere: οὔτ' ἐπιβουλεύσαντι συνενήνοχεν αὐτῷ. Idem.

ιά. Οἷς ἂν προέληται] S. ἐχθρὸς εἶναι, ἢ πολεμεῖν. Idem.

φαῦλον οὐκ ἀμυνούμεθα, τῷ δὲ ὡς φοβερῷ πάνθ' ὑπείξομεν, πρὸς τίνας, ὦ ἄνδρες Ἀθηναῖοι, παραταξόμεθα;

ιβ'. [1] Εἰσὶ δέ τινες οἱ παρ' ἡμῖν δεινότατοι τὰ δίκαια λέγειν ὑπὲρ τῶν ἄλλων πρὸς ὑμᾶς, οἷς παραινέσαιμ' ἂν ἔγωγε τοσοῦτον μόνον, ὑπὲρ ὑμῶν πρὸς τοὺς ἄλλους ζητεῖν τὰ δίκαια λέγειν, ἵν' αὐτοὶ τὰ προσήκοντα πρῶτοι φαίνωνται ποιοῦντες· ὡς ἔστιν ἄτοπον περὶ τῶν δικαίων ὑμᾶς διδάσκειν αὐτὸν οὐ δίκαια ποιοῦντα· οὐ γάρ ἐστι δίκαιον ὄντα πολίτην τοὺς καθ' ὑμῶν λόγους, ἀλλὰ μὴ τοὺς ὑπὲρ [2] ἡμῶν, ἐσκέφθαι· φέρε γὰρ πρὸς θεῶν σκοπεῖτε, τί δήποτε ἐν Βυζαντίῳ οὐδείς ἐσθ' ὁ [3] διδάσκων ἐκείνους μὴ καταλαμβάνειν Χαλκηδόνα; ἢ βασιλέως μέν ἐστιν, εἴχετε δ' ὑμεῖς αὐτὴν, ἐκείνοις δ' οὐδαμόθεν προσήκει· μηδὲ Σηλυμβρίαν πόλιν ὑμετέραν ποτὲ σύμμαχον οὖσαν ὡς αὐτοὺς συντελῆ ποιεῖν, καὶ [4] Βυζαντίους ὁρίζειν τὴν τούτων χώραν παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας, ἐν αἷς [5] αὐτονόμους εἶναι γέγραπται; οὐδὲ Μαυσώλου ζῶντος οὐδὲ τελευτήσαντος ἐκείνου, τὴν Ἀρτεμισίαν οὐδείς ἐσθ' ὁ διδάξων μὴ καταλαμβάνειν Κῶν καὶ Ῥόδον καὶ ἄλλας πόλεις ἑτέρας Ἑλληνίδας; ὧν καὶ βασιλεὺς ὁ ἐκείνων δεσπότης ἐν ταῖς συνθήκαις ἀπέστη τοῖς Ἕλλησι, καὶ περὶ ὧν πολλοὺς κινδύνους καὶ καλοὺς ἀγῶνας οἱ κατ' ἐκείνους τοὺς χρόνους Ἕλληνες ἐποιήσαντο. εἰ δ' ἄρα καὶ λέγει τις ἀμφοτέροις αὐτοῖς, ἀλλ' οἵ γε πεισόμενοι τούτοις, ὡς ἔοικεν, οὐκ εἰσίν· ἐγὼ δὲ δίκαιον μὲν εἶναι νομίζω κατάγειν τὸν Ῥοδίων δῆμον· οὐ μὴν ἀλλὰ καὶ εἰ μὴ δίκαιον ἦν, ὅταν εἰς ἃ ποιοῦσιν οὗτοι βλέψω, προσήκειν [6] οἶμαι παραινέσαι κατάγειν. διὰ τί; ὅτι

[1] εἰσὶ δέ τινες, ὦ ἄνδρες Ἀθηναῖοι, παρ' ὑμῖν [2] ὑμῶν [3] διδάξων
[4] Βυζάντιον [5] αὐτονόμους τὰς πόλεις εἶναι [6] οἴομαι

ιβ'. Τί δήποτε ἐν Βυζαντίῳ] Sententia est, impunitate proditorum confirmari audaciam. Idem.

Ἐκείνους] Nempe Βυζαντίους. Auger.

Ὡς αὐτοὺς συντελῆ ποιεῖν] Pro πρὸς, *sibi vendicare, obnoxiam facere*, συνεδρεύειν παρ' αὐτοῖς ἀναγκάζειν. Vide Plataicum Isocratis. Wolf.

Ὡς αὐτοὺς συντελῆ ποιεῖν] *Ad se ipsos attrahere vectigalem.* Auger.

Βυζάντιον ὁρίζειν] Significat, *Byzantii finibus addere.* Itaquoque *Reiskius.* Auger.

Αὐτονόμους] S. ἐκείνους, ὧν τὴν χώραν ὁρίζουσιν οἱ Βυζάντιοι. Wolf.

Οὐδὲ Μαυσώλου ζῶντος] Lego οὐδὲ Μαύσωλον ζῶντα, *qui vel Mausolum viventem, vel, eo defuncto, Artemisiam docuerit.* Idem.

Ὁ ἐκείνων δεσπότης] Τοῦ τε Μαυσώλου καὶ τῆς Ἀρτεμισίας. Idem.

Ἀμφοτέροις αὐτοῖς] Tam Artemisiæ, quam Byzantiis. Fuit et alia Artemisia antiquior, de qua Xerxes navali prœlio sibi mulieres viros, viros e contrario mulieres esse factos, dixisse fertur. Idem.

Οὗτοι] Nempe, Byzantii, Artemisia et alii. Auger.

πάντων μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δίκαια ποιεῖν ὡρμηκότων, αἰσχρὸν ἡμᾶς μόνους μὴ ἐθέλειν. ἁπάντων δὲ τῶν ἄλλων ὅπως ἀδικεῖν δυνήσονται παρασκευαζομένων, μόνους ἡμᾶς τὰ δίκαια προτείνεσθαι μηδενὸς ἀντιλαμβανομένους, οὐ δικαιοσύνην ἀλλ' ἀνανδρίαν ἡγοῦμαι.

ιγ'. Ὁρῶ γὰρ ἅπαντας πρὸς τὴν παροῦσαν δύναμιν καὶ τῶν δικαίων ἀξιουμένους, καὶ παράδειγμα τούτου λέγειν ἔχω πᾶσιν ὑμῖν γνώριμον· εἰσὶ συνθῆκαι διτταὶ τοῖς Ἕλλησι πρὸς βασιλέα, ἃς ἐποιήσατο ἡ πόλις ἡ ἡμετέρα, ἃς ἅπαντες ἐγκωμιάζουσι· καὶ μετὰ [1] ταῦτα ὕστερον Λακεδαιμόνιοι, ταύτας ὧν δὴ κατηγοροῦσι· κἀν ταύταις οὐχὶ ταὐτὰ δίκαια [2] ἀμφοτέρως ὥρισται· τῶν μὲν γὰρ ἰδίων δικαίων τῶν ἐν ταῖς πολιτείαις οἱ νόμοι κοινὴν τὴν μετουσίαν ἔδοσαν καὶ ἴσην καὶ τοῖς ἀσθενέσι καὶ τοῖς ἰσχυροῖς, τῶν δ' Ἑλληνικῶν δικαίων οἱ κρατοῦντες ὁρισταὶ τοῖς ἥττοσι γίνονται. ἐπειδὴ τοίνυν ὑμῖν ἐγνωκέναι τὰ δίκαια [3] καὶ ποιεῖν ὑπάρχει, ὅπως καὶ πρᾶξαι ταῦτα ἐφ' ὑμῖν ἔσται, δεῖ σκοπεῖν. ἔσται δὲ ταῦτα, ἐὰν ὑποληφθῆτε κοινοὶ προστάται τῆς [4] πάντων ἐλευθερίας εἶναι.

ιδ'. Εἰκότως δέ μοι δοκεῖ χαλεπώτατον ὑμῖν εἶναι πρᾶξαι τὰ δέοντα. τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ἀνθρώποις εἷς ἀγών ἐστιν ὁ πρὸς τοὺς προδήλους ἐχθροὺς, ὧν ἐὰν κρατήσωσιν, οὐδὲν ἐμποδὼν [5] αὐτοῖς κυρίοις τῶν ἀγαθῶν εἶναι· ὑμῖν δ', ὦ ἄνδρες Ἀθηναῖοι, δύο· οὗτός τε ὁ καὶ τοῖς ἄλλοις, καὶ [6] πρόσεσθ' ἕτερος τούτου πρότερος καὶ μείζων· δεῖ γὰρ ὑμᾶς βουλευομένους κρατῆσαι τῶν τἀναντία τῇ πόλει παρ' ὑμῖν πράττειν προῃρημένων. ὅταν οὖν μηδὲν ᾖ διὰ τούτους ἀκονιτὶ τῶν δεόντων γενέσθαι, πολλῶν διαμαρτάνειν ὑμᾶς εἰκότως συμβαίνει. τοῦ μέντοι πολλοὺς ἀδεῶς ταύτην τὴν

[1] ταῦθ' * ἃς ὕστερον [2] ἀμφοτέραις [3] Deest καί. [4] ἁπάντων [5] αὐτοῖς ἔσται κυρίοις [6] πρόσεσθ'

Τὰ δίκαια ποιεῖν ὡρμηκότων] Ὑποθετικῶς accipiendum, εἰ ἦσαν ὡρμηκότες: *Si omnes magnum studium haberent justitiæ.* Wolf.

ιγ'. Πρὸς τὴν παροῦσαν δύναμιν] Vi geritur res: jus est in armis: prout quisque potest, ita jus adipiscitur. Idem.

Ἀμφοτέρως ὥρισται] Si nihil deest, ex iis, quæ sequuntur, intelligendum: τοῖς τε Ἕλλησι κοινῇ, καὶ ταῖς πόλεσιν ἰδίᾳ: aut τοῖς ἀσθενέσι καὶ τοῖς ἰσχυροῖς. Idem.

Ἀμφοτέραις] Nempe συνθήκαις: vel, si ἀμφοτέροις, significat, *utrisque partibus fœdus contrahentibus.* Auger.

ιδ'. Ποιεῖν τὰ δίκαια καὶ πρᾶξαι] Prius significat, abstinere injuria, et præstare, quod debeas: posterius efficere, ut et alii justa faciant. malim tamen pro ποιεῖν legere εἰπεῖν. Wolf.

Ὑποληφθῆτε] *Existimemini.* ab ὑπολαμβάνομαι. Idem.

τάξιν αἱρεῖσθαι τῆς πολιτείας ἴσως μὲν αἱ παρὰ τῶν [1] μισθοδοτῶν αὐτοῖς ὠφέλειαι μάλιστ᾽ αἴτιαι. οὐ μὴν ἀλλὰ καὶ ὑμᾶς ἄν τις ἔχοι δικαίως αἰτιᾶσθαι· ἐχρῆν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν ἔχειν διάνοιαν ὑμᾶς περὶ τῆς ἐν τῇ πολιτείᾳ τάξεως, ἥν περ περὶ τῆς [2] ἐν στρατείᾳ τάξεως ἔχετε. τίς οὖν ἐστὶν αὕτη; ὑμεῖς τὸν λείποντα τὴν ὑπὸ τοῦ στρατηγοῦ τάξιν ταχθεῖσαν ἄτιμον οἴεσθε προσήκειν εἶναι καὶ μηδενὸς τῶν κοινῶν μετέχειν. χρὴ τοίνυν καὶ τοὺς τὴν ὑπὸ τῶν προγόνων τάξιν ἐν τῇ πολιτείᾳ παραδεδομένην [3] λιπόντας καὶ πολιτευομένους ὀλιγαρχικῶς ἀτίμους τοῦ συμβουλεύειν ὑμῖν [4] αὐτοῖς ποιεῖσθαι· νῦν δὲ τῶν μὲν συμμάχων [5] τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους ὑμῖν ὀμωμοκότας νομίζετε εὐνουστάτους· τῶν δὲ πολιτευομένων, οὓς ἴστε σαφῶς τοὺς τῆς πόλεως ἐχθροὺς ᾑρημένους, τούτους πιστοτάτους ἡγεῖσθε.

ιέ. Ἀλλὰ γὰρ οὐχ, ὅ, τι τὶς κατηγορήσει τούτων ἢ τοῖς ἄλλοις ὑμῖν ἐπιπλήξει, χαλεπὸν εὑρεῖν· ἀλλ᾽, ἀφ᾽ ὁποίων λόγων ἢ ποίας πράξεως ἐπανορθώσεταί τις ἃ νῦν οὐκ ὀρθῶς ἔχει, τοῦτ᾽ ἔργον εὑρεῖν. ἴσως μὲν οὖν οὐδὲ τοῦ παρόντος καιροῦ περὶ πάντων λέγειν. ἀλλ᾽ ἐάν, ἃ προῄρησθε, [6] δύνησθε ἐπικυρῶσαι συμφερούσῃ τινὶ πράξει, καὶ τἄλλ᾽ ἂν ἴσως καθ᾽ ἓν [7] ἂν βέλτιον σχοίη. ἐγὼ μὲν οὖν [8] οἶμαι δεῖν ὑμᾶς ἀντιλαμβάνεσθαι τούτων τῶν πραγμάτων ἐῤῥωμένως καὶ πράττειν ἄξια τῆς πόλεως, ἐνθυμουμένους ὅτι χαίρετε ἀκούοντες, ὅταν τὶς ἐπαινῇ τοὺς προγόνους ὑμῶν καὶ τὰ πεπραγμένα ἐκείνοις διεξίῃ καὶ τὰ τρόπαια λέγῃ· νομίζετε τοίνυν ταῦτα ἀναθεῖναι τοὺς προγόνους ὑμῶν, οὐχ ἵνα θαυμάζητε [9] ταῦτα θεωροῦντες μόνον, ἀλλ᾽ ἵνα καὶ μιμῆσθε τὰς τῶν ἀναθέντων ἀρετάς.

[1] μισθοδοτούντων [2] ἐν τῇ στρατείᾳ [τάξεως] [3] λείποντας [4] [αὐτοῖς] [5] τοὺς τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον ὑμῖν ἕξειν [6] δυνήσεσθε [7] ἀεὶ [8] οἴομαι [9] αὐτὰ

Παρὰ τῶν μισθοδοτῶν αὐτοῖς] Nomen verbale sui verbi casum retinet, ἀντὶ τοῦ μισθὸν διδόντων αὐτοῖς. Idem.

Ἀτίμους τοῦ συμβουλεύειν] Ἀκύρους, μὴ ἀνέχεσθαι συμβουλευόντων. Idem.

Τοὺς αὐτοὺς] M. τοὺς τοὺς αὐτούς. et postea φίλους ὑμῖν, M. φίλους ἔχειν ἢ ἕξειν ὑμῖν. Idem.

Τοὺς τῆς πόλεως ἐχθροὺς ᾑρημένους] S. ἀντὶ ὑμῶν, προτιμῶντας τῆς πατρίδος. Idem.

ιέ. Κατηγορήσει] M. κατηγορήσειε, ἐπιπλήξειε. Idem.

Ἀλλ᾽ ἐάν, ἃ προῄρησθε] S. τὸ ἀναλαβεῖν τὴν ἡγεμονίαν. Idem.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ ΛΟΓΟΥ.

Ὁ ΛΟΓΟΣ οὗτος οὐκέτι φιλιππικός ἐστιν, ἀλλὰ ἁπλῶς συμβουλευτικός· ἐκκλησίαν γὰρ ἀγόντων τῶν Ἀθηναίων περὶ τῶν θεωρικῶν χρημάτων, παρελθὼν ὁ Δημοσθένης πείθει συνταχθῆναι αὐτοὺς καὶ τὸ ἀρχαῖον ἀναλαβεῖν ἀξίωμα στρατευομένους καὶ τῶν Ἑλλήνων προκινδυνεύοντας, καὶ συγκρίνει τὰ νῦν τοῖς ἐπὶ τῶν προγόνων, πολὺ φαυλότερα καὶ ταπεινότερα τῶν παλαιῶν δεικνύς.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ ΛΟΓΟΣ.

Ol. 110, 1. *al.* 106, 4.

α΄. ΠΕΡΙ μὲν τοῦ παρόντος ἀργυρίου καὶ ὧν ἕνεκα τὴν ἐκκλησίαν ποιεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδέτερόν μοι δοκεῖ

Tit. Orat. Σύνταξις, apud Isocratem *tributum*, τὰς συντάξεις διδόναι: quo nomine Græci, profligato Xerxe, eam pecuniam vocabant, quam pro defensione Græciæ a Barbaris pendebant Atheniensibus, repudiato nomine τῶν εἰσφορῶν καὶ φόρων. Grammaticis est, *apta consecutio verborum.* alias *quicquid ordine fit et apte* σύνταξις dicitur. Ego inscriptionem, eo minus *de ordinanda republica*, vertere sum veritus, quod 3. (2.) Olynthiaca de his ipsis theatralibus pecuniis agens, τὴν ἀταξίαν (inquit) ἀνελὼν, εἰς τάξιν ἤγαγον τὴν πόλιν, τὴν αὐτὴν τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ' ὅτι καθ' ἡλικίαν ἕκαστος ἔχει καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας: quod certe non est aliud, quam *ordinare rempublicam.* Budæus *descriptionem in classes civium tributa conferentium* interpretatur. Wolf.

Demosthenes cum ante tempus actionum Philippicarum videret populum Atheniensem omni ordine solutum, theatris tantum et spectaculis intentum, pecunias publicas partiri, nec pacis nec belli tempora institutaque dignoscentem, orationem habuit, quæ περὶ συντάξεως dicitur, id est, *de ordinatione ac constitutione civitatis.* Cujus orationis scopus is fuit, ut populus Atheniensis in certos ordines redigeretur, id est, in milites, qui hoplitæ, id est, armati vel gravis armaturæ, dicebantur, et in equites, et in alios, qui extra hos ordines erant. Bud. de Asse lib. 5. atque huc nonnihil faciunt, quæ in Orationem de symmoriis annotata sunt. Porro a verbo συντάττομαι, id est, *ejusdem ordinis sum et notæ et classis, atque eadem dignitate præditus,* σύνταξις hujusmodi *descriptionem et in classes distributionem* significat, quemadmodum et σύνταγμα, ut idem Demosthen. paulo post, πόλιν τοσούτους ὁπλίτας ἔχουσαν, καὶ τριήρεις, καὶ ἱππέας, καὶ χρημάτων πρόσοδον, συντετάχθαι καὶ παρεσκευάσθαι, &c. *Ex edit.* Wolf.

α΄. Περὶ μὲν τοῦ παρόντος ἀργυρίου] *Præsens pecunia*, est ἕτοιμον ἀργύριον, *bar Geld.* [*ready money.*] *De hac pecunia.* Wolf.

τῶν χαλεπῶν εἶναι, οὔτ᾽ ἐπιτιμήσαντα τοῖς νέμουσι καὶ διδοῦσι τὰ κοινὰ εὐδοκιμῆσαι παρὰ τοῖς βλάπτεσθαι διὰ τούτων ἡγουμένοις τὴν πόλιν, οὔτε συνειπόντα καὶ παραινέσαντα, ὡς δεῖ λαμβάνειν, χαρίσασθαι τοῖς σφόδρα ἐν χρείᾳ τοῦ λαβεῖν οὖσιν· οὐδέτεροι γὰρ πρὸς τὸ τῇ πόλει συμφέρον σκοποῦντες οὔτ᾽ ἐπαινοῦσιν οὔτε δυσχεραίνουσι τὸ πρᾶγμα, ἀλλ᾽ ὡς ἑκάτεροι χρείας καὶ περιουσίας ἔχουσιν. ἐγὼ δὲ τοῦτο μὲν οὔτ᾽ ἂν εἰσηγησαίμην οὔτ᾽ ἀντείποιμι, ὡς οὐ δεῖ λαμβάνειν· παραινῶ μέντοι σκοπεῖν καὶ λογίζεσθαι πρὸς ὑμᾶς αὐτούς, ὅτι [1] τὸ ἀργύριον μέν ἐστι τοῦτο περὶ οὗ βουλεύεσθε μικρόν· τὸ δὲ ἔθος μέγα, ὃ γίγνεται μετὰ τούτου. εἰ μὲν οὖν μετὰ τοῦ πράττειν ἃ προσήκει καὶ τὸ λαμβάνειν κατασκευάσεσθε, οὐ μόνον οὐ βλάψετε, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελήσετε τὴν πόλιν καὶ ὑμᾶς αὐτούς· εἰ δὲ τοῦ μὲν λαμβάνειν καὶ [2] ἑορτὴ καὶ πᾶσα ἀρκέσει πρόφασις, τοῦ δ᾽ ἃ πρὸς τούτοις δεῖ ποιεῖν μηδὲ τοὺς λόγους ἀκούειν ἐθελήσετε, ὁρᾶτε μήποτε, ἃ νῦν ὀρθῶς ἡγεῖσθε πράττειν, σφόδρα ἡμαρτηκέναι νομίσητε.

β΄. Ἐγὼ δέ φημι δεῖν,—καί μοι μὴ θορυβήσητε ἐφ᾽ ᾧ μέλλω λέγειν, ἀλλ᾽ ἀκούσαντες κρίνατε—, ὥσπερ τῷ λαβεῖν ἐκκλησίαν ἀπεδώκαμεν, οὕτω καὶ περὶ τοῦ συνταχθῆναι καὶ παρασκευασθῆναι τὰ πρὸς τὸν πόλεμον ἐκκλησίαν ἀποδοῦναι, καὶ παρασχεῖν ἕκαστον αὑτὸν μὴ μόνον ταῦτ᾽ ἀκούειν ἐθέλοντα, ἀλλὰ καὶ πράττειν βουλόμενον· ἵνα, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀγαθῶν τὰς ἐλπίδας δι᾽ ὑμῶν αὐτῶν ἔχητε, καὶ μὴ τὸν δεῖνα μηδὲ τὸν δεῖνα πυνθάνησθε τί πράττει· καὶ τὰ μὲν προσιόντα τῇ πόλει πάντα, καὶ ἃ νῦν ἐκ τῶν ἰδίων [3] προσαναλίσκετε εἰς οὐδὲν δέον, καὶ ὅσα ἐκ τῶν συμμάχων ὑπάρχει λαμβάνειν ὑμᾶς φημὶ χρῆναι τὸ

[1] τἀργύριον [2] καὶ ἡ ἑορτὴ [3] παραναλίσκετε

Τοῖς νέμουσι καὶ διδοῦσι] Puto συνωνυμίαν ἢ παράλληλον εἶναι. Si esset τοῖς νεμομένοις, hoc de populo intelligerem: τοῖς διδοῦσι de tribunis plebis. IDEM.

Σκοποῦντες] Scilicet τὰ πράγματα. IDEM.

Ὡς χρείας ἔχουσι] Sicut οὕτω γνώμης ἔχω. supra, τινὰ ἐν χρείᾳ εἶναι τοῦ λαβεῖν, id est, χρείαν ἔχειν δεῖσθαι. IDEM.

Τὸ δὲ ἔθος μέγα] Sic Plato: *ut delictum parvum sit, at parva non est peccandi consuetudo.* IDEM.

β΄. Ἐκκλησίαν ἀπεδώκαμεν] Observentur modi loquendi, ἐκκλησίαν ἀποδοῦναι, ποιεῖν ἢ ποιεῖσθαι, συνάγειν, συλλέγειν, γίνεσθαι, εἰς ἐκκλησίαν ἀναβῆναι. IDEM.

Μηδὲ τὸν δεῖνα πυνθάνησθε τί πράττει] Antiptosis Græca, pro, μηδὲ πυνθάνησθε, τί ὁ δεῖνα πράττει. Sic Terentius sæpe. IDEM.

Τὰ μὲν προσιόντα] Τὰς προσόδους, τὰ προσοδευόμενα χρήματα. IDEM.

ἴσον ἕκαστον· τοὺς μὲν ἐν ἡλικίᾳ στρατιωτικὸν, τοὺς δ' ὑπὲρ τὸν κατάλογον ἐξεταστικὸν ἢ ὅπως ἄν τις ὀνομάσαι τοῦτο. στρατεύεσθαι δὲ αὐτοὺς καὶ μηδενὶ τούτου παραχωρεῖν, ἀλλὰ τὴν δύναμιν τῆς πόλεως οἰκείαν εἶναι καὶ κατεσκευασμένην ἀπὸ τούτων, [1] ἵν' εὐπορῆτε καὶ τὰ δέοντα ποιῆτε· καὶ τὸν στρατηγὸν ἡγεῖσθαι ταύτης, ἵν' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ταῦτα ἅπερ νυνὶ [2] συμβαίνει, τοὺς στρατηγοὺς κρίνητε. καὶ περίεστιν ὑμῖν ἐκ τῶν πραγμάτων, ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖνα εἰσήγγειλεν· ἄλλο δὲ οὐδέν.

γ'. Ἀλλὰ τί ὑμῖν γένηται; πρῶτον μὲν οἱ σύμμαχοι μὴ φρουραῖς, ἀλλὰ τῷ τὰ αὐτὰ συμφέρειν [3] ἡμῖν τε κἀκείνοις, ὦσιν οἰκεῖοι. ἔπειθ' οἱ στρατηγοὶ μὴ ξένους ἔχοντες τοὺς μὲν συμμάχους ἄγωσι καὶ φέρωσι, τοὺς δὲ πολεμίους μηδὲ ὁρῶσιν· ἀφ' ὧν αἱ μὲν ὠφέλειαι τούτων εἰσὶν ἴδιαι, τὰ δὲ μίση καὶ τὰ ἐγκλήματα ἐφ' ὅλην ἔρχεται τὴν πόλιν· ἀλλὰ πολίτας τοὺς ἀκολουθοῦντας ἔχοντες τοὺς ἐχθροὺς, ἃ νῦν τοὺς συμμάχους καὶ φίλους, ποιῶσι. χωρὶς δὲ τούτων πολλὰ τῶν πραγμάτων τὴν ὑμετέραν ποθεῖ παρουσίαν· ἄνευ γὰρ τοῦ πρὸς τοὺς οἰκείους [4] πολέμου οἰκείᾳ χρῆσθαι δυνάμει [5] συμφέρει· καὶ πρὸς τὰ ἄλλα πράγματα ἀνα-

[1] ἵν' ἅμα τ' εὐπορῆτε [2] συμβαίνῃ. τοὺς στρατηγοὺς κρίνετε. [3] ὑμῖν [4] πολέμους [5] συμφέρειν,

Τοὺς δ' ὑπὲρ τὸν κατάλογον] Emeritos, rude donatos, qui annum ætatis 45. excesserunt, οἱ ἐν ἡλικίᾳ sunt *juvenes, quorum militaris est ætas.* Unde Ovid.

Quæ bello est habilis, Veneri quoque convenit ætas.
Turpe senex miles, turpe senilis amor.

IDEM.

Τοὺς δ' ὑπὲρ τὸν κατάλογον] *Ii qui excesserunt ætatem in qua cives in catalogo militantium inscribuntur.* AUGER.

Ἐξεταστικὸν] Quasi dicas *inquisitivum*, ἐξετασμὸν Hesychius κρίσιν καὶ ἐρώτησιν interpretatur, id est, *judicium et quæstionem.* Tertiæ (secundæ) Olynthiacæ peroratio, quam modo citavimus, locum hunc declarat. Sic igitur τὸ ἐξεταστικὸν verti, ac si δικαστικὸν esset: quamvis plura complectatur, omnia nimirum publica munera, quæ in toga possunt administrari. WOLF.

Ἀπὸ τούτων] i. e. ἀπὸ πολιτῶν. AUGER.

Μὴ ταῦτα &c.] Hunc locum sic lego et distinguo: μὴ ταῦτα, ἅπερ νυνὶ, συμβαίνῃ, τοὺς στρατηγοὺς κρίνετε, καὶ .... IDEM.

Συμβαίνει] Malim συμβαίνῃ. Quod sequitur τοὺς στρατηγοὺς κρίνητε, est ἐξηγητικόν. Ante καὶ περίεστιν colon ponendum. Ego enim ἵνα συμβαίνει καὶ περίεστιν pro ἵνα συμβαίνῃ καὶ περιῇ scribere non ausim. Potest etiam ἐλλειπτικῶς accipi. ἵν' ὑμῖν μὴ ταῦτα, scilicet γένηται, (sequitur enim ἀλλὰ τί ὑμῖν γένηται;) ἅπερ νυνὶ συμβαίνει· ἵνα τοὺς στρατηγοὺς κρίνητε. WOLF.

Ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖνα] *Ille nescio quis, filius nescio cujus, illum nescio quem.* ὁ δεὶς vel ὁ δεῖνα loco proprii nominis ponitur, quod exprimere aut nolumus, aut non possumus. Latinis erit hoc intellectu facilius, si propria substituas, exempli gratia: Αἰσχίνης ὁ Ἀτρομήτου Κωθωκύδης γραφὴν παρανόμων ἀπήνεγκε κατὰ Δημοσθένους τοῦ Δημοσθένους Παιανιέως, hoc est, *Æschines Atrometi filius Cothocydes violatarum legum reum fecit Demosthenem Demosthenis filium Pæaniensem.* IDEM.

γ'. Πολέμου οἰκείᾳ χρῆσθαι δυνάμει συμφέ-

γκαῖόν ἐστιν· εἰ μὲν γὰρ ἡσυχίαν ἔχειν ὑμῖν ἀπέχρη καὶ μηδὲν τῶν Ἑλληνικῶν περιεργάζεσθαι ὅπως ἔχει, ἄλλος ἂν ἦν [1] λόγος. νῦν δὲ πρωτεύειν μὲν ἀξιοῦτε καὶ τὰ δίκαια ὁρίζειν τοῖς ἄλλοις, τὴν δὲ ταῦτα [2] ἐποπτεύουσαν καὶ φυλάξουσαν δύναμιν οὔτε κατεσκεύασθε οὔτε παρασκευάζεσθε· ἀλλ' ἐπὶ πολλῆς μὲν ἡσυχίας καὶ ἐρημίας ὑμῶν ὁ Μιτυληναίων δῆμος καταλέλυται· ἐπὶ πολλῆς δὲ ἡσυχίας ὁ Ῥοδίων, ἐχθρός γε ὢν [3] ἡμῖν, φαίη τις ἄν; ἀλλὰ μείζω χρὴ νομίζειν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πρὸς τὰς ὀλιγαρχίας ὑπὲρ αὐτῆς τῆς προαιρέσεως ἔχθραν ἢ τὴν πρὸς τοὺς δήμους ὑπὲρ ὧν πότ' ἂν ᾖ.

δ'. Ἀλλ', ἵν' ἐκεῖσε ἐπανέλθω, φημὶ δεῖν ὑμᾶς συντετάχθαι καὶ τὴν αὐτὴν τοῦ τε λαβεῖν καὶ τοῦ ποιεῖν ἃ προσήκει σύνταξιν εἶναι. διελέχθην δὲ ὑμῖν περὶ τούτων καὶ πρότερον καὶ διεξῆλθον, ὡς ἂν συνταχθείητε οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς, καὶ ὅσοι τούτων ἐκτός ἐστε, καὶ εὐπορία τις ἂν ἅπασι γένοιτο κοινή. ὃ δέ μοι πλείστην ἀθυμίαν ἁπάντων παρέσχηκεν, ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι· ὅτι, πολλῶν καὶ καλῶν καὶ μεγάλων ὄντων τούτων ἁπάντων, τῶν μὲν ἄλλων οὐδενὸς οὐδεὶς μέμνηται· τοῖν δυοῖν δ' ὀβολοῖν ἅπαντες. καίτοι τοὺς μὲν οὐκ ἔστι πλείονος ἢ δυοῖν ὀβολοῖν ἀξίους εἶναι, τὰ δὲ ἄλλα, ἃ μετὰ τούτων [4] ὧν εἶπον, τῶν βασιλέως ἄξιά ἐστι χρημάτων, πόλιν το-

[1] λόγος οὗτος. νυνὶ δὲ [2] ἐποπτεύσουσαν [3] ἡμῖν· φαίη τις ἄν· [4] Deest ὧν.

ρει] Lege πολέμους, et συμφέρειν, in accusativo, et infinitivo. Vel, καὶ ἄνευ τοῦ ὅτι συμφέρει. Idem.

Ἐρημίας ὑμῶν] Ἐγκαταλειφθεὶς ὑφ' ὑμῶν, *desertus a vobis.* hoc malo, quam ἠρεμίας: ut quadret πρὸς τὸ ἐποπτεύειν καὶ φυλάττειν. Idem.

Ὁ Μιτυληναίων δῆμος] Hinc Isocratis epistola τοῖς Μιτυληναίων ἄρχουσιν, οὐχὶ δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ inscribitur. Idem.

Ῥοδίων] Subaudi, δῆμος καταλέλυται. Auger.

Ὑπὲρ αὐτῆς τῆς προαιρέσεως] *Propter institutum ipsum*, nempe oligarchiæ, quæ ad evertendam Democratiam quam amplexi sunt Athenienses, intendit. Converti gallice *d'apres notre systéme*. Scilicet cum Democratiam amemus, debemus odisse oligarchiam quæ ex instituto eversionem Democratiæ cogitat. Idem.

δ'. Καὶ διεξῆλθον, ὡς ἂν συνταχθείητε οἵ τε ὁπλῖται] Prima Philippica hac de re agitur. Wolf.

Τούτων ἁπάντων] Scilicet περὶ ὧν πρότερον ὑμῖν διελέχθην καὶ διεξῆλθον. Idem.

Καίτοι τοὺς μὲν] Scilicet δύο ὀβολούς. Nec enim de certo hominum genere intelligendum: etsi omnino verum est, homines ignavos ne quidem esse pretii duorum obolorum: sed deportandos potius in desertas insulas, si reipublicæ non modo conferre nihil, sed ærarium etiam diripere studeant. Idque sapienter animadvertit Antipater: qui, captis Athenis, 23000. turbulentorum et mendicorum hominum in colonias deductis, urbeque locupletioribus tradita, reipublicæ statum effecit tranquilliorem. Idem.

Ἃ μετὰ τούτων ὧν εἶπον] Lege aut τὰ μετὰ τούτων, ὧν εἶπον, aut ἃ μετὰ τούτων εἶπον. Idem.

Μετὰ τούτων] *Cum his*, i. e. eo tempore

σούτους ὁπλίτας ἔχουσαν καὶ τριήρεις καὶ ἱππέας καὶ χρημάτων πρόσοδον συντετάχθαι καὶ παρεσκευάσθαι. τί οὖν, φαίη τις ἄν, ταῦτα νῦν λέγω; ὅτι φημὶ δεῖν ὑμᾶς, ἐπειδὴ τὸ μὲν ἅπαντας μισθοφορεῖν δυσχεραίνουσί τινες, τὸ δὲ συνταχθῆναι καὶ παρασκευασθῆναι παρὰ πάντων χρήσιμον εἶναι δοκιμάζεται, ἐντεῦθεν ἄρξασθαι τοῦ πράγματος καὶ προθεῖναι περὶ τούτων τῷ βουλομένῳ γνώμην ἀποφήνασθαι, ὡς οὕτως ἔχει. ἐὰν μὲν ὑμεῖς νῦν πεισθῆτε τούτων καιρὸν εἶναι νομίσαντες, ὅταν εἰς χρείαν αὐτῶν ἔλθητε, ἕτοιμα ὑπάρξει. ἐὰν δ᾽ ἀκαιρίαν ἡγησάμενοι παρίδητε, ὅταν δέῃ χρῆσθαι, τότε ἀναγκασθήσεσθε παρασκευάζεσθαι.

έ. Ἤδη δέ τις εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοί, που λέγων, οὐχ ὑμῶν τῶν πολλῶν, ἀλλὰ τῶν διαῤῥηγνυμένων εἰ ταῦτα γενήσεται, τί δ᾽ ἡμῖν ἀπὸ τῶν Δημοσθένους λόγων ἀγαθὸν γέγονεν; ὃς παρελθὼν ὑμῶν, ὅταν αὐτῷ δόξῃ, ἐνέπλησε τὰ ὦτα λόγων καὶ διέσυρε τὰ παρόντα καί, τοὺς προγόνους [1]ἐπαινέσας καὶ μετεωρίσας καὶ φυσήσας ὑμᾶς, κατέβη. ἐγὼ δ᾽, εἰ μὲν ὑμᾶς δυναίμην ὧν λέγω τι πεῖσαι, τηλικαῦτ᾽ ἂν [2]οἶμαι τὴν πόλιν πρᾶξαι ἀγαθά, ὥστ᾽, εἰ λέγειν νῦν ἐπιχειρήσαιμι, πολλοὺς ἂν ἀπιστῆσαι ὡς μείζοσιν ἢ δυνατοῖς. οὐ μὴν οὐδὲ τοῦτο μικρὸν ὠφελεῖν [2]οἶμαι, εἰ τὰ βέλτιστα ἀκούειν ὑμᾶς συνεθίζω· δεῖ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν βουλόμενόν τι ποιῆσαι τὴν πόλιν [3]ἡμῶν ἀγαθὸν τὰ ὦτα πρῶτον ὑμῶν ἰάσασθαι· διέφθαρται γάρ· οὕτω πολλὰ καὶ ψευδῆ καὶ πάντα μᾶλλον ἢ τὰ βέλτιστα ἀκούειν συνείθισθε· οἷον—ὅπως δὲ μὴ θορυβήσῃ μοι μηδεὶς πρὶν ἅπαντα εἴπω—ἀνέῳξάν τινες πρώην δήπου τὸν ὀπισθόδομον· οὐκ-

[1] ἐπῄνεσε [2] οἴομαι [3] ὑμῶν

cum loquerer de his, nempe de largitionibus publicis. AUGER.

Ἐπειδὴ τὸ μὲν ἅπαντας μισθοφορεῖν] Controversia verbi, ut et initio dixi, περὶ συντάξεως καὶ φόρων. WOLF.

Μισθοφορεῖν] Interpretor *largitiones publicas facere*. AUGER.

Ὡς οὕτως ἔχει] Quasi dixisset οὕτω γὰρ ἔχει. IDEM.

έ. Τῶν διαῤῥηγνυμένων] *Rumpendorum*, ex eorum numero, quibus ilia rumpentur. Innuit divitem aliquem proditorem. WOLF.

Τηλικαῦτ᾽ ἂν οἶμαι τὴν πόλιν πρᾶξαι ἀγαθὰ] Πότερον ὁ Δημοσθένης ἔπραξεν ἂν τὴν πόλιν ἀγαθά; ἢ ἡ πόλις ἔπραξεν ἀγαθά; Vide annotationes Panegyrici. Sequitur mox eodem, ut opinor, sensu, τὸν βουλόμενόν τι ποιῆσαι τὴν πόλιν ἀγαθόν. πράττω ἢ ποιῶ σέ τι ἀγαθὸν, τὸ εὖ ποιῶ σε. IDEM.

Τὸν ὀπισθόδομον] *Posticum, posteriorem domum.* Hanc Suidas partem fuisse dicit arcis Atheniensium, ubi fuerit ærarium, post Minervæ templum. et Aristophanes Pluto: [v. 1193.] Ἱδρυσόμεσθ᾽ οὖν αὐτίκ᾽, ἀλλὰ περίμενε, Τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος, Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων

οὖν οἱ παριόντες ἅπαντες, τὸν δῆμον καταλελῦσθαι, τοὺς νόμους οὐκ ἔτ᾽ εἶναι, τοιαῦτα, ἔλεγον. καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι,—[1] σκοπεῖτε ἂν ἀληθῆ λέγω—, οἱ μὲν ταῦτα ποιοῦντες ἄξια ἐποίουν θανάτου· ὁ δῆμος δ᾽ οὐ διὰ τούτων καταλύεται· πάλιν, κώπας τις ὑφείλετο· μαστιγοῦν, στρεβλοῦν, πάντες ἐβόων, λέγοντες καταλύεσθαι τὸν δῆμον. ἐγὼ δὲ τί φημί; τὸν μὲν ὑφαιρούμενον θανάτου ποιεῖν ἄξια ὥσπερ ἐκεῖνοι, τὸν δῆμον δ᾽ οὐ διὰ τούτων καταλύεσθαι. ἀλλά, πῶς καταλύεται, οὐδεὶς λέγει οὐδὲ παῤῥησιάζεται. ἐγὼ δὲ φράσω· ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, φαύλως ἠγμένοι πολλοὶ καὶ ἄποροι καὶ ἄοπλοι καὶ ἀσύντακτοι καὶ μὴ τὰ αὐτὰ γινώσκοντες ἦτε, καὶ μήτε στρατηγὸς μήτ᾽ ἄλλος μηδεὶς ὧν ἂν ὑμεῖς [2] ψηφίζησθε φροντίζῃ· καὶ ταῦτα μηδεὶς λέγειν ἐθέλῃ μηδὲ ἐπανορθοῦν, μηδὲ ὅπως παύσεται τοιαῦτα ὄντα πράττῃ, ὃ νυνὶ συμβαίνει.

ϛʹ. Καὶ νὴ Δία, ὦ ἄνδρες Ἀθηναῖοι, ἕτεροί γε λόγοι παῤῥυήκασι πρὸς ὑμᾶς ψευδεῖς καὶ πολλὰ τὴν πολιτείαν βλάπτοντες, οἷον ἐν τοῖς δικαστηρίοις ὑμῖν ἐστὶν ἡ σωτηρία, καὶ δεῖ τῇ ψήφῳ τὴν πολιτείαν ὑμᾶς φυλάττειν. ἐγὼ δὲ οἶδα, ὅτι ταῦτα μὲν ὑμῖν τὰ δικαστήρια τῶν πρὸς ἀλλήλους δικαίων ἐστὶ κοινά. ἐν δὲ τοῖς ὅπλοις δεῖ κρατεῖν τῶν ἐχθρῶν, καὶ [3] τὸ διὰ τούτων ἐστὶν ἡ σωτηρία τῆς πολιτείας· οὐ γὰρ τὸ [4] ψηφίσασθαι τοὺς ἐν τοῖς ὅπλοις ποιήσει νικᾷν, ἀλλ᾽ οἱ μετὰ τούτων κρατοῦντες τοὺς ἐχθρούς, [5] καὶ ψηφίσασθαι, καὶ ἄλλο ὅ, τι βούλεσθε ποιεῖν ὑμᾶς,

[1] καὶ σκοπεῖτε [2] ψηφίσησθε [3] Deest τό.

[4] ψηφίσασθαι τοῖς ἐν τοῖς ὅπλοις ποιήσει τὸ νικᾷν

[5] * τοῦ καὶ ψηφίζεσθαι, καὶ ἄλλο, εἴ τι βούλεσθε ποιεῖν, ὑμῖν ἐξουσίαν καὶ ἄδειαν παρασκευάσουσι

τῆς θεοῦ. Locus hic de abrogatione status popularis habetur etiam in oratione Midiana. Idem.

Ὥσπερ ἐκεῖνοι] Scilicet φασὶν, *ut illi aiunt*. Idem.

Ὥσπερ ἐκεῖνοι] Nempe, qui ærarium expilarant, θανάτου ἄξια ἐποίουν. Auger.

Φαύλως ἠγμένοι] Contra τὸ εὖ ἦχθαι. Proba educatio Platoni magnum habet momentum ad virtutem. Wolf.

Πολλοὶ] Legerem: οἱ πολλοί. Auger.

ϛʹ. Οὐ γὰρ τὸ ψηφίσασθαι τοὺς ἐν τοῖς ὅπλοις ποιήσει νικᾷν] Οὐ ποιήσει ὑμᾶς νικητὰς τῶν ἐνόπλων ἢ ὡπλισμένων πολεμίων. Wolf.

Κρατοῦντες τοὺς ἐχθροὺς] Supra ἐν τοῖς ὅπλοις δεῖ κρατεῖν τῶν ἐχθρῶν. Suidas ait: κρατῶ ἐπὶ τοῦ κυριεύω, γενικῇ: αἰτιατικῇ δὲ, ὅτε σημαίνει τὸ νικῶ. Varinus: κρατῶ, τὸ ἐξουσιάζω καὶ τὸ νικῶ γενικῇ: κρατῶ, τὸ ἅπτομαι καὶ φέρω αἰτιατικῇ. Exemplum Suidæ: μάχας ἐκράτησεν οὐκ ὀλίγας, id est, ἐκράτησε κατὰ τὰς μάχας, *prælia obtinuit non pauca*, est aliud, quam si dicas, πολεμίους ἐκράτησεν οὐκ ὀλίγους. In 2. (1.) Olynthiaca: πρὶν ἂν τῶν πραγμάτων κρατήσητε: et in epitaphio: καὶ γὰρ τῶν Ἀμαζόνων ἐλθόντα στρατὸν ἐκράτησαν, hic paulo post οἱ μετὰ τούτων (τῶν ὅπλων) κρατοῦντες τοὺς ἐχθρούς· ut videatur promiscua esse constructio: nisi forte ἡ ψευδογραφία τοῦ ων καὶ ους, ista permisceat. Idem.

ἐξουσίαν καὶ ἄδειαν παρασκευάζουσι· δεῖ γὰρ ἐν μὲν τοῖς ὅπλοις φοβεροὺς, ἐν δὲ τοῖς δικαστηρίοις φιλανθρώπους εἶναι.

ζʹ. Εἰ δέ τῳ δοκῶ μείζους ἢ κατ᾽ ἐμαυτὸν λέγειν λόγους, αὐτὸ τοῦτο ὀρθῶς ἔχειν αὐτῷ δοκῶ· τὸν γὰρ ὑπὲρ τηλικαύτης πόλεως ῥηθησόμενον λόγον καὶ τοιούτων πραγμάτων παντὸς ἑνὸς τοῦ λέγοντος ἀεὶ μείζω φαίνεσθαι δεῖ, καὶ τῆς ἀξίας τῆς ὑμετέρας ἐγγὺς εἶναι, μὴ τῆς τοῦ λέγοντος. ὅτι δὲ οὐδεὶς τῶν ὑφ᾽ ὑμῶν τιμωμένων [1] ταύτας λέγει τὰς προφάσεις, ἐγὼ διέξειμι ὑμῖν· οἱ μὲν πρὸς [2] ἀρχαιρεσίαν καὶ ταύτην τὴν τάξιν προσιόντες, δοῦλοι τῆς ἐπὶ [3] τὸ χειροτονεῖσθαι χάριτος περιέρχονται, τελεσθῆναι στρατηγὸς ἕκαστος σπουδάζων, οὐκ ἀνδρὸς ἔργον οὐδὲν πρᾶξαι. εἰ δέ τις καὶ τοιοῦτός ἐστιν οἷος ἐγχειρεῖν ἔργῳ τῳ, νῦν μὲν ἡγεῖται, τὴν τῆς πόλεως δόξαν ἀφορμὴν ἔχων καὶ τοὔνομα, τῆς τῶν ἐναντιωσομένων ἐρημίας [4] ἀπολαύων, τὰς ἐλπίδας ὑμῖν ὑποτείνων, ἄλλο δ᾽ οὐδὲν, κληρονομήσειν αὐτὸς τῶν ὑμετέρων ἀγαθῶν· ὅπερ ἐστίν. ἂν δ᾽ ὑμεῖς δι᾽ ὑμῶν αὐτῶν ἕκαστα πράττητε, τὸ ἴσον τοῖς ἄλλοις ὥσπερ τῶν ἔργων [5] αὐτῶν, οὕτω καὶ [6] τοῖς ἐκ τούτων ἕξειν· οἱ δὲ πολιτευόμενοι καὶ

[1] ταῦτα λέγει, τὰς προφάσεις ἐγὼ [2] ἀρχαιρεσίας [3] * τῷ
[4] * ἀπολαύσειν, τὰς δ᾽ ἐλπίδας [5] * αὐτὸν [6] τῶν

ζʹ. Μείζους ἢ κατ᾽ ἐμαυτὸν] Οὐ φιλοσόφους καὶ ῥητορικοὺς, ἀλλὰ πολεμικοὺς καὶ στρατηγικοὺς λέγειν λόγους, οὐκ ὢν στρατηγός. Cavet scomma Hannibalis in Phormionem peripateticum de imperatoris officio disserentem. IDEM.

Αὐτὸ τοῦτο ὀρθῶς ἔχειν αὐτῷ δοκῶ] Ὑπολαμβάνω αὐτὸν κρίνειν ὀρθῶς. Priore loco τὸ δοκῶ τὸ φαίνομαι significat. Possit fortassis legi αὐτὸ τοῦτο ὀρθῶς ἔχον αὐτῷ δοκεῖ. IDEM.

Αὐτὸ τοῦτο &c.] *Recte ipsi videor secundum hunc ipsum modum me habere,* i. e. grandiora loqui quam pro fortuna mea. AUGER.

Τὸν γὰρ ὑπὲρ τηλικαύτης] Sic et in oratione περὶ στεφάνου. WOLF.

Ταύτας λέγει τὰς προφάσεις, ἐγὼ] Lego ταῦτα λέγει, τὰς προφάσεις ἐγὼ etc. et facilis est lapsus: et nisi corrigatur, inepta et constructio et sententia. IDEM.

Οἱ μὲν πρὸς ἀρχαιρεσίαν] Sic Isocrates de pace: παρελήλυθα γὰρ οὐ χαριούμενος ὑμῖν, οὐδὲ χειροτονίαν μνηστεύσων· ἀλλ᾽ ἀποφανούμενος, ἃ τυγχάνω γινώσκων. IDEM.

Ταύτην τὴν τάξιν] Ordinem eorum qui a vobis honorantur. AUGER.

Τῆς τῶν ἐναντιωσομένων ἐρημίας ἀπολαύων] Utrum τῶν λεγόντων, ἢ τῶν πολεμίων. WOLF.

Τὰς ἐλπίδας ὑμῖν ὑποτείνων, ἄλλο δ᾽ οὐδὲν] Scilicet πράττων. IDEM.

Ἄλλο δ᾽ οὐδὲν, κληρονομήσειν] Post οὐδὲν comma ponendum, ut habet Feliciani editio. Alioqui tota sententia erit inexplicabilis. Deinde pro καὶ τοῖς ἐκ τούτων (ut est in priore Hervagiana), legendum cum Aldo καὶ τῶν ἐκ τούτων. quanquam enim et Felicianus non male, καὶ τῆς ἐκ τούτων τιμῆς, illud tamen, καὶ τῶν ἐκ τούτων, puto esse verius: ut non tantum honos (tametsi eo quidem generosis animis non est aliud quicquam antiquius) sed omnia victoriæ præmia intelligantur. Pro ἕξειν, eonstructio postulat, ἕξετε, ut ad Athenienses referatur: esti non nego retineri posse, respectu τῶν στρατηγῶν. IDEM.

Τὸ ἴσον τοῖς ἄλλοις] *Æquam cum cæteris partem,* ut laborum, sic et præmiorum habituros. οἱ ἄλλοι sunt, si τὸ ἕξειν ad στρατηγοὺς referas, οἱ πολῖται. Sin ἕξετε placeat, οἱ στρατηγοὶ καὶ ξένοι. IDEM.

περὶ ταῦτα ὄντες, τὸ τὰ βέλτιστα λέγειν [1] ὑμῖν ἀφέντες, προςκεχωρήκασι πρὸς τούτους· καὶ πρότερον μὲν κατὰ συμμορίας εἰςεφέρετε, νῦν δὲ πολιτεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμὼν, καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοησόμενοι μεθ᾽ ἑκατέρων τριακόσιοι· οἱ δ᾽ ἄλλοι προςνενέμησθε, οἱ μὲν ὡς τούτους, οἱ δ᾽ ὡς ἐκείνους. τοιγαροῦν ὑμῖν περίεστιν ἐκ τούτων, ὁ δεῖνα χαλκοῦς, καὶ ὁ δεῖνα εὐδαίμων, εἷς ἢ δύο ὑπὲρ τὴν πόλιν· οἱ δ᾽ ἄλλοι μάρτυρες τῆς τούτων εὐδαιμονίας κάθησθε τῆς καθ᾽ ἡμέραν ῥαθυμίας πολλὴν καὶ μεγάλην ὑπάρχουσαν ὑμῖν εὐδαιμονίαν τούτοις προέμενοι.

ή. Καίτοι σκέψασθε, ὅπως ἐπὶ τῶν προγόνων ταῦτ᾽ εἶχεν· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν παραδείγμασι χρησαμένοις, ἀλλ᾽ οἰκείοις, [2] ἐξέσται ἃ προςήκει πράττειν εἰδέναι. ἐκεῖνοι Θεμιστοκλέα τὸν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν στρατηγήσαντα καὶ Μιλτιάδην τὸν ἡγούμενον [3] ἐν Μαραθῶνι καὶ πολλοὺς ἄλλους οὐκ ἴσα τοῖς νῦν στρατηγοῖς ἀγαθὰ εἰργασμένους, [4] μὰ Δί᾽, οὐ χαλκοῦς ἵστασαν οὐδ᾽ ὑπερηγάπων, ἀλλ᾽ ὡς οὐδὲν αὑτῶν κρείττους ὄντας [5] ἐτίμων· καὶ γάρ τοι τῶν ἔργων οὐδενὸς, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν τότε ἀπεστέρησαν ἑαυτούς· οὐδ᾽ ἐστὶν οὐδεὶς, ὅςτις ἂν εἴποι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Θεμιστοκλέους ἀλλ᾽ Ἀθηναίων, οὐδὲ τὴν ἐν Μαραθῶνι μάχην Μιλτιάδου ἀλλὰ τῆς πό-

[1] * ἡμῖν [2] ἐξέσθ᾽ [3] Deest ἐν. [4] οὐ μὰ δί᾽, οὐ [5] οὕτως ἐτίμων

Ὑμῖν ἀφέντες] Sic ordinanda sunt verba: ἀφέντες τὸ λέγειν τὰ βέλτιστα ὑμῖν. Idem.

Ῥήτωρ ἡγεμὼν] Scilicet ἐστί. ἐξ ἑκατέρων, id est, *utriusque factionis*, necessario hic etiam legendum, ut in secunda (prima) Olynthiaca. Idem.

Βοησόμενοι] Imo βοηθησόμενοι, ut in secunda (prima §. θ'.) Olynthiaca. Auger.

Ὁ δεῖνα χαλκοῦς] Scilicet ἕστηκεν, ἢ ἵσταται, *ponitur illi ærea statua*, ut Evagoræ et Cononi. Nisi malis pro *invicto* accipere: sicut κλέπτης χαλκοῦς, quod non probo. Est enim usitata formula χαλκοῦν ἱστάναι, *æreum statuere*, pro *æream statuam ponere*. Wolf.

Χαλκοῦς] *Æreus*. i. e. statua ærea donatus. Auger.

Ὁ δεῖνα εὐδαίμων] Scilicet λέγεται, ἢ γίγνεται, εὐδαιμονεῖ, ἢ εὐδαιμονίζεται. Wolf.

Ὑπὲρ τὴν πόλιν] In altiore dignitatis gradu collocati, quam reipublicæ libertas patiatur: veluti tyranni quidam in republica: vel potius, major est illorum dignitas et auctoritas, quam ipsius reipublicæ. Idem.

Τῆς καθ᾽ ἡμέραν ῥαθυμίας—προέμενοι] Ῥαθυμίας genitivus est pretii: *venditis socordia, abjicitis per ignaviam*, sicut dicunt μισθοῦ φιλεῖν, *mercede amare*. Idem.

Ῥαθυμίας] Subauditur ἕνεκα. Auger.

ή. Ἐκεῖνοι Θεμιστοκλέα] Sic et in Aristocratea, et tertia (secunda) Olynthiac. et in oratione Æschinis κατὰ Κτησιφῶντος. Wolf.

Οὐκ ἴσα] Id est, πολὺ μείζω, *multo majora*. Idem.

Ἀλλ᾽ ὡς οὐδὲν] Pro ἀλλ᾽ lego οὐδ᾽: alioqui secum ipsa pugnabit oratio, cum ὑπερετίμων sequatur, quod majus est, quam

λεως· νῦν δὲ [1] οἱ πολλοὶ τοῦτο λέγουσιν, ὡς Κέρκυραν εἷλε Τιμόθεος, καὶ τὴν μόραν κατέκοψεν Ἰφικράτης, καὶ τὴν περὶ Νάξον ἐνίκα ναυμαχίαν Χαβρίας· δοκεῖτε γὰρ αὐτοὶ τῶν ἔργων τούτων παραχωρεῖν τῶν τιμῶν ταῖς ὑπερβολαῖς, ἃς δεδώκατε ἐπ' αὐτοῖς, ἑκάστῳ τούτων.

θ'. Τὰς μὲν δὴ πολιτικὰς δωρεὰς [2] ἐκεῖνοί τε καλῶς ἔνεμον καὶ ὑμεῖς οὐκ ὀρθῶς, τὰς δὲ τῶν ξένων πῶς; ἐκεῖνοι Μένωνι τῷ Φαρσαλίῳ δώδεκα μὲν τάλαντα ἀργυρίου δόντι πρὸς τὸν ἐπ' Ἠϊόνι τῇ πρὸς Ἀμφιπόλει πόλεμον, διακοσίοις δὲ ἱππεῦσι πενέσταις ἰδίοις βοηθήσαντι, οὐκ ἐψηφίσαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν μόνον. καὶ πρότερον τούτου Περδίκκᾳ, τῷ κατὰ τὴν τοῦ βαρβάρου ποτὲ ἐπιστρατείαν βασιλεύοντι Μακεδονίας, τοὺς ἀναχωροῦντας ἐκ [3] Πλαταιέων τῶν βαρβάρων ἀπὸ τῆς ἥττης διαφθείραντι καὶ τέλειον τἀτύχημα ποιήσαντι τῷ βασιλεῖ, οὐκ ἐψηφίσαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν μόνον, μεγάλην, οἶμαι, καὶ τιμίαν καὶ σεμνὴν τὴν αὑτῶν πατρίδα ἡγούμενοι καὶ πάσης μείζονα εὐεργεσίας. νῦν δ', ὦ ἄνδρες Ἀθηναῖοι, φθόρους [4] ἀνθρώπους οἰκοτρίβων οἰκότριβας, τιμὴν ὥσπερ ἄλλου τινὸς τῶν ὠνίων λαμβάνοντες, ποιεῖσθε πολίτας. ταῦτα δ' ὑμῖν ἐπελήλυθε πράττειν, οὐχ ὅτι τὰς φύσεις [5] ἐστὲ χείρους τῶν προγόνων, ἀλλ' ὅτι τοῖς μὲν ἐφ' ἑαυτοῖς

[1] Deest οἱ. [2] οὕτως ἐκεῖνοί [3] πλαταιῶν
[4] ἀνθρώπους οἰκότριβας, οἰκοτρίβων τιμὴν, ὥσπερ ἄλλου του τῶν ὠνίων, [5] χείρους ἐστὲ

ὑπερηγάπων. Quanquam si ante ὑπερετίμων negationem οὐχ addas, bene sententia constabit. Idem.

Τὴν μόραν κατέκοψεν Ἰφικράτης] Partes quasdam exercitus, aut ordinem appellari μόραν scribit Hesychius, et addit, qui olim πατρίλοχοι (si modo pro πατρι non legendum est πρὶν ποτὲ, vel πάλαι λόχοι) dicerentur apud Lacedæmonios, postea mutato nomine μόραν fuisse dictos. Æmilius: "Hoc exercitu moram Lacedæmoniorum intercepit, quod ipsum maxime tota celebratum est Græcia;" de mora loquitur, quasi esset oppidum aliquod. Xenophon lib. 4. Ἑλληνικῶν Phliasiorum meminit, quos occiderit Iphicrates: et postea de nuntio loquens, λέγει τὸ τῆς ἐν λεχαίῳ μόρας πάθος, ubi 250. circiter sint occisi. Idem.

Τὴν περὶ Νάξον] Νάξος insula maris Ægæi. Idem.

Τὴν περὶ Νάξον] Delerem περὶ. Auger.

Θ'. Ἐπ' Ἠϊόνι] Ἠϊὼν, ἀκτὴ, αἰγιαλὸς, ψάμμος, ὄχθη, id est, *litus, arena, ripa.* καὶ τὸ βάσιμον μέρος τῆς θαλάσσης, *vadum maris.* Item Ἠϊὼν urbs Chersonesia, et alia Strymonica. Utrum hic proprium sit, an appellativum, haud affirmare possum. Wolf.

Πενέσταις] Hi Thessalorum servi fuerunt, ut εἵλωτες Laconum, κλαρωταὶ et περίοικοι Cretensium. Idem.

Ἐκ Πλαταιέων] E *Platæensibus*, id est, e finibus Platæensium: nisi forte Πλαταιῶν sit legendum, *Platæis.* Idem.

Πάσης μείζονα εὐεργεσίας] Hoc est, nullum esse tantum beneficium, pro quo civitas Atheniensis dari debeat. Idem.

Οἰκοτρίβων οἰκότριβας] Ὁ οἰκότριψ οἰκέτης. *Servos servis natos.* Idem.

Τιμὴν ὥσπερ ἄλλου τινὸς] Hoc necessario pene fit in iis urbibus, ubi est opificum

[1]παρέστηκε μέγα φρονεῖν, ὑμῶν δ', ὦ ἄνδρες Ἀθηναῖοι, περιῄρηται τοῦτο. ἔστι δὲ οὐδέ ποτ', οἶμαι, δυνατὸν μικρὰ καὶ φαῦλα πράττοντας μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, ὥσπερ οὐδὲ [2]λαμπρὰ καὶ καλὰ πράττοντας μικρὸν καὶ ταπεινὸν φρονεῖν· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν.

ί. Σκέψασθε δὲ, ἅ τις κεφάλαια ἂν ἔχοι τῶν πραγμάτων εἰπεῖν περὶ τῶν τε ἐκείνοις πεπραγμένων καὶ τῶν ὑμῖν, ἂν ἄρα ὑμῶν αὐτῶν ἐκ τούτων γε δυνήσεσθε κρείττους γενέσθαι. πέντε μὲν τοίνυν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν [3]ἐκεῖνοι ἑκόντων· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν συνήγαγον· πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια, ἐφ' οἷς ἔτι καὶ νῦν φιλοτιμούμεθα. καίτοι ταῦτα νομίζετε αὐτοὺς στῆσαι, οὐχ ἵνα θαυμάζωμεν μόνον ἡμεῖς αὐτὰ θεωροῦντες, ἀλλ' ἵνα καὶ μιμώμεθα τὰς τῶν ἀναθέντων ἀρετάς. ἐκεῖνοι μὲν δὴ, ταῦτα· ἡμεῖς δὲ, ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, σκέψασθε εἰ παραπλήσια. οὐ πλείω μὲν ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνήλωται μάτην εἰς τοὺς τῶν Ἑλλήνων ἀπόρους; ἐξανήλωνται δὲ οἵ τε ἴδιοι πάντες οἶκοι καὶ τὰ κοινὰ τῇ πόλει καὶ τὰ παρὰ τῶν συμμάχων; οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, οὗτοι νῦν ἐν τῇ εἰρήνῃ

[1] *παρειστήκει* [2] *καλὰ καὶ λαμπρὰ* [3] *ἑκόντων ἐκεῖνοι·*

multitudo, ut possint elocari filiæ. Idem.

Ὑμῶν δὲ περιῄρηται τοῦτο] Πῶς τοίνυν οὐ χείρους τὴν φύσιν, οἷς οὐ παρέστηκε μέγα φρονεῖν ἐφ' ἑαυτοῖς; Sed orator ait, eos esse deteriores non natura, sed consuetudine, quæ naturam depresserit. Idem.

Ἔστι δ' οὐδέποτ' οἶμαι δυνατὸν] In tertia (secunda) Olynthiaca ἔστι δ' οὐδέποτ' οἶμαι μέγα, etc. omisso δυνατόν. Idem.

Ὥσπερ οὐδὲ καλὰ] Hæc antithesis in tertia (secunda) Olynthiaca prætermissa est. Idem.

ί. Ἂν ἄρα ὑμῶν αὐτῶν ἐκ τούτων γε δυνήσεσθε κρείττους γενέσθαι] Malim ὑμῶν γενέσθαι, ut 1. Philip. omisso et κρείττους, et βελτίους. *an vos possitis asserere in libertatem:* desinatis pendere ab aliis. Videtur hujus loci quædam ex oratione περὶ εἰρήνης Isocratica Demosthenes mutuatus. Idem.

Πέντε καὶ τετταράκοντα ἔτη] Isocrates in Panegyrico septuaginta, in Panathenaico sexaginta quinque annorum meminit, Demosthenes in Philippica tertia 73. Proinde pro XLV. legendum puto LXV. ξέ non μέ· nisi quis forte cavilletur, legitimum imperium 45. durasse annos: reliquis, in tyrannidem degenerasse. Sed et perpetua tyrannis illa fuit, aut certe πειθανάγκη: et hæc exceptio non decet laudatorem. Idem.

Ἐπειλημμένοι] Sensu activo, *accipientes, nacti.* Auger.

Τῶν Ἑλλήνων ἀπόρους] *Græcos mendicos.* sic appellat *mercenarios*, ut puto, *milites*, τοὺς μισθοφόρους, τοὺς ξένους. Wolf.

Οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους] Si hæc ad sociale bellum non pertinent, historiam mihi non liquere fateor. Isocrates in Areopagitico: τοὺς δ' ἡμετέρους

ἀπολώλασιν; ἀλλά, νὴ Δία, ταῦτα μόνον τότ' εἶχε βέλτιον ἢ νῦν, τὰ δὲ ἄλλα χεῖρον; πολλοῦ γε καὶ δεῖ. ἀλλὰ [1] τί; βούλεσθε ἐξετάσωμεν; οἰκοδομήματα μέν γε καὶ κόσμον τῆς πόλεως, [2] ἱερῶν καὶ λιμένων καὶ τῶν ἀκολούθων τούτοις, τοιοῦτον καὶ τοσοῦτον κατέλιπον ἐκεῖνοι, ὥστε μηδενὶ τῶν [3] ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι· προπύλαια ταῦτα, [4] νεώσοικοι, στοαί, τἄλλα, οἷς ἐκεῖνοι κοσμήσαντες τὴν πόλιν ἡμῖν παρέδωκαν· τὰς δὲ ἰδίας οἰκίας τῶν ἐν δυνάμει τότε γενομένων οὕτω μετρίας καὶ τῷ τῆς πολιτείας ὀνόματι ἀκολούθους, ὥστε τὴν Θεμιστοκλέους καὶ τὴν Κίμωνος καὶ τὴν Ἀριστείδου καὶ Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. νῦν δ', ὦ ἄνδρες Ἀθηναῖοι, δημοσίᾳ μὲν ἡ πόλις ἡμῶν τὰς ὁδοὺς ἀγαπᾷ κατασκευάζουσα καὶ κρήνας καὶ κονιάματα καὶ λήρους, καὶ οὐ τοῖς εἰσηγησαμένοις ταῦτ' ἐπιτιμῶ—πολλοῦ γε καὶ δέω—ἀλλ' ὑμῖν, εἰ ταῦτα ἱκανὰ ὑμῖν αὐτοῖς ὑπολαμβάνετε εἶναι διοικεῖν· ἰδίᾳ δ' οἱ τῶν κοινῶν ἐπί τῳ γεγενημένοι, οἱ μὲν τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας τὰς ἰδίας οἰκίας κατεσκευάκασιν οὐ μόνον τῶν πολλῶν ὑπερηφανωτέρας, οἱ δὲ γῆν συνεωνημένοι γεωργοῦσιν ὅσην οὐδ' ὄναρ ἤλπισαν πώποτε. τούτων δ' αἴτιον πάντων, ὅτι τότε μὲν ὁ δῆμος ἦν δεσπότης καὶ κύριος ἁπάντων, καὶ ἀγαπητὸν ἦν παρ' ἐκείνου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινὸς μεταλαμβάνειν· νυνὶ δὲ τοὐναντίον κύριοι μὲν τῶν ἀγαθῶν οὗτοι καὶ διὰ τούτων ἅπαντα πράττεται, ὁ δὲ δῆμος ἐν ὑπηρέτου καὶ προσθήκης μέρει· καὶ ὑμεῖς ἀγαπᾶτε, ἄν τι αὐτοὶ μεταδιδῶσι, λαμβάνοντες.

ιά. Τοιγαροῦν ἐκ τούτων τοιαῦτα τὰ πράγματα τῆς πόλεώς ἐστιν, ὥστε, εἴ τις ἀναγνοίη τὰ ψηφίσματα ὑμῶν καὶ τὰς πράξεις ἐφεξῆς διέλθοι, οὐδ' ἂν εἷς πιστεύσειε τῶν αὐτῶν

[1] ὅ, τι βούλεσθε, [2] καὶ ἱερῶν [3] ἐπιγενομένων [4] ταῦτα, ὁ παρθενών, νεώσοικοι,

αὐτῶν συμμάχους ἀπολωλεκότες. IDEM.

Τῷ τῆς πολιτείας ὀνόματι ἀκολούθους] Id est, δημοτικοὺς *plebeias*, minime tyrannicas. IDEM.

Ὁ δὲ δῆμος ἐν προσθήκης μέρει] Id est, numerus est tantum, ut, *Nos numerus sumus, et fruges consumere nati.* vel, nulla ratio populi habetur, nullo loco habetur, nulloque numero. Sic etiam Plato προσθήκην et πρόσθημα pro *additamento* et

εἶναι ταῦτα κἀκεῖνα· οἷον, ἃ πρὸς τοὺς καταράτους Μεγαρέας ἐψηφίσασθε ἀποτεμνομένους τὴν ὀργάδα, ἐξιέναι, κωλύειν, μὴ ἐπιτρέπειν· ἃ πρὸς Φλιασίους ὅτε ἐξέπεσον [1] τοέναγχος, βοηθεῖν, μὴ ἐπιτρέπειν τοῖς σφαγεῦσι, τῶν ἐν Πελοποννήσῳ τοὺς βουλομένους παρακαλεῖν. ἅπαντα καλὰ, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα καὶ δίκαια καὶ τῆς πόλεως ἄξια, [2] τὰ ἔργα δ' ἀπὸ τούτων οὐδαμοῦ. οὐκοῦν τὴν μὲν ἀπέχθειαν διὰ τῶν ψηφισμάτων ἐκφέρεσθε, τῶν δ' ἔργων οὐδενὸς κύριοι γίγνεσθε· τὰ μὲν γὰρ ψηφίσματα πρὸς τὸ τῆς πόλεως ἀξίωμα ψηφίζεσθε, τὴν δύναμιν δ' οὐκ ἀκόλουθον ὧν ψηφίζεσθε ἔχετε· ἐγὼ δὲ παραινέσαιμι ἂν ὑμῖν—καί μοι μηδεὶς ὀργισθῇ—[3] ἔλαττον φρονεῖν καὶ τὰ ὑμέτερα αὐτῶν ἀγαπᾷν πράττοντας ἢ μείζω δύναμιν παρασκευάζεσθαι. εἰ μὲν οὖν Σιφνίοις ἢ Κυθνίοις ἢ τισὶν ἄλλοις τοιούτοις οὖσι συνήδειν ὑμῖν, ἔλαττον φρονεῖν συνεβούλευον ἄν· ἐπειδὴ δὲ ἐστὲ Ἀθηναῖοι, τὸ τὴν δύναμιν παρασκευάζεσθαι παραινῶ. αἰσχρὸν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, αἰσχρὸν λιπεῖν τὴν τοῦ φρονήματος τάξιν, ἣν ὑμῖν οἱ πρόγονοι παρέδωκαν. πρὸς δὲ τούτοις οὐδ' ἔστιν ἐφ' ὑμῖν, οὐδ' [4] ἐὰν ἀποστῆναι τῶν Ἑλληνικῶν βούλησθε· πολλὰ γὰρ ὑμῖν ἐκ παντὸς τοῦ χρόνου πέπρακται· καὶ τοὺς μὲν φίλους τοὺς ὑπάρχοντας αἰσχρὸν προέσθαι, τοῖς δ' οὖσιν ἐχθροῖς οὐκ ἔνι πιστεῦσαι καὶ μεγάλους ἐᾶσαι γενέσθαι. ὅλως δὲ, ὅπερ οἱ πολιτευόμενοι πεπόνθασι πρὸς ὑμᾶς, [5] οὐκ ἔνεστ' αὐτοῖς ὅταν βούλωνται παύσασθαι, τοῦτο καὶ ὑμῖν περιέστηκε· πεπολίτευσθε γὰρ ἐν τοῖς Ἕλλησιν.

ιβ'. Ἔστι δ', ὦ ἄνδρες Ἀθηναῖοι, κεφάλαιον ἁπάντων τῶν εἰρημένων, οὐδέ ποθ' ὑμᾶς οἱ λέγοντες οὔτε πονηροὺς

[1] τὸ ἔναγχος [2] τὰ δ' ἔργα τὰ ἀπὸ [3] * ἢ ἔλαττον [4] ἂν [5] * οἷς οὐκ

accessione sive *appendice* posuit, quemadmodum et πρόσθεσιν, &c. *Ex edit.* Wolf.

ιά. Τὴν ὀργάδα] Suidas ὀργάδα, *fecundam, consitam, pinguem, robustamque tellurem* interpretatur: et postea, nescio quo auctore, citat Periclem dedisse crimini Megarensibus, quod ὀργάδα, hoc est, *consecratum agrum* colerent. Wolf.

Μὴ ἐπιτρέπειν τοῖς σφαγεῦσι] Coercendos esse grassatores et homicidas. Sic odiose vocari puto Lacedæmonios. τὰς ἐν Ἤλιδι σφαγὰς in Philippicis commemoravit. Minuta ista et fere perpetua Græcorum latrocinia exquirere accuratius, non est operæ pretium. Idem.

Σιφνίοις ἢ Κυθνίοις] Siphnos insula una ex Cycladibus in Ægæo mari, Cythnos item. Idem.

Τὸ τὴν δύναμιν] Lego, μείζω τὴν δύναμιν. Idem.

οὔτε χρηστοὺς ποιήσουσιν, ἀλλ' ὑμεῖς τούτους ὁποίους ἂν βούλησθε· οὐ γὰρ ὑμεῖς ὧν οὗτοι βούλονται στοχάζεσθε, ἀλλ' οὗτοι ὧν ἂν ὑμᾶς ἐπιθυμεῖν οἴωνται· ὑμᾶς οὖν ὑπάρξαι δεῖ χρηστὰ βουλομένους, καὶ πάνθ' ἕξει καλῶς· ἢ γὰρ οὐδεὶς ἐρεῖ φαῦλον οὐδὲν, ἢ οὐδὲν αὐτῷ πλέον ἔσται μὴ ἔχοντι τοὺς πεισομένους.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΤΟΥ ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ.

ἈΛΕΞΑ'ΝΔΡΟΥ τοῦ Μακεδόνος καταγαγόντος εἰς Μεσσήνην τοὺς Φιλιάδου τοῦ τυράννου παῖδας, αἰτιᾶται παρὰ τὰς συνθήκας εἶναι τοῦτο τὰς παρὰ Ἀθηναίοις καὶ Ἕλλησι γενομένας. παραβεβηκέναι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τὰς συνθήκας φησὶ τοὺς Μακεδόνας, καὶ μὴ περιορᾷν ταῦτα παραινεῖ. ὁ δὲ λόγος ψευδεπίγραφος εἶναι δοκεῖ· οὐ γὰρ ἔοικε κατὰ τὴν ἰδέαν τοῖς ἄλλοις τοῖς τοῦ Δημοσθένους· ἀλλὰ τῷ Ὑπερίδου χαρακτῆρι μᾶλλον προσχωρεῖ· τά τε ἄλλα καὶ λέξεις τινὰς ἔχει κατ' ἐκεῖνον μᾶλλον εἰρημένας, ἢ τὸν Δημοσθένην· οἷον, νεόπλουτοι καὶ βδελυρεύσεται.

Αἰτιᾶται, φησὶ] S. ὁ ῥήτωρ. Wolf.
Τὰς παρ' Ἀθηναίοις καὶ Ἕλλησι γενομένας] Malim τὰς πρὸς Ἀθηναίους καὶ τοὺς Ἕλληνας γενομένας. Idem.

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ ΛΟΓΟΣ.

Ol. 111, 1.

ά. ἈΞΙΟΝ ἀποδέχεσθαι, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν, εἴπερ αὐτὸ πεπεισμένοι ποιοῦσιν· [1]οἶμαι γὰρ οὐδὲν οὕτω τοῖς δημοκρατουμένοις πρέπειν, ὡς περὶ τὸ ἴσον καὶ τὸ δίκαιον σπουδάζειν. δεῖ τοίνυν τοὺς λίαν ἐπ' αὐτὸ παρακαλοῦντας μὴ τῷ μὲν λόγῳ καταχρωμένους ἐνοχλεῖν,

[1] οἴομαι

ά. Πεπεισμένοι] S. ὅτι δεῖ ἐμμένειν τοῖς ὅρκοις, Si ex animo ita sentiunt, et citra simulationem. Isocrates Nicocle: αἱ δημοκρατίαι τὰς ἰσότητας ζητοῦσι τοῖς μετέ-

πάντα δὲ μᾶλλον πράττειν· ἀλλ᾽ ὑπομείναντας νυνὶ τὸν ἐξετασμὸν ἢ καὶ τολοιπὸν πειθομένους ὑμᾶς ἔχειν περὶ αὐτῶν, ἢ παραχωρήσαντας ἐᾶν συμβουλεύειν τοὺς [1]ἀληθέστερα περὶ τῶν δικαίων ἀποφαινομένους· ἵνα ἢ ἑκόντες ἀδικούμενοι ἀνέχησθε καὶ αὐτὸ τοῦτο χαρίζησθε τῷ ἀδικοῦντι, ἢ προελόμενοι περὶ πλείστου [2]ποιήσασθαι τὸ δίκαιον ἀνεγκλήτως πρὸς ἅπαντας χρῆσθε τῷ συμφέροντι μηκέτι μέλλοντες. ἐξ αὐτῶν δὲ τῶν συνθηκῶν καὶ τῶν ὅρκων σκοπουμένοις τῶν περὶ τῆς κοινῆς εἰρήνης ἔξεστιν ἰδεῖν ἤδη, τίνες εἰσὶν οἱ παραβεβηκότες. ὡς δὲ περὶ μεγάλων συντόμως διδάξω.

β΄. Εἰ δή τις ἐρωτήσειεν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τίνι ἂν μάλιστα [3]ἀγανακτήσητε, εἴποιτ᾽ ἄν, οἶμαι, πάντες, εἴ τις ἀναγκάζοι ἄν, εἰ ἦσαν κατὰ τὸν [4]νῦν χρόνον οἱ Πεισιστρατίδαι, καὶ εἴ τις ἐβιάζετο κατάγειν αὐτοὺς δευρί, ἁρπάσαντας ἂν ὑμᾶς τὰ ὅπλα πάντα κίνδυνον ὑπομεῖναι ἀντὶ τοῦ παραδέχεσθαι ἢ πεισθέντας γε δουλεύειν ἀντὶ τῶν ἀργυρωνήτων· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τὸν μὲν οἰκέτην οὐδεὶς ἂν ἑκὼν ἀποκτείνειε· τοὺς δὲ τυραννουμένους ἀκρίτως ἐστὶν ὁρᾶν ἀπολλυμένους ἅμα καὶ ὑβριζομένους εἰς παῖδας καὶ γυναῖκας.

γ΄. Παρὰ τοὺς ὅρκους τοίνυν καὶ τὰς συνθήκας τὰς ἐν τῇ κοινῇ εἰρήνῃ γεγραμμένας Ἀλέξανδρος εἰς Μεσσήνην καταγαγὼν τοὺς Φιλιάδου παῖδας [5]ὄντας τυράννους ἆρα ἐφρόντισε τοῦ δικαίου; ἀλλ᾽ οὐκ ἐχρήσατο τῷ [6]αὐτοῦ ἤθει τῷ τυραννικῷ βραχὺ φροντίσας ὑμῶν καὶ τῆς κοινῆς ὁμο-

[1] τἀληθέστερα [2] ποιεῖσθαι [3] * ἀγανακτήσαιτε [4] νυνὶ
[5] τυράννους ὄντας [6] αὑτοῦ

χουσι τῶν πολιτειῶν. Wolf.

Τὸν ἐξετασμὸν] *Inquisitionem, disceptationem*, id est, nunc excuti et explorari suum consilium patiantur. Idem.

Ἀνεγκλήτως] Utrum ἀνεγκλήτως πρὸς ἅπαντας; an χρῆσθε πρὸς ἅπαντας; Idem.

Ἀνεγκλήτως πρὸς ἅπαντας] *Irreprehensibili modo erga omnes*, ita ut nemo nos reprehendat. Auger.

Χρῆσθε τῷ συμφέροντι] Id vero quod est? τὸ ἀμύνεσθαι τοὺς παραβαίνοντας τὰς συνθήκας. Wolf.

Οἱ παραβεβηκότες] S. τὰς συνθήκας καὶ τοὺς ὅρκους. Idem.

β΄. Εἴ τις ἀναγκάζοι ἄν, etc. καὶ εἴ τις ἐβιάζετο] Ordo verborum satis confusus est. Sed quia meam interpretationem commentarii vice esse confido, nihil est, cur plura annotem. Quis enim non videat, εἴποιτ᾽ ἂν ὑμᾶς ἁρπάσαντας ὅπλα, ὑπομεῖναι, etc. conjungi? et τὸ ἂν ὑπομεῖναι, ἀντὶ τοῦ ὑπομενεῖν poni? Idem.

Ἀναγκάζοι] Sumo absolute. *Si quis vim faceret*. Auger.

Ὑπομεῖναι—δουλεύειν] Referri debent ad εἴποιτ᾽ ἄν. Idem.

Ὑβριζομένους εἰς παῖδας] Ἀντὶ τοῦ, τοὺς παῖδας καὶ τὰς γυναῖκας αὐτῶν ὑβρίζεσ-

λογίας; οὐ δὴ [1]δεῖ, εἰ μέν τις ὑμᾶς ταῦτα βιάζοιτο, μάλιστα ἀγανακτῆσαι; εἰ δ' ἑτέρωθί που γέγονε παρὰ τοὺς ὅρκους τοὺς πρὸς ὑμᾶς [2]μὴ φυλάξασθαι τοῦτο, πρᾴως ὑμᾶς ἔχειν, [3]καὶ ὅρκους μὴ φυλάξασθαι· καὶ ἡμῖν μὲν διακελεύεσθαί τινας [4]ἐνταυθοῖ ἐμμένειν τοῖς ὅρκοις, τοῖς δ' αὐτοὺς οὕτω περιβοήτως ἀνῃρηκόσι [5]καταλιπεῖν ταύτην τὴν ἐξουσίαν; ἀλλ' οὐχ οἷόν τε ταῦθ' οὕτως ἔχειν, ἐὰν βούλησθε τῷ δικαίῳ χρῆσθαι· καὶ γὰρ ἔτι προσγέγραπται ἐν ταῖς συνθήκαις πολέμιον εἶναι τὸν ἐκεῖνα ἅπερ Ἀλέξανδρος ποιοῦντα ἅπασι τοῖς τῆς εἰρήνης κοινωνοῦσι καὶ τὴν χώραν αὐτοῦ, καὶ στρατεύεσθαι ἐπ' αὐτὸν ἅπαντας. οὐκοῦν, ἐὰν ποιῶμεν τὰ συγκείμενα, πολεμίῳ χρησόμεθα τῷ καταγαγόντι· ἀλλὰ γὰρ εἴποιεν ἂν οἱ τυραννίζοντες οὗτοι, ὅτι, πρὶν τὰς συνθήκας γενέσθαι, ἐτυράννουν Μεσσηνίων οἱ Φιλιάδου παῖδες· διὸ καὶ κατάγειν τὸν Ἀλέξανδρον αὐτούς. ἀλλὰ καταγέλαστος ὁ λόγος τοὺς μὲν ἐκ Λεσβου τυράννους οἷον ἐξ Ἀντίσσης καὶ [6]Αἱρέσου ἐκβαλεῖν, ὡς ἀδικήματος ὄντος τοῦ πολιτεύματος, τοὺς πρὸ τῶν ὁμολογιῶν τυραννήσαντας· ἐν δὲ Μεσσήνῃ μηδὲν οἴεσθαι διαφέρειν, τῆς αὐτῆς δυσχερείας ὑπαρχούσης.

δ'. Ἔπειτα καὶ ἐπιτάττει ἡ συνθήκη εὐθὺς ἐν ἀρχῇ ἐλευθέρους εἶναι καὶ αὐτονόμους τοὺς Ἕλληνας. [7]διὰ καὶ πῶς οὐχ ὑπεράτοπον ἡγεῖσθαι μὲν τῶν συνθηκῶν τὸ αὐτονόμους εἶναι καὶ ἐλευθέρους, τὸν δ' εἰς δουλείαν ἄγοντα μὴ οἴεσθαι [8]τὰ ἐναντία ταῖς κοιναῖς ὁμολογίαις διαπεπρᾶχθαι. οὐκοῦν ἀναγκαῖόν ἐστιν ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι,

[1] * δεινὸν, εἰ [2] [μὴ φυλάξασθαι] [3] [καὶ ὅρκους μὴ φυλάξασθαι·] [4] ἐνταυθὶ [5] καταλείπειν [6] Ἐρέσου [7] * δικαίως. πῶς* οὖν οὐχ [8] τἀναντία

θαι. Wolf.

γ'. Οὐδ' ᾔδει] Legendum, ut habet Fel. οὐ δὴ δεῖ εἰ μέν τις ὑμᾶς ταῦτα βιάζοιτο, μάλιστα ἀγανακτῆσαι, καὶ φυλάξασθαι τοὺς ὅρκους. (Sic enim lego pro φυλάξασθαι τοῦτο, quod perperam etiam ad inferiora translatum est) εἰ δ' ἑτέρωθί που γέγονε παρὰ τοὺς ὅρκους, πρᾴως ὑμᾶς ἔχειν καὶ τοὺς ὅρκους μὴ φυλάξασθαι. Verba τοὺς πρὸς ὑμᾶς, et ut supervacanea, et ut falsa (nam ad omnes Græcos pertinebat jusjurandum) et ταυτολόγα καὶ κακόφωνα, rejicienda puto. Idem.

Καὶ ἡμῖν μὲν] S. οὐ δὴ δεῖ. Idem.

Τὴν ἐξουσίαν] Pendet ab εἰ δεῖ. Postea pro πολεμίῳ malim ὡς πολεμίῳ. etsi et in epistola quadam Philippi legitur: τοῖς δὲ μὴ συναντήσασι, πανδημεὶ χρησόμεθα· τοῖς δὲ συμβούλοις ἡμῖν μὴ κειμένοις, ἐπιζημίοις. Sed is locus corruptus est, et inexplicabilis. Idem.

Οἱ τυραννίζοντες] Οἱ τὰ τῶν τυράννων φρονοῦντες, *Tyrannorum studiosi*. Idem.

Αἱρέσου] Legendum ἐρέσου. hinc Theophrastus ἐρέσιος apud Laertium dicitur. Idem.

δ'. Ἀναγκαῖόν ἐστιν ἡμῖν λαβοῦσι τὰ ὅπλα] Ἡμῖν λαβοῦσι, Latine ἡμᾶς λαβεῖν, vel ἵνα λά-

εἴπερ τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμενοῦμεν καὶ τὰ δίκαια ποιήσομεν,—ἐφ' ἃ ὑμᾶς παρακαλοῦσι, καθάπερ ἄρτι εἶπον—, λαβοῦσι τὰ ὅπλα στρατεύεσθαι ἐπὶ τοὺς παραβεβηκότας μετὰ τῶν βουλομένων· ἢ νομίζετε τὸν μὲν καιρόν ποτ' ἰσχύειν, καὶ ἄνευ τοῦ δικαίου, τὸ συμφέρον πράττειν· [1]νυνὶ δ', ὅτ' εἰς ταὐτὸ τὸ δίκαιον ἅμα καὶ ὁ καιρὸς καὶ τὸ συμφέρον συνδεδράμηκεν, ἄλλον ἄρα τινὰ χρόνον ἀναμενεῖτε τῆς ἰδίας ἐλευθερίας ἅμα καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ἀντιλαβέσθαι;

έ. Ἐπ' ἄλλο δὲ δίκαιον ἔρχομαι τῶν κατὰ τὰς συνθήκας. ἔστι γὰρ γεγραμμένον, ἐάν τινες τὰς πολιτείας τὰς παρ' ἑκάστοις οὔσας, ὅτε τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης ὤμνυσαν, καταλύσωσι, πολεμίους εἶναι πᾶσι τοῖς τῆς εἰρήνης μετέχουσι. σκέψασθε δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Ἀχαιοὶ μὲν οἱ ἐν Πελοποννήσῳ ἐδημοκρατοῦντο· τούτων δὲ ἐν Πελλήνῃ νῦν καταλέλυκε [2]τὴν πόλιν ὁ Μακεδὼν ἐκβαλὼν τῶν πολιτῶν τοὺς πλείστους, τὰ δ' ἐκείνων τοῖς οἰκέταις δέδωκε, Χαίρωνα δὲ τὸν παλαιστὴν τύραννον ἐγκατέστησεν. ἡμεῖς δὲ τῆς εἰρήνης μετέχομεν τῆς προσταττούσης πολεμίους ἡγεῖσθαι τοὺς ταῦτα πράττοντας. ἐκ δὴ τούτων πότερον πειθώμεθα τοῖς κοινοῖς προστάγμασι, πολεμίοις αὐτοῖς χρώμενοι, ἢ βδελυρεύσεταί τις, οὐ φάσκων, τούτων τῶν μισθοφορούντων παρὰ τοῦ Μακεδόνος τῶν καθ' ὑμῶν πεπλουτηκότων; οὐ γὰρ δὴ λέληθέ γε αὐτοὺς οὐδὲν τούτων, ἀλλ' εἰς τοῦθ' ὕβρεως ἥκουσιν, ὥστε, δορυφο-

[1] νυνὶ δ' * οὐ, ὅτ'

[2] τὴν πόλιν] τὸν δῆμον

βωμεν, vel εἰλημμένων τῶν ὅπλων. Idem.

Ἐφ' ἃ ὑμᾶς παρακαλοῦσιν] S. οἱ τυραννίζοντες. Idem.

Ἐπὶ τοὺς παραβεβηκότας] S. τὰς συνθήκας. Idem.

Μετὰ τῶν βουλομένων] S. συστρατεύεσθαι, καὶ διαφυλάττειν τὰς συνθήκας, τά τε δέοντα ποιεῖν. Idem.

Ἰσχύειν] Sic construe ἰσχύειν πράττειν τὸ συμφέρον καὶ ἄνευ τοῦ δικαίου. et, ἰσχύειν fortasse ἀντὶ τοῦ ἰσχύσειν. ἡ φράσις, ὁ καιρὸς ἰσχύει πράττειν τὸ συμφέρον, τουτέστι, δύναται, οἷός τ' ἐστι. Idem.

Νυνὶ δ' ὅτ' εἰς ταὐτὸ τὸ δίκαιον] Sententia est, coerceri Macedones et justum et utile et tempestivum atque opportunum esse. Idem.

Χρόνον ἀναμενεῖτε ἀντιλαβέσθαι] Καιρὸν τοῦ ἀντιλαβέσθαι τῆς ἐλευθερίας. Idem.

έ. Τὰς πολιτείας καταλύσωσι] Atqui apud Eresios et Antissæos πολιτεία τυραννὶς fuit, qua ipsi Græci eversa pacta et conventa violarunt. Sed argutatur auctor, ὅτι ἡ τυραννὶς οὐ πολίτευμα, ἀλλ' ἀδίκημα. Idem.

Καταλέλυκε τὴν πόλιν] Malo cum Feliciano legere, τὸν δῆμον, aut τὴν πολιτείαν. Idem.

Οὐ φάσκων] S. δεῖν πολεμίοις αὐτοῖς χρήσασθαι, *negans bellum eis inferendum esse*, et, τὶς τούτων τῶν μισθοφορούντων βδελυρεύσεται, οὐ φάσκων, τουτέστιν ἀρνούμενος. Idem.

ρούμενοι τοῖς τοῦ τυράννου στρατοπέδοις, ἐν μὲν τοῖς παραβεβασμένοις ὅρκοις ἐμμένειν ὑμῖν διακελεύονται, ὡς καὶ τῆς ἐπιορκίας αὐτοκράτορος ὄντος ἐκείνου· τοὺς δὲ ἰδίους ὑμᾶς νόμους ἀναγκάζουσι λύειν, τοὺς μὲν κεκριμένους ἐν τοῖς δικαστηρίοις [1] ἀφέντες, ἕτερα δὲ παμπληθῆ τοιαῦτα βιαζόμενοι παρανομεῖν. εἰκότως· τοῖς γὰρ πεπρακόσιν ἑαυτοὺς εἰς [2] τὰ ἐναντία τοῖς τῇ πατρίδι συμφέρουσιν οὐκ ἔνι μέλειν νόμων οὐδ' ὅρκων· τοῖς δ' ὀνόμασιν αὐτῶν μόνοις ἀποχρώμενοι παρακρούονται τοὺς παρέργως ἐνταυθοῖ, ἀλλ' οὐκ ἐξεταστικῶς, ἐκκλησιάζοντας, καὶ νομίζοντας τὴν παραυτίκα ἡσυχίαν οὐκ ἔσεσθαί ποτε αἰτίαν ταραχῆς ἀτόπου [3] μεγάλης.

ϛʹ. Κελεύω δ' ἔγωγε, καθάπερ ἐν ἀρχῇ προεῖπον, πείθεσθαι τούτοις τοῖς φάσκουσι δεῖν ἐν ταῖς κοιναῖς ὁμολογίαις ἐμμένειν· εἰ μὴ ἐκεῖνο νομίζουσιν, ὅταν μὲν λέγωσιν ὡς ἐμμενετέον τοῖς ὅρκοις, οὐ λέγειν αὐτοὺς τὸ μηδὲν ἀδικεῖσθαι· οὐδένα δ' οἴονται αἰσθήσεσθαι, τυραννίδων ἀντὶ δημοκρατιῶν καθισταμένων καὶ τῶν πολιτειῶν καταλυομένων. [4] τοῦτο δ' ἐστὶ καταγελαστότατον· ἔστι γὰρ ἐν ταῖς συνθήκαις, ἐπιμελεῖσθαι τοὺς συνεδρεύοντας καὶ τοὺς ἐπὶ τῇ κοινῇ φυλακῇ τεταγμένους, ὅπως ἐν ταῖς κοινωνούσαις πόλεσι τῆς εἰρήνης μὴ γίγνωνται θάνατοι καὶ φυγαὶ παρὰ τοὺς κειμένους ταῖς πόλεσι νόμους, μηδὲ χρημάτων δημεύσεις, μηδὲ γῆς ἀναδασμοὶ, μηδὲ χρεῶν ἀποκοπαὶ, μηδὲ δούλων ἀπελευθερώσεις ἐπὶ νεωτερισμῷ· οἱ δὲ τοσούτου δέουσι

[1] ἀφιέντες [2] τἀναντία [3] [μεγάλης] [4] τὸ δ' ἔτι * καταγελαστότερον.

Κεκριμένους] Τοὺς καταδικασθέντας ἐν τοῖς δικαστηρίοις. IDEM.

Τοῖς δ' ὀνόμασιν αὐτῶν] S. τῶν νόμων καὶ τῶν ὅρκων. IDEM.

Ἀτόπου καὶ μεγάλης] Addo καὶ cum Feliciano. IDEM.

ϛʹ. Τὸ μηδὲν ἀδικεῖσθαι] Malim τὸ μηδένα ἀδικεῖσθαι. IDEM.

Οὐδένα δ' οἴονται αἰσθήσεσθαι] Fortassis οὐδένα δ' οἴονται ἀδικεῖσθαι, eodem verbo repetito. Qui enim talia non animadverti ab ullo potuissent? Quem locum sic vertas licet: *Nemini faciendam esse injuriam: et injuriam fieri nemini, cum tyrannides pro Democratiis constituuntur, et respub. abrogantur.* IDEM.

Τοὺς συνεδρεύοντας] In Plataïco Isocratis est, Ἀθήνησι γενέσθαι συνέδριον: quod scilicet sociorum legati ibi convenerint, de republica Græciæ deliberaturi. IDEM.

Καὶ τοὺς ἐπὶ τῇ κοινῇ φυλακῇ τεταγμένους] S. τῶν συνθηκῶν καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας. IDEM.

Ἀπελευθερώσεις ἐπὶ νεωτερισμῷ] Additur προσδιορισμὸς, ne ademtum videatur dominis jus manumittendi eos, qui serviunt liberaliter: sicut paulo post, ὅπλα ἐπιφέρειν ἐπὶ πολέμῳ, τουτέστι, πολεμικῶς, ἀλλ' οὐκ

τούτων τι κωλύειν, ὥστε καὶ συγκατασκευάζουσιν· οὓς πῶς οὐ προσήκει ἀπολωλέναι, οἳ τηλικαύτας συμφορὰς παρασκευάζουσιν ἐν ταῖς πόλεσιν, ἃς διὰ τὸ μέγεθος αὐτοῖς τοσούτοις οὖσι μὴ περιορᾷν [1]ἐπέταξεν;

ζ΄. Ἔτι δ᾽ ἕτερον δείξω τὸ λελυκὸς τὰς συνθήκας· ἔστι γὰρ γεγραμμένον, ἐκ τῶν πόλεων τῶν κοινωνουσῶν τῆς εἰρήνης μὴ ἐξεῖναι φυγάδας ὁρμήσαντας ὅπλα ἐπιφέρειν ἐπὶ πολέμῳ μηδεμιᾷ πόλει τῶν μετεχουσῶν τῆς εἰρήνης· εἰ δὲ μή, ἔκσπονδον εἶναι τὴν πόλιν ἐξ ἧς ἂν ὁρμήσωσιν [2]οὗτοι. οὕτω τοίνυν ῥᾳδίως τὰ ὅπλα [3]ἐπήνεγκεν ὁ Μακεδών, ὥστ᾽ οὐδὲ κατέθετο πώποτε, ἀλλ᾽ ἔτι καὶ νῦν ἔχων περιέρχεται καθ᾽ ὅσον δύναται. τοσούτῳ δὲ νῦν μᾶλλον ἢ πρότερον, ὅσῳ ἐκ προστάγματος ἄλλους τε ἑτέρωθι καὶ τὸν παιδοτρίβην εἰς Σικυῶνα κατήγαγεν. οὐκοῦν, εἰ δεῖ πείθεσθαι ταῖς κοιναῖς ὁμολογίαις, καθάπερ οὗτοί φασιν, ἔκσπονδοι ἡμῖν εἰσὶν αὗται αἱ πόλεις αἱ ταῦτα διαπεπραγμέναι. εἰ μὲν οὖν δεῖ ἐπικρύπτεσθαι τἀληθῆ, οὐδὲν δεῖ λέγειν, ὅτι εἰσὶν αἱ Μακεδονικαί· εἰ δὲ οὐκ ἀνιᾶσιν οἱ καθ᾽ ὑμῶν τῷ Μακεδόνι ὑπηρέται προστάττοντες πράττειν τὰ ἐν ταῖς κοιναῖς ὁμολογίαις, πεισθῶμεν αὐτοῖς, ἐπειδὴ τὰ δίκαια λέγουσι· καί, καθάπερ κελεύει ὁ ὅρκος, ἐκσπόνδους αὐτοὺς ποιήσαντες βουλευσώμεθα, πῶς δεῖ χρῆσθαι τοῖς δεσποτικῶς καὶ ἀσελγῶς διακειμένοις, καὶ διὰ τέλους τὰ μὲν ἐπιβουλεύουσι, τὰ δὲ [4]πράττουσι καὶ καταγελῶσι τῆς κοινῆς

[1] ἐπέταξαν [2] Deest οὗτοι. [3] κεκίνηκεν [4] *ταράττουσι

ἐμπορικῶς, ἢ συμμαχικῶς. Idem.

Αὐτοῖς τοσούτοις οὖσι] S. τοῖς συνεδρεύουσι. Idem.

Ἐπέταξεν] Lege cum Feliciano ἐπέταξαν, S. αἱ συνθῆκαι. Idem.

ζ΄. Ἔστι γὰρ γεγραμμένον] Sic ordinanda verba sunt: μὴ ἐξεῖναι φυγάδας, ὁρμήσαντας ἐκ τῶν πόλεων, τῶν κοινωνουσῶν τῆς εἰρήνης, ἐπιφέρειν ὅπλα ἐπὶ πολέμῳ πόλει μηδεμιᾷ τῶν μετεχουσῶν τῆς εἰρήνης. Sententia enim est, exules vi reditum in patriam (si ea sit ex fœderatis civitatibus) sibi patefacere studentes, in fœderatis civitatibus neque ferendos, neque adjuvandos esse. Idem.

Ὅσῳ ἐκ προστάγματος] Προστάγματι, προστάσσων, τῷ προστάσσειν, διὰ προστάγματος. Idem.

Τὸν παιδοτρίβην] Non *literatorem ludimagistrum*, sed *lanistam, qui palæstræ præest*, intellige. Idem.

Αἱ Μακεδονικαὶ] S. πόλεις. Hæc a Macedonicis urbibus esse facta. Idem.

Εἰ δὲ οὐκ ἀνιᾶσι προστάττοντες πράττειν] Διατελοῦσι, διαγίγνονται, διαμένουσιν, οὐ παύονται. ἀνιᾶσι, ἀντὶ τοῦ ἀνιεῖσιν, ἢ ἀνιέασι, ὥσπερ τιθέασι, παρὰ τὸ ἀνίημι. Idem.

Οἱ τῷ Μακεδόνι ὑπηρέται] Pro ὑπηρετοῦντες: de qua loquendi forma satis in Isocrate multa notavimus. Idem.

Διὰ τέλους ἐπιβουλεύουσι] Ἐπιβουλεύω διὰ τέλους, τουτέστι διατελῶ ἐπιβουλεύων. Idem.

Τὰ δὲ πράττουσι] S. ἐναντία ταῖς συνθήκαις. Nisi malis ταράττουσι, S. τὴν Ἑλλάδα, Græciæ perturbatoribus. Idem.

εἰρήνης· διὰ τί γὰρ οὐ φήσουσιν οὗτοι δεῖν ταῦθ' οὕτως ἔχειν; ἢ τὴν μὲν ὁμολογίαν τὴν κατὰ τῆς πόλεως οὖσαν βεβαίαν ἀξιοῦσιν εἶναι, τὴν δὲ σώζουσαν οὐ [1]συγχωροῦσιν; ἆρά γε δοκεῖ [2]δίκαια γίγνεσθαι; κἂν μέν τι ᾖ πρὸς τῶν ἐχθρῶν κατὰ τῆς πόλεως [3]ὡς ἐν τοῖς ὅρκοις, τοῦτο μὲν ἰσχυρὸν ἀεὶ ποιήσουσιν· ἐὰν δέ τι ὑμέτερον ᾖ κατ' ἐκείνων [4]ἅμα δίκαιον καὶ συμφέρον, πρὸς [5]τοῦτο διαμαχομένους οὐδέ ποτε παύσασθαι οἰήσονται δεῖν ἑαυτούς;

ή. Ἵνα δ' εἰδῆτε ἔτι σαφέστερον, ὅτι οὐδεὶς ὑμῖν ἐγκαλέσει ποτὲ τῶν Ἑλλήνων, ὡς ἄρα παρέβητέ τι τῶν κοινῇ ὁμολογηθέντων, ἀλλὰ καὶ χάριν ἕξουσιν, ὅτι μόνοι ἐξηλέγξατε τοὺς ταῦτα ποιοῦντας, μικρὰ ἐπιδραμοῦμαι περὶ αὐτῶν πολλῶν ὄντων· ἔστι γάρ που ἐν ταῖς συνθήκαις, τὴν θάλατταν πλεῖν τοὺς μετέχοντας τῆς εἰρήνης, καὶ μηδένα κωλύειν αὐτοὺς, μηδὲ κατάγειν πλοῖον μηδένα τούτων· ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, πολέμιον εἶναι πᾶσι τοῖς τῆς εἰρήνης μετέχουσιν. οὐκοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑμεῖς μὲν ἐναργέστατα ἴστε τοῦθ' ὑπὸ τῶν Μακεδόνων γεγενημένον· εἰς τοῦτο γὰρ παρανομίας ἦλθον, ὥστε εἰς Τένεδον ἅπαντα τὰ ἐκ τοῦ [6]Πόντου κατήγαγον, καὶ σκευωρούμενοι περὶ αὐτὰ οὐ πρότερον ἀφεῖσαν, πρὶν οὗ ὑμεῖς ἐψηφίσασθε τριήρεις ἑκατὸν πληροῦν καὶ καθέλκειν εὐθὺς τότε, καὶ στρατηγὸν ἐπ' αὐταῖς ἐτάξατε Μενεσθέα.

θ'. Πῶς οὖν οὐκ ἄτοπον τοσαῦτα μὲν εἶναι καὶ [7]τηλικαῦτα ἡμαρτημένα ἑτέροις, τοὺς δ' ἐνταῦθα φίλους αὐ-

[1] συγχωρήσουσιν [2] δίκαιον ταῦτα γίγνεσθαι [3] Deest ὡς. [4] ἅμα καὶ δίκαιον [5] τοῦτο δὲ διαμαχομένους [6] πόντου πλοῖα κατήγαγον [7] τηλικαῦτα τὰ ἡμαρτημένα

Δεῖν ταῦθ' οὕτως ἔχειν] Τουτέστιν, ἐκσπόνδους ποιῆσαι τοὺς Μακεδόνας. Idem.

Τὴν κατὰ τῆς πόλεως οὖσαν] Quæ vero pactio est contra Atheniensem rempublicam? An quod suis rebus contenta imperium in alias urbes sibi vendicare non audebat? Idem.

Κἂν μέν τι ᾖ πρὸς τῶν ἐχθρῶν] Pro ὑπέρ. *Si quid ab hostibus stat.* Idem.

Ὡς ἐν τοῖς ὅρκοις] Τὸ ὡς puto redundare. Malim τῶν ἐν τοῖς ὅρκοις. Idem.

ή. Σκευωρούμενοι περὶ αὐτὰ] Συσκευαζόμενοι, ἐπιβουλεύοντες, πονηρευόμενοι, κατὰ μικρὸν ὑφ' ἑαυτοῖς ποιούμενοι, τυρεύοντες, καττύοντες, μᾶλλον δὲ τὰ ψευδῆ προφασιζόμενοι, *falsas causas, cur eas detinerent, comminiscentes*, ἢ διερευνῶντες ἅπαντα τὰ σκεύη, τουτέστι, τὰ φορτία καὶ τοὺς γόμους. Idem.

Πρὶν οὗ] F. πρὶν ἤ. Nam prius illud nunquam usquam me legere memini. Idem.

Μενεσθέα] Hujus nominis et olim dux Atheniensium fuit, cujus meminit Homerus in catalogo, his versibus, de Atheniensibus scribens: [Il. B. 552. sq.]

Τῶν αὖθ' ἡγεμόνευ' υἱὸς Πετεῶο Μενεσθεύς·
Τῷδ' οὔπω τις ὁμοῖος ἐπιχθονίων γένετ' ἀνὴρ
Κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας·
Νέστωρ δ' οἶος ἔριζεν· ὁ γὰρ προγενέστερος ἦεν.
Idem

τῶν μὴ ἐκείνους ἀποτρέπειν τοὺς παραβαίνοντας, ἀλλ' ἡμῖν συμβουλεύειν ἐμμένειν τοῖς οὕτως ὠλιγωρημένοις; ὥσπερ καὶ τούτου προςγεγραμμένου, τοῖς μὲν ἐξεῖναι πλημμελεῖν, τοῖς δὲ μηδ' ἀμύνεσθαι. πῶς δὲ οὐχ [1]ἅμα παρηνόμουν ἐκεῖνοι καὶ ἀναίσθητοι ἦσαν, οἵ γε τηλικοῦτον παρέβησαν τῶν ὅρκων, ὃ παρ' ἐλάχιστον ἐποίησεν αὐτοὺς ἀφαιρεθῆναι δικαίως τὴν κατὰ θάλατταν ἡγεμονίαν; καὶ νῦν ἔτι παραδεδώκασι τοῦτο τὸ δίκαιον ἀνεγκλήτως ἡμῖν, ὅταν βουληθῶμεν πράττειν· οὐ γὰρ, ὅτι ἐπαύσαντο [2]ἁμαρτάνοντες, ἧττον δήπου παραβεβήκασι τὰς κοινὰς ὁμολογίας· ἀλλ' εὐτυχοῦσιν, ὅτι ἐναποχρῶνται τῇ ὑμετέρᾳ ῥαθυμίᾳ τῇ [3]οὐδὲν τῶν δικαίων ἀπολαύειν προαιρουμένῃ.

ι΄. [4]Καὶ ὑβριστικώτατον συμβέβηκεν, εἰ οἱ μὲν ἄλλοι Ἕλληνες καὶ βάρβαροι ἅπαντες τὴν πρὸς ὑμᾶς ἔχθραν φοβοῦνται, οὗτοι δ' οἱ νεόπλουτοι μόνοι καταφρονεῖν ὑμᾶς ὑμῶν αὐτῶν ἀναγκάζουσι, τὰ μὲν πείθοντες, τὰ δὲ βιαζόμενοι, ὥςπερ ἐν Ἀβδηρίταις ἢ [5]Μαρωνείταις, ἀλλ' οὐκ ἐν Ἀθηναίοις πολιτευόμενοι. καὶ ἅμα μὲν μικρὰ τὰ ἡμέτερα πράγματα ποιοῦσι, τὰ δὲ τῶν ἐχθρῶν ἰσχυρά· ἅμα

[1] ἅμα τε παρηνόμουν
[2] ἐξαμαρτάνοντες, ἧττόν τι δήπου
[3] οὐδὲ
[4] ὃ καὶ
[5] μαρωνίταις

θ΄. Ἐμμένειν τοῖς οὕτως ὠλιγωρημένοις] Eodem argumento et Isocrates in Panegyrico utitur adversus Persas. Idem.

Πῶς δ' οὐχ ἅμα παρηνόμουν ἐκεῖνοι] Ἀντὶ τοῦ παρανενομήκασι, καὶ ἀναίσθητοι ἐγένοντο. Detentionem illam Ponticarum navium et injustam fuisse, et incallide factam ex eo probat, quod parum abfuerit, quin a Græcis principatus maris Macedonibus eriperetur. Idem.

Τηλικοῦτον παρέβησαν τῶν ὅρκων] Aut τηλικοῦτον τῶν ὅρκων jungendum, aut παρέβησαν τοὺς ὅρκους: ὃ ἐποίησε παρ' ἐλάχιστον, ὥστε ἐλαχίστου ἐδεήθησαν. Idem.

Ἀφαιρεθῆναι] Ἢ ὑπὸ τῶν Ἑλλήνων, ἢ ὑπὸ τῶν Ἀθηναίων. Hinc apparet, Alexandro jam tum decretum fuisse principatum, de quo Isocrates in Philip. Idem.

Δικαίως] S. propter intercepta navigia Pontica. Idem.

Καὶ νῦν ἔτι] Hic est verborum ordo, καὶ παραδεδώκασιν οἱ Μακεδόνες ἡμῖν πράττειν ἀνεγκλήτως ἔτι καὶ νῦν τοῦτο τὸ δίκαιον, τὸ ἀφαιρεῖσθαι αὐτῶν τὴν ἡγεμονίαν, ὅταν βουληθῶμεν. Sed si quis mavult conjungere, ὅταν βουληθῶμεν πράττειν, ἀλλὰ μὴ ῥᾳθυμεῖν καὶ ἀργεῖν, non obsto. In fine est, ἅμα καὶ τῷ δικαίῳ ἡμᾶς ἀνεγκλήτως χρῆσθαι. Idem.

Τῇ οὐδὲν τῶν δικαίων ἀπολαύειν προαιρουμένῃ] Μὴ ἀντέχεσθαι τοῦ δικαίου ἅμα καὶ συμφέροντος. Idem.

ι΄. Οἱ νεόπλουτοι] Non tam Alexander et Macedones, quam horum studiosi oratores, quos supra κατὰ τῶν Ἀθηναίων πεπλουτηκέναι dixit. Idem.

Ὥσπερ ἐν Ἀβδηρίταις ἢ Μαρωνείταις] Abderitica mens pro stupida, proverbio celebratur. Abdera et Maronea sunt oppida Thraciæ, prius patria Democriti, posterius vini præstantia nobilitatum ab Homero, jure certe optimo: cum Ulysses Cyclopem Polyphemum ἀνθρωποφάγον eo inebriatum excæcarit. Idem.

Ἅμα μὲν μικρὰ τὰ ἡμέτερα πράγματα ποιοῦσι] Πότερον λόγῳ; *extenuant nostras opes, Macedonum augent*: ἢ ἔργῳ; dum auctores sunt connivendi ad injurias. Idem.

Ἅμα δὲ λανθάνουσιν ἑαυτοὺς] Significat, eorum orationem secum pugnare. Quomodo autem? Dicunt, urbem esse imparem Macedonibus, quibus metuunt, ne

δὲ λανθάνουσιν ἑαυτοὺς, ἀνυπόστατον τὴν πόλιν ὁμολογοῦντες εἶναι, διακελευόμενοι τὸ δίκαιον οὐ δικαίως διαφυλάττειν, ὡς τῷ συμφέροντί γε προελομένην χρῆσθαι, κρατεῖν ἂν τῶν πολεμίων ῥαδίως δυνηθεῖσαν. εἰκότως δ' αὐτὸ πεπόνθασιν· ἕως γὰρ ἂν ἐξῇ τῶν κατὰ θάλατταν καὶ μόνων [1] ἀναμφισβήτως εἶναι κυρίοις, τοῖς γε κατὰ γῆν πρὸς τῇ ὑπαρχούσῃ δυνάμει ἐστὶ [2] προσβολὰς ἑτέρας εὑρέσθαι· ἄλλως τε καὶ πεπαυμένων ὑπὸ τῆς τύχης τῶν δορυφορουμένων ὑπὸ τῶν τυραννικῶν στρατοπέδων· καὶ τῶν μὲν ἐφθαρμένων, τῶν δὲ ἐξεληλεγμένων οὐδενὸς ἀξίων ὄντων.

ιά. Τὸ μὲν οὖν περὶ τὰ πλοῖα πρὸς τοῖς ἄλλοις τοῖς προειρημένοις ὁ Μακεδὼν τηλικοῦτον παρέβη· τὸ δὲ ὑβριστικώτατον καὶ ὑπεροπτικώτατον τῶν Μακεδόνων τὸ πρώην γεγενημένον ἐστὶ, Τὸ τολμῆσαι εἰσπλεῦσαι εἰς τὸν Πειραιᾶ παρὰ τὰς κοινὰς ἡμῖν πρὸς αὐτοὺς συνθήκας· καὶ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, οὐχ, ὅτι μία τριήρης ἦν μικρὸν ὑποληπτέον, ἀλλ' ὅτι ἀπ' πειρα ἐγένετο εἰ περιοψόμεθα, ἵνα

[1] ἀναμφισβητήτως

[2] προβολὰς ἑτέρας ἰσχυροτέρας εὑρέσθαι

suarum injuriarum pœnas dent, si Athenienses jus suum persequi vellent, eoque hos quiescere jubent. Idem.

Τὸ δίκαιον οὐ δικαίως διαφυλάττειν] *Jus non juste servare.* Ænigmati hoc simile videtur, quod sic intelligo: Justum per se est stare pactis: sed frangenti fidem servare fidem, injustum est. Non dissimile huic est illud ex Megalopolitana οὐχ ἁπλῶς ποιεῖν τὰ δίκαια: quod est, *non simplicis justitiæ esse amicum:* sed dum hujus studium præ te feras, aliud spectare. Idem.

Προελομένην] Ὑποθετικῶς, εἰ προέλοιτο. Idem.

Καὶ μόνων ἀναμφισβητήτως] Supra dixit, Alexandrum fuisse in periculo amittendi marini imperii. Hæc igitur verba sic accipienda sunt, ut vel classe plurimum valere significet Athenienses, (nam 100. triremium non parva vis est) vel, ut de principatu maris recuperando Athenienses laborare velit. μόνων autem hanc vim habet, ut eos mari tantum potitos extra periculum esse statuat, etiamsi terra nulla subsidia habeant: nisi forte legendum sit, καὶ μόνοις, et ad κυρίοις referatur. Idem.

Προσβολὰς] *Impetus, aggressiones.* Sed hic προσβολὰς, ἀντὶ προσθηκῶν videtur posuisse, *facile posse subsidia alia comparari, quibus paratæ copiæ confirmentur.* ἡ ὑπάρχουσα δύναμις, est classis 100. triremium, προσβολαὶ erunt *ceteræ copiæ terrestres.* προβολαὶ sunt *propugnacula, munitiones.* sæpissime πρὸ et πρὸς non sine incommodo sententiæ permutantur. προβολὰς ἑτέρας τοῖς κατὰ γῆν εὑρέσθαι, si recte legitur, sententia est, ut existimo, Athenienses classe invictos, pedestres copias facile propulsaturos. Idem.

Τῶν δορυφορουμένων] Qui sint isti, mihi non constat, nisi quod de aliquibus Atheniensibus civibus proditoribus potius, quam de exteris Græcis, intelligendum videtur. Idem.

Τῶν δὲ ἐξεληλεγμένων οὐδενὸς ἀξίων ὄντων] De hac similitudine casuum cum verbo εἶναι, et participio ὢν, in Isocrate admonui. Potuisset dicere, ὅτι οὐδενὸς ἄξιοί εἰσι. Idem.

ιά. Καὶ ὑπεροπτικώτατον τῶν Μακεδόνων] Καθ' ὃ οἱ Μακεδόνες τῶν λοιπῶν μάλιστα καταφρονοῦσιν. ὑπεροπτικώτατος τοῦ πλήθους est *summus contemtor populi.* τὸ ὑπεροπτικώτατον τῶν εὐγενῶν est *fastus extremus, quo nobiles adversus alios utuntur,* vel, *quo cæteri a nobilibus contemnuntur.* Observanda verba sunt, alias active, alias passive posita. Idem.

Ἀλλ' ὅτι] Post ἀλλ' ad. videtur οἰητέον, vel aliud quid. Auger.

μετὰ πλειόνων αὐτοῖς ἐγγένηται τοῦτο πράττειν, καὶ ὅτι οὐκ ἐφρόντισαν τῶν κοινῶν δογμάτων, καθάπερ οὐδὲ τῶν προειρημένων· ἐπεὶ, ὅτι γε τοῦτο παράδυσις ἦν κατὰ μικρὸν καὶ ἐθισμὸς τοῦ ἀνέχεσθαι ἡμᾶς τοὺς τοιούτους εἴσπλους, κἀκεῖθεν δῆλον· τὸ γὰρ τὸν τότε εἰςπλεύσαντα ἐπὶ τῆς νεὼς, ὃν ἔδει εὐθὺς μετὰ τῆς τριήρους ὑφ᾿ ὑμῶν ἀπολωλέναι, αἰτεῖσθαι ναυπηγήσασθαι μικρὰ πλοῖα ἐν τοῖς ἡμετέροις λιμέσι, πῶς οὐ καταφανὲς [1]ἦν, ὅτι ἀντὶ τοῦ εἰςπλεῖν τὸ εὐθὺς ἔνδον εἶναι ἐμηχανῶντο; καὶ, εἰ λεπτὰ πλοῖα ὑπομενοῦμεν, ὀλίγον ὕστερον καὶ τριήρεις· καὶ, εἰ τοπρῶτον ὀλίγας, μικρῷ ὕστερον πολλάς· οὐ γάρ δή ἐστί γε εἰπεῖν, ὡς Ἀθήνησι μὲν ἀφθόνων ὄντων τῶν ναυπηγησίμων ξύλων τῶν πόῤῥωθεν καὶ μόλις εἰςκομιζομένων, ἐν δὲ τῇ Μακεδονίᾳ ἐπιλελοιπότων τῇ καὶ τοῖς ἄλλοις τοῖς βουλομένοις εὐτελέστατα καθισταμένῃ. ἀλλ᾿ ᾤοντο ἅμα τε [2]ναυπηγηθήσεσθαι ἐνταῦθα καὶ πληρώσεσθαι ἐν τῷ λιμένι τῷ προειρημένῳ, ἐν ταῖς κοιναῖς ὁμολογίαις διειρημένου μηδὲν τοιοῦτον εἰςδέχεσθαι, καὶ ταῦτα ἐξέσται ἐπὶ [3]πλέον ἀεὶ ποιεῖν, οὕτω πάντοθεν καταπεφρονηκότως [4]ἐκεῖνοι χρῶνται διὰ τοὺς ἐντεῦθεν διδασκάλους τοὺς ὑπαγορεύοντας αὐτοῖς ἃ δεῖ ποιεῖν· οὕτω δὴ κατεγνώκασι μετὰ τούτων ἀδιήγητόν τινα τῆς πόλεως ἔκλυσιν καὶ μαλακίαν, καὶ οὔτε πρόνοιαν ὑπὲρ τῶν μελλόντων εἶναι, οὔτε λογισμὸν οὐδένα παραγίνεσθαι, τίνα τρόπον χρῆται ὁ τύραννος ταῖς κοιναῖς ὁμολογίαις· αἷς ἐγὼ διακελεύομαι, ὦ ἄνδρες Ἀθηναῖοι, πείθεσθαι, καθάπερ

[1] ἦν] ποιεῖ [2] ναυπηγήσεσθαι [3] πλεῖον [4] ἐκεῖνοι τῇ πόλει χρῶνται

Παράδυσις] F. παρείσδυσις, ut in celebri illo Metrodori dicto, sed arrogantiore: προκατείλημμαί σε, ὦ τύχη, καὶ πᾶσάν σου ἀφῄρημαι τὴν παρείσδυσιν. Sed et illud a παραδύω formari potest. WOLF.

Ἀντὶ τοῦ εἰσπλεῖν τὸ εὐθὺς ἔνδον εἶναι] Τὸ εἰσπλεῖν requirebat ex fœdere petitionem facultatis appellendi. Sed Macedo non petita potestate appulit, et postea petiit, quod voluit: ne violenter egisse et contra fœdus videretur. IDEM.

Ὡς ὄντων, ὡς ἐπιλελοιπότων] Pro ὡς εἰσὶ, ὡς ἐπιλελοίπασι. IDEM.

Εὐτελέστατα κατασταμένῃ] Πιπρασκούσῃ, id est, *minimo vendenti*, per υ, non per ν. IDEM.

Πληρώσεσθαι] Vel viris, vel mercibus. fortasse legendum etiam ναυπηγήσεσθαι. IDEM.

Διειρημένου] *Cum expressum sit*, id est, καίτοι διείρηται. IDEM.

Καὶ ταῦτα ἐξέσται] Nova periodus, nisi legendum videatur, καὶ ταῦτα ἐξέσεσθαι, scilicet ᾤοντο. IDEM.

Καταπεφρονηκότως] *Contemtim, cum contemtu.* adverbium factum e genitivo participii plurali, ν in σ mutato. sic νουνεχόντως, ἐῤῥωμένως, διαφερόντως, etc. IDEM.

Ἐκεῖνοι χρῶνται] S. ὑμῖν τοῖς Ἀθηναίοις. IDEM.

Οὕτω δὴ κατεγνώκασι] Recte quidem senserunt, nisi Demosthenes ubique mentiatur, qui talem nobis depingit Atheniensem populum, ut asino ignavissimo,

ἐδίδαξα, καὶ διεβεβαιωσάμην ἂν, ὡς τοῦθ' ἡλικιας ἔχων, ἅμα καὶ τῷ δικαίῳ ἡμᾶς ἀνεγκλήτως καὶ τοῖς καιροῖς ἀσφαλέστατα χρῆσθαι τοῖς ἐπὶ τὸ συμφέρον κατεπείγουσι· καὶ γὰρ ἔτι προσγέγραπται ταῖς συνθήκαις, ἐὰν βουλώμεθα τῆς κοινῆς εἰρήνης μετέχειν· τὸ δ' ἐὰν βουλώμεθα ἐστὶν ἅμα καὶ τοὐναντίον, εἰ ἄρα ποτὲ δεῖ παύσασθαι αἰσχρῶς ἑτέροις ἀκολουθοῦντας, ἀλλὰ μηδ' ἀναμνησθῆναι μηδεμιᾶς φιλοτιμίας τῶν ἐξ ἀρχαιοτάτου καὶ [1] πλείστου καὶ μάλιστα πάντων ἀνθρώπων ὑμῖν ὑπαρχουσῶν. ἐὰν οὖν κελεύητε, ὦ ἄνδρες Ἀθηναῖοι, γράψω, καθάπερ αἱ συνθῆκαι κελεύουσι, ΠΟΛΕΜΕΙΝ ΤΟΙΣ ΠΑΡΑΒΕΒΗΚΟΣΙΝ.

[1] πλείστων

qui vix contis et fustibus excitari queat, comparandus videatur. IDEM.

Διεβεβαιωσάμην] M. διαβεβαιωσαίμην per αι in optativo. IDEM.

Τὸ δὲ ἐὰν βουλώμεθα ἐστὶν ἅμα καὶ τοὐναντίον] Ἀντὶ τοῦ ἐμφαίνει, ἢ δηλοῖ, ἢ παρίστησι νοεῖν καὶ τοὐναντίον. Si hæc agenda sunt iis, qui fœderis participes esse volunt: ergo, qui hæc agere nolunt, sunt fœderis expertes. IDEM.

Καὶ τοὐναντίον] Delendum mihi videtur AUGER.

Ἀλλὰ μηδ' ἀναμνησθῆναι] Melius ἀκολουθοῦντας, ἢ μηδ'. *contraria sunt aliquando desistere alienum dictum sequi, et abjicere gloriam majorum.* WOLF.

Τοῖς παραβεβηκόσι] Scil. αὐτάς. τὰς συνθήκας. IDEM.

FINIS TOMI PRIMI.

Londini imprimebat J. F. DOVE, in Area quæ est Divi Joannis.

